ΑἹ
ἘΠΙΣΤΟΛΑῚ
ΣΥΝΕΣΊΟΥ

ΤΟΥ͂

ΚΥΡΗΝΑΊΟΥ,

ΜΕΤᾺ ΤΩ͂Ν

ΣΧΟΛΊΩΝ

ΤΟΥ͂

ΔΙΔΑΣΚΆΛΟΥ

ΝΕΟΦΎΤΟΥ ἹΕΡΟΔΙΑΚΌΝΟΥ

ΤΟΥ͂

ΠΕΛΟΠΟΝΝΗΣΊΟΥ

ἐκδοθεῖσαι

σπουδῇ τε καὶ ἐπιστασίᾳ

ΓΡΗΓΟΡΊΟΥ ἹΕΡΟΔΙΑΚΌΝΟΥ

ΔΗΜΗΤΡΙΈΩΣ

ΤΟΥ͂

ΚΩΝΣΤΑΝΤΑ͂,

Καὶ συνδρομῇ ἐν μέρει τῶν ἐντιμοτάτων κυρίων Ἐλευθερίου Μιχαὴλ Ῥαψανιώτου, καὶ Ἀβραμίου Χατζῆ Δημητρίου Ἀμπελακιώτου.

ἘΝ ΒΙΈΝΝῌ ΤΗ͂Σ ἈΟΥΣΤΡΊΑΣ

ἐν τῇ Τυπογραφίᾳ Γεωργίου τοῦ Βεντότου. αψϟβ΄.


ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ



Τῷ

Ἐλλογιμωτάτῳ καὶ σεβασμιωτάτῳ Δεσπότῃ μου

Κυρίῳ Κυρίῳ

ΔΙΟΝΥΣΙΩ,

τῷ

θεοφιλεστάτῳ Ἐπισκόπῳ

ΠΛΑΤΑΜΩΝΟΣ.

Μισθὸς ἀρετῆς τοῦτο δή σοι τὸ προσκομιζόμενον, θεοφιλέστατε Δέσποτα, καὶ χρέος ἁπάντων χρεῶν δικαιότατον, ἐποφειλόμενον τῇ θεσπεσίᾳ σου ψυχῇ καὶ ἄλλων μὲν ἕνεκα πολλῶν καὶ παντοδαπῶν ἀγαθῶν, ὧν ἐποίησας ἄν τ' ἔλαχες Σπάρταν κοσμεῖν, καὶ πᾶσαν ὡς εἰπεῖν τὴν ὑπὸ τῶν πιστῶν οἰκουμένην, οὐχ ἧττον δὲ τούτων, ἀλλὰ καὶ μᾶλλον τῆς περὶ παιδείαν καὶ λόγους φιλοτιμίας, καὶ τῆς περὶ πάντας, οἷς παιδείας καὶ λόγων μέτεσι, φιλοφροσύνης καὶ περιθάλψεως· ὃς ἐπὶ τὴν πνευματικὴν ταύτην ἀρχὴν ἀναχθεὶς, ἣν ἆθλον ἄντικρυς τῆς καὶ πρὸ τοῦ καλοκἀγαθίας τυγχάνεις εὑράμενος, ἐν πολλοῖς ἄλλοις, οἷς διατελεῖς εὖ ποιῶν, οὓς ἄγειν ἄνωθεν ἐκληρώσω, καὶ Μούσας ἁπάντων μικροῦ τῶν καθ' ἡμᾶς ἐν ὑπεροχῇ δυνάμεως οἱασοῦν ὄντων ἐν Καρὸς, ὅ φασι, τιθεμένων, μόνος, ἢ μετ' ὀλίγων σὺ μόνος εἰς οἰκία τὰ ἴδια ἐπιξενωσάμενος, περιποιῇ φιλοφρόνως, καὶ περιέπεις εἰλικρινῶς, εἰδὼς ὡς μετὰ φιλοσοφίας οὐδὲν ὅ,τι μὴ βέλτιον καὶ λέγεται καὶ πράττεται, ἔτε θεῖον ἔτε ἀνθρώπινον. Ἀμέλει καὶ

Μȣσεῖα πανταχȣ̃ καθιδρύων, ϗ ϛίφη μȣσοτρόφων ϗ φιλολόγων περὶ σαυτὸν ἑκαϛαχόθεν ἀγείρων, τὸν χρυσȣ̃ν ἡμῖν ἐκεῖνον αἰῶνα τὸν πάλαι ἀνακαλέσαι σπȣδάζεις, αὐτός τε ὅλος τȣ̃ ἐγχειρήματος γεγονὼς, ϗ πάντας τȣ́ς τε πέλας ϗ τȣ̀ς πόῤῥω τῷ παραδείγματι καταναγκάζων.

Διὰ ταῦτα τοιγαρȣ̃ν, ϗ τὰ τȣ́των ἔτι ϗ πλείω ϗ μείζονα, ὧν ἄλλος πρὸς ἄλλον ϗ δημοσίᾳ ϗ κατ᾽ οἴκȣς διεξερχόμενοι, τὰς ἁπάντων ἐκπεπλήκασιν ἀκοὰς, τὴν ἐπιϛολιμαίαν ταυτηνὶ δέλτον τȣ̃ Συνεσίȣ, ϗ τὰς εἰς αὐτὴν ἀποσημειώσεις τȣ̃ μακαρίτȣ διδασκάλȣ, ἀνδρῶν λογίων ȣ̓κ ἀγενῆ ἔκγονα σοὶ τῷ λογίῳ ϗ τῷ λόγων προϛάτῃ φέρων ἀνέθηκα, ὀφειλῆς ἔκτισιν ȣ̓ δῶρον ποιȣ́μενος.

Δέξαι δὴ, σοφώτατε ϗ σεβασμιώτατε Δέσποτα, τὸ κατ᾽ ὀφειλὴν σοι τȣτὶ προσφερόμενον ἀνάθημα, ϗ δὴ ϗ τὴν τȣ̃ ἀνατιθέντος διάθεσιν· περὶ ȣ̃ δὴ ϗ εὖξαι, ἵνα ϗ ἐξ οἰκείων ποτὲ τὰς χεῖρας, κατὰ τὸ γεγραμμένον, ἐμπλήσας, ὀφθῇ ἐναντίον σȣ.

Τῆς ὑμετέρας θεοφιλεϛάτης
Θεοφιλίας

͵αψϟβ΄.
Ἀπριλλίȣ, κδ΄.

ὑποκλινέϛατος δȣ̃λος
Γρηγόριος ἱεροδιάκονος
Δημητριεύς.



ΤΟΙ͂Σ ἘΝΤΕΥΞΟΜΈΝΟΙΣ.

Αἱ Συνεσίου Ἐπιστολαὶ ὅτι καὶ τοῖς πάλαι τῶν ἐλλογίμων ἀνδρῶν οὐχ ἧττον ἢ τοῖς καθ' ἡμᾶς ἐθαυμάζοντο, καὶ πᾶσιν ἀνὰ χεῖρας ἐφέροντο, διὰ τὴν ἐπανθοῦσαν αὐταῖς Ἀφροδίτην καὶ Χάριν, δηλοῦσι μὲν ἱκανῶς δι' ὧν εἰσι περὶ τούτων εἰρηκότες οἱ περὶ Φώτιον καὶ Εὐάγριον καὶ Σουΐδαν, δηλοῦσι δ' οὐχ ἥκιστα καὶ αἱ γραφικαὶ παραφθοραὶ, καὶ αἱ διάφοροι γραφαί τε καὶ ἀναγνώσεις, ὧν αὗται μάλιστα πάντων τῶν ἄλλων αὐτοῦ συγγραμμάτων τυγχάνουσι πλήρεις· πολλῶν γὰρ ἐν κτίσει τούτων γινομένων, καὶ ἐγχερσὶ φέρειν ἐν σπουδῇ ποιουμένων, πολλῆς δὴ καὶ ἀλληλεπαλλήλου καὶ τῆς γραφῆς καὶ ἀντιγραφῆς, μὴ ὄντος ἐν τῷ τότε χρόνῳ τοῦ τύπου, τυχεῖν ταύτας ἐδέησε, καίτι καὶ τῆς τῶν γραφέων καὶ ἀντιγραφέων ἀπειρίας τε καὶ θρασύτητος παραπολαῦσαι, τῶν μὲν, μὴ ἐχόντων ξυμβαλεῖν τοῦ συγγραφέως τὸν νοῦν, τῶν δὲ, μείζω σφίσιν, ἢ αὐτῷ τῷ συγγραψαμένῳ τὴν σοφίαν ἀπονεμόντων, καὶ διὰ ταῦτα τῶν μέν τι ἀφαιρούντων, ἢ προστιθεμένων, τῶν δὲ, ᾗπερ ἂν ἑκάστῳ φαίνοιτο βέλτιον ἔχειν ἐξαλλοιούντων καὶ παραμορφαζόντων.

Ὅτι δὲ μετὰ τοῦ ἥδοντος καὶ κηλοῦντος καὶ ὄνησιν ἔχουσιν οὐ τὴν τυχοῦσαν τοῖς ἐντυγχάνουσι, καὶ τούτων μάλισθ' οἷς δὴ βουλομένοις εἰς τὸ ἐπιστολιμαῖον εἶδος τῶν λόγων εὐδοκιμῆσαι, τοῦτο οὐδὲ μακρᾶς, οὐδὲ μικρᾶς ὅλως δεῖται τῆς ἀποδείξεως, ἐνὸν ἑκάστῳ παραστήσασθαι ἑαυτῷ τὸ λεγόμενον ἀναλογισαμένῳ μόνον, ὡς κρατιστεῦσαι ἐς ὅ,τι δήποτε κρατιστεῦσαι βουλόμεθα ἐφιέμενοι, οὐθὲν ἕτερον πράττομεν, ἢ οἷς οἴδαμεν κρατίστοις οὖσιν ἐν τούτῳ συνεῖναι καὶ ἀναστρέφεσθαι περὶ πλείστου ποιούμεθα, καὶ πλείστου, μᾶλλον δὲ τοῦ παντὸς ὠνούμεθα.

Ταύ-

Ταύτας δὴ τὰς Ἐπιστολὰς κοινῇ μὲν οὕτως ὑπὸ πάντων διὰ θαύματος ἀγομένας, οὐ κοινῇ δὲ καὶ πᾶσιν ἡκούσας εἰς ὄνησιν, ἀλλὰ τοῖς πλείοσι δυσαντιβλέπτους οὔσας, ἵν' οὕτως εἴπω, καὶ ἀνεπιόπτους διά τε τὸ ἄγαν κεκομψευμένον καὶ στενολόγον τῆς φράσεως, καὶ τὸ ὕψος ἔστιν οὗ τῆς διανοίας, οὐ μὴν ἀλλὰ καὶ τὴν αὐτοῦ ἔσθ' ὅπη τοῦ Συνεσίου ἰδιοτροπίαν καὶ περὶ τὸ λέγειν καινοτομίαν, αὐτοκρατορικῆς τε καὶ ἡγεμονικῆς τινος ἐξουσίᾳ φύσεως χρωμένου, διευκρινῆσαι ὁπωσοῦν, καὶ εὐξυνέτους παντὶ τῷ ἐγκύπτοντι ποιῆσαι παρακληθεὶς ὑπὸ τῶν ἰδίων ὁμιλητῶν, ὁ τῆς ὁσίας μνήμης πατὴρ ἡμῶν καὶ διδάσκαλος, ὅτε προΐστατο τῆς ἐν Βουκουρεστίῳ σχολῆς, οὐκ ἀπηνήνατο, ἀλλὰ καίτοι ἐπ' αὐτὴν ἤδη τὴν δύσιν τοῦ βίου ὤν, καὶ πολλοῖς τοῖς προλαβοῦσι καμάτοις τετρυχωμένος, ὑπεδύσατο καὶ τουτονὶ τὸν ἀγῶνα, οὐ ῥᾴδιον ὄντα μὰ Δία γε, οὐδ' εὐεπιχείρητον, καὶ τὰς ἀποσημειώσεις ταύτας εἰς εὐκρίνειαν τῶν σκοτεινοτέρων χωρίων ἐρανισάμενος μαθητιῶσι καὶ διδάσκουσι χαριζόμενος ἐξενήνοχεν.

Πλὴν ἀλλ' ὀλίγοι τινὲς ἦσαν ἐντεῦθεν ἀποκερδαίνοντες, δυσπορίστου, καὶ ἰδιωφελοῦς, οὐ κοινωφελοῦς, ὅπερ ἦν τὸ σκοπούμενον, τοῦ ἔργου καθισταμένου, διά τε τὸ πολύμοχθον τῆς ἀντιγραφῆς, καὶ τὴν τινων μοχθηρίαν, κιβωτίοις τὰ ἑτέροις τισὶν ἐπ' ὠφελείᾳ τοῦ κοινοῦ φιλοπονηθέντα εἰωθότων ἐναποκλείειν, καὶ οὔθ' ἑαυτοῖς οὔθ' ἑτέροις τὴν ἀπόλαυσιν κατὰ τὴν ἐν φάτνῃ κύνα ἐπιτρεπόντων. Τοῦτο δὴ συννοήσας ἐγώ, ὀκνηρίας ἡγησάμην, καὶ πονηρίας ἐσχάτης, εἰ μὴ πάντα κάλων, τὸ τοῦ λόγου, κινήσας, ἀγάγοιμι εἰς μέσον, καὶ κοινῇ πᾶσι παραθείμην, ἅπερ ἡμῖν ὁ θεσπέσιος ἐκεῖνος πρεσβύτης ἐπ' αὐτῷ τούτῳ παρέθετο. καὶ δῆτα ξένος ἐν ξένοις ὤν, καὶ γλίσχρως ἐξ ἱδρώτων καὶ μόχθων ἀποζῶν, ἐπελαβόμην τοῦ ἔργου, καὶ τέλος ἐπεθέμην, ξὺν Θεῷ ἀντιλήπτορι, ἔκ τε τῶν ἐμῶν ὑστερημάτων, καὶ ἐκ συνδρομῆς ἐν μέρει τῶν ἐντιμοτάτων κυρίου Ἐλευθερίου Μιχαὴλ Ῥαψανιώτου, καὶ κυρίου Ἀβραμίου Χατζῆ Δημητρίου Ἀμπελακιώτου, ἀνδρῶν φιλολόγων, καὶ εὐνοϊκῶς μὲν πρὸς ἐμέ, ἐνθουσιωδῶς δὲ πρὸς τὸ κοινῇ συμφέρον διακειμένων.

Ἔχοντες δὴ, φιλολόγοι παῖδες Ἑλλήνων, ἱκανὴν ταύτην χειραγωγίαν, διέρχεσθε τοῦ λοιποῦ ἀπλανῶς τοὺς λαβυρινθώδεσι καὶ δυσδιεξιτήτοις θριγκοῖς περικεχαρωμένους τοῦ Συνεσίου λειμῶνας· καὶ ἐντρυφῶντες ἔρρωσθε, χάριτας δικαίας εἰς τὸν δαιμόνιον ἐκεῖνον πρεσβύτην διὰ πολλῶν ὄφελος τῷ βίῳ γενόμενον ἀπομνημονεύοντες.





Τοῦ ἐλλογιμωτάτου διδασκάλου Λάμπρου Φωτιάδου τοῦ ἐξ Ἰωαννίνων, ἐπιγράμματα εἰς τὴν βίβλον.

Πτυκτοῖς ἐν πινάκεσσι ΣΥΝΕΣΙΟΣ εὔλαλον ὄσσαν
  Πτύξας ἐμμελέως, ἀμφιέλιξε νόον·
Βένθεα δ' ἀμπτύξαι δυσέλικτά γε μοῦνος ἁπάντων
  Ἔσχεν ἐπισταμένως, ᾗς φρεσὶ ΝΕΙΟΦΥΤΟΣ,
Εὐρυτενῆα μίτον τ' Ἀριάδνης ἐκτολυπεύσας,
  Κάλλιπ' ὀπισθογόνοις ἔργον ἀεξίνοον.
Ὄψιν δ' ἀμφοτέροισιν ὅπασσε τύπου φαέεσσι
  Φαιδρὴν, δᾳδουχῶν Ἑλλάδι ΓΡΗΓΟΡΙΟΣ.

Ἄλλο.

Ὡς βαίνων ὑπὸ φωτὶ μὲν, ἔρχεται ᾗχι θέλῃσι,
  Νυκτὶ δ' ὑπ' ὀρφναίῃ, πλάζετ' ἀεικελίως·
Ὣς νῦν τηλεφανὴς ἀμπτύξεσι ΝΕΙΟΦΥΤΟΙΟ
  Βίβλος, τὴν κατέχεις, ἔπλετο ΣΥΝΕΣΙΟΥ·
Τοίῳ ἄρα φραστῆρι γ' ἀριστονόῳ, φιλόμουσε,
  Ἑσπόμενος προφρόνως, ἵξεαι οὗ ποθέεις.

Ἄλλο.

Πᾶσαν ἄφαρ πτύξον βίβλον ἄλλῳ Συνεσίοιο,
  Λάζεο δ' ἐμμαπέως, τὴν πόρε ΓΡΗΓΟΡΙΟΣ



ΣΥΝΕΣΙΟΥ
ἘΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ
ἘΠΙΣΤΟΛΑΙ.

*) Νικάνδρῳ. 1.

Παῖδας (α) ἐγὼ λόγους ἐγεννησάμην, τοὺς μέν, ἀπὸ τῆς σεμνοτάτης (β) Φιλοσοφίας, καὶ τῆς συνναοῦ ταύτῃ Ποιητικῆς, τοὺς δέ, ἀπὸ τῆς πανδήμου Ῥητορικῆς· ἀλλ' ἐπιγνοίη τίς ἂν ὅτι πατρός εἰσιν ἑνὸς ἅπαντες, νῦν μὲν εἰς σπου-

---

ΣΧΟΛΙΑ ΤΟΥ ἘΛΛΟΓΙΜΩΤΑΤΟΥ ΚΥΡΟΥ ΝΕΟΦΥΤΟΥ ἹΕΡΟΔΙΑΚΟΝΟΥ ΤΟΥ ΠΕΛΟΠΟΝΝΗΣΙΟΥ.

*) Δίων ὁ χρυσοῦς τὴν γλῶτταν ἐπικληθείς, κομήτης, οὐ μὴν ἀλλὰ καὶ λίαν φιλόκομος ὤν, ἐποίησε βιβλίον Κόμης ἐγκώμιον οὕτω δῆτα λαμπρόν, ὡς ἀνάγκην εἶναι παρὰ τοῦ λόγου φαλακρὸν ἄνδρα αἰσχύνεσθαι· Συνέσιος δὲ τὰς τῆς κεφαλῆς τρίχας δι' ἡλικίαν ἢ ἄλλο τι πάθος ἀποβαλών, ἐξήνεγκεν ἄλλον λόγον Φαλάκρας ἐγκώμιον, ἐν ᾧ πάντα τὰ τῷ Δίωνι ἐπὶ ἐπαίνῳ τῆς Κόμης ληφθέντα, εἰς ψόγον τῆς Κόμης καὶ τοῖς κομήταις ὄνειδος ἀντιπεριέστησεν εὐφυῶς οὕτως, ὡς τοὺς κομήτας μᾶλλον αἰσχύνεσθαι τὰ τοῦ Συνεσίου ἐπερχομένους, ἢ τοὺς φαλακροὺς τὰ τοῦ Δίωνος. Τοῦτον δὴ τὸν λόγον φασὶ μονονοὺ πάντες οἱ κριτικοὶ ὡς ἀπέστειλε Συνέσιος μετὰ τῆς παρούσης ἐπιστολῆς πρὸς Νίκανδρον. Περὶ δὲ τοῦ Νικάνδρου τούτου οὐδὲν πλέον ἔχομεν λέγειν, ἢ ὅτι τῶν λογίων ἦν καὶ φίλος Συνεσίῳ, πρὸς ὃν ἐπέσταλται καὶ ἡ 75, ἐπιστολή· ἐξ ἧς δῆλον ὅτι καὶ τῶν ἐν ἀξιώμασιν ἐτύγχανεν.

(α) Οἱ Ἕλληνες ἀστειότερον τοὺς συγγραφεῖς, πατέρας ἐκάλουν τῶν λόγων, αὐτοὺς δὲ τοὺς λόγους ἔκγονα· ὡς, Ἀθήναιος μὲν ὁ τῆς βίβλου πατὴρ κτλ. Ἀθήν. Ἐπιστ. 1. καί, καλὸν δὲ οἶμαι καὶ παῖδας ἀγαθοὺς τοῖς ἔπειτα καταλείπειν· οἱ μένγε παῖδες σωμάτων, ψυχῆς δὲ ἔκγονοι οἱ λόγοι. Κλήμ. Ἀλεξ. Στρωμ. 1. (β) Ἐπειδὴ ὡς περὶ παιδοποιίας τῆς συγγραφῆς τῶν λόγων μεταφορικῶς ὧδε ποιεῖται τοὺς λόγους Συνέσιος, φυλάττων ἐν

δὴν (γ), νῦν δὲ εἰς ἡδονὴν (δ) ἀποκλίναντος (ε). ὁ δὴ παρὼν οὗτος λόγος (ζ) ἧς τινος (η) μέν ἐστι μερίδος, ἀπὸ τῆς ὑποσχέσεως (θ) αὐτοῦ κατερεῖ· παρ' ἐμοῦ δὲ οὕτως ἠγαπήθη διαφερόντως, ὡς (ι) ἥδιστ' ἂν αὐτὸν εἰσποιῆσαι (κ) Φιλοσοφίᾳ, καὶ τοῖς γνησίοις ἐγκρῖναι. ἀλλὰ τοῦτο μὲν οὔ φασιν ἐπιτρέψειν οὐδὲ οἱ Νόμοι τῆς Πολιτείας (λ)· δεινοὶ (μ) γάρ εἰσιν εὐγενείας προστάται· ἔχει δὲ κέρδος, ὅ,τι ἂν αὐτῷ λάθρα χαρίσωμαι· καὶ (ν) πολ-

λὰ

ἅπασι τὸ ἀκριβὲς τῆς μεταφορᾶς, ὑποτίθησιν, ὡς εἰκὸς, ἐν τῷ λόγῳ καὶ οἷον γαμετὰς ἑαυτοῦ τὴν Φιλοσοφίαν, καὶ Ποιητικὴν, καὶ Ῥητορικήν. Ἀλλὰ τὴν μὲν Φιλοσοφίαν καὶ Ποιητικὴν, γνησίας τε καὶ νομίμους, τὴν δὲ Ῥητορικὴν, οἷά τινα παλλακήν· τοῦτο γὰρ ὑπαινιττόμενος, τὴν μὲν Φιλοσοφίαν σεμνοτάτην, εἴτ' οὖν σωφρονεστάτην ὠνόμασε, καὶ τὴν Ποιητικὴν σύνναον ἤτοι σύνοικον ταύτῃ καὶ σύνεδρον· πάνδημον δὲ, εἴτ' οὖν κοινὴν καὶ δημοσίαν ἑταιρίδα τὴν Ῥητορικήν. Παίζων δὲ ταῦτα πάντα εἰρήκει καὶ ἀστειότητα τῇ κατασκευῇ τῆς ἐπιστολῆς μηχανώμενος· εἰμή τις ἀλογήσας τὰ τῆς μεταφορᾶς εἴποι, ὅτι σεμνοτάτην μὲν εἶπε τὴν Φιλοσοφίαν, ὡς γνῶσιν οὖσαν θείων καὶ ἀνθρωπίνων πραγμάτων, ἥπερ ὥρισται τοῖς πάλαι σοφοῖς· τὴν δὲ Ποιητικὴν σύνναον τῇ Φιλοσοφίᾳ, ὡς καὶ αὐτὴν περὶ θεῶν τὰ πολλὰ διαλεγομένην, γένεσιν αὐτῶν καὶ ἔργα καθιστοροῦσαν. Πάνδημον δὲ τὴν Ῥητορικὴν ὡς οὐ τῶν ὀλίγων καὶ τῶν, οἷος αὐτὸς Συνέσιος, ἔργον οὖσαν ὡς ἡ Φιλοσοφία, ἀλλὰ τοῦ τυχόντος καὶ τοῦ δήμου παντός. Σὺ δέ μοι σημείωσαι ὅτι ἐν τῷ περὶ Βασιλείας λόγῳ, καὶ τὴν Ποιητικὴν αὐτὴν, ἣν ὧδε σύνναον καλεῖ τῇ Φιλοσοφίᾳ, πάνδημον τέχνην ὠνόμασε. καὶ, κομίζοι λόγους γαύρους τε καὶ χλιδῶντας, οἵους Ῥητορικὴ καὶ Ποιητικὴ τίκτουσι, πάνδημοι τέχναι, πάνδημα ἔκγονα. (γ) Εἰς μελέτην καὶ θεωρίαν τῶν ὄντων.

(δ) Εἰς διατριβὴν καὶ διάχυσιν. (ε) Ῥέψαντος, ἐπιδοθέντος. ἡ δὲ μετοχὴ διὰ τοῦ ὅστις ἀναλυτέα. (ζ) Ὅς σοι πέμπεται μετὰ τῆς παρούσης ἐπιστολῆς. (η) Ἀντὶ τοῦ, τίνος ἐστὶ μερίδος. (θ) Εἴτ' οὖν τῆς ἐπιγραφῆς, ἥτις λέγεται καὶ ἐπαγγελία, ὡς συλλήβδην, ἅπερ κατὰ πλάτος ἐπαγγέλλεται ἐρεῖν ὁ λόγος δηλοῦσα. (ι) Τὸ ὡς, ἀνταποδοτικόν ἐστι τοῦ ἡγουμένου οὕτως· τὸ δ' ἐκ τούτου ἀπαρέμφατον ἀντὶ ὁριστικῆς ἐγκλίσεως.

(κ) Υἱοθετῆσαι τῇ Φιλοσοφίᾳ, καὶ οἷς ἐκ τῆς γνησίας ἐγεννησάμην γαμετῆς τῆς Φιλοσοφίας δηλαδὴ, συναριθμῆσαι· εἴληπται δὲ καὶ ταῦτα ὥσπερ τὰ λοιπὰ μεταφορικῶς. (λ) Γενικώτερον εἶπε τοῦτο εἰς τὸ ἐξ οὗ μετήνεκται τὰ τῆς μεταφορᾶς ἀναδραμών, (μ) Σφοδροὶ, δεινοί.

λα' τῆς σπουδαίας μερίδος εἰς αὐτὸν εἰσῴεγκα. Ἂν μὲν οὖν καὶ σοὶ δοκῇ, κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησιν· ἀποψηφισθεὶς (ξ) δ', ἐπανίτω παρὰ τὸν πέμψαντα· τοὺς πιθήκους γάρ φασιν ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένους τοῦ κάλλους. Οὕτως (ο) ἐστὶν ἡ φύσις φιλότεκνον! τὰ δὲ ἀλλήλων ὁρῶσιν, ἅπερ ἐστὶ, πιθήκων παιδία (π). ἑτέροις οὖν ἐπιτρεπτέον ἐξετάζειν τὰ ἔκγονα· αἱ γὰρ εὖνοιαι, δειναὶ δεκάσαι (ρ) τὰς ψήφους· διὰ τοῦτο (σ) Λύσιππος (τ) Ἀπελλῆν εἰς τὰς γραφὰς εἰσῆγε, καὶ Λύσιππον Ἀπελλῆς.

Γω-

(ν) Ὁ καὶ σύνδεσμος ἀντὶ τοῦ γάρ· αἰτιολογίαν γάρ τινα ἐμφαίνει ὧδε.

(ξ) Ἀδόκιμος κριθείς. (ο) Θαυμαστικὸν ἐπιφώνημα ἀνανταπόδοτον.

(π) Τὸ πιθήκων παιδία, ἐξήγησίς ἐστι τοῦ ἅπερ ἐστι. (ρ) Εἴτ' οὖν ἀδίκως βαλεῖν τὰς ψήφους: ὅ ἐστι παρακρῖναι. (σ) Δι' ὅ,τι δειναὶ εἴτ' οὖν ἐπιτήδειαι αἱ εὖνοιαι δεκάσαι τὰς ψήφους. (τ) Ὁ μὲν Λύσιππος Σικυώνιος ἦν τὸ γένος, τὴν ἐπιστήμην ἀγαλματοποιός· ἤκμασε περὶ τὸ 334. πρὸ Χριστοῦ· ὁ δ' Ἀπελλῆς τὸ μὲν γένος Κολοφώνιος, θέσει δὲ Ἐφέσιος, τὴν δὲ τέχνην ζωγράφος· ἐγένετο καὶ αὐτὸς ἐν τοῖς αὐτοῖς χρόνοις Λυσίππῳ· ὁ γοῦν Συνέσιός φησιν ὅτι Λύσιππος εἰσῆγεν εἰς τὰς γραφὰς Ἀπελλῆν, καὶ οὗτος ἐκεῖνον ἐπὶ τὰς ἑαυτοῦ, οὐδέτερος τούτων τῇ ἰδίᾳ ἀρετῇ τὴν κρίσιν τῶν ἔργων πιστεύων, καίτοι ἐς ἄκρον ταύτης ἀμφότεροι ἐληλακότες. Οὕτως οὐδὲ τοὺς λόγων δημιουργοὺς τῇ ἰδίᾳ ἀρετῇ τὴν κρίσιν τῶν λόγων πιστευτέον, κἂν ἐς ἄκρον παιδείας δοκῶσιν ἐληλακέναι· τυφλὸν γάρ, φασὶ, τὸ φιλοῦν περὶ τὸ φιλούμενον· καὶ ἔστι μὲν ἡ εἰκὼν θαυμαστὴ, καὶ τῷ εἰκονιζομένῳ προσφυεστάτη· ὅγε μὴν τὰ Λατινικὰ εἰς τὰς ἐπιστολὰς ταύτας ἐρανισάμενος σημειώματα, σφαλῆναί φησιν εἰς μνήμην καὶ ἱστορίαν Συνέσιον, ἄλλον ἀντ' ἄλλου λαβόντα· καὶ γὰρ οὐδὲ ἔχεται, φησὶν, ὅλως λόγου λέγειν ὅτι Λύσιππος εἰσῆγεν Ἀπελλῆν, ὁ ἀγαλματοποιὸς ζωγράφον, καὶ εἰς γραφὰς, ὁ μὴ γραφὰς ἀλλ' ἀγάλματα δημιουργῶν· οὐ μὴν ἀλλ' οὐδ' ὅτι ἐκεῖνον οὗτος διὰ τὸν αὐτὸν λόγον· ταῦτα δ' ἂν εἴη, φησὶ, Πρωτογένει μᾶλλον οἰκεῖα λεγόμενα καὶ Ἀπελλῇ, ἢ Λυσίππῳ καὶ Ἀπελλῇ. Καὶ δὴ κἀυτὸς ἐπελθὼν ἅπαξ καὶ δὶς, ἅπερ διέξεισι Πλίνιος ἐν τῷ λδʹ, βιβλίῳ τῆς φυσικῆς Ἱστορίας περὶ Λυσίππου, κἂν τῷ λεʹ, περὶ τοῦ Ἀπελλοῦ, οὐ μὴν ἀλλὰ καὶ τὸ Γαλλιστὶ ἀρίστως συγγεγραμμένον ἱστορικὸν Λεξικὸν τῆς Κοινωνίας τῶν Πεπαιδευμένων, καὶ τὸ τῆς μεθοδικῆς Ἐγκυκλοπαιδίας, οὐδαμοῦ εὗρον Ἀπελλῆν εἰσαχθέντα ὑπὸ Λυσίππου, ἢ τοῦτον ὑπ' ἐκείνου εἰς γραφὰς ἢ εἰς

*) Ἰωάννῃ. 2.

Ἀφοβία μεγίστη, τὸ φοβεῖσθαι τοὺς νόμους (α)· σὺ δὲ αὐτοὺς ἠχυώθης ἀεὶ φανῆναι φοβούμενος· τοιγαροῦν δέδιθι τοὺς ἐχθροὺς, καὶ μετὰ τούτων τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι (β)· κἂν κλέπτωσι μὲν, μὴ σὺ δὲ ἧς ὁ τὰ πλείω διδοὺς, οὐδὲν ἧττον εὐλαβητέον· ὀργίζονται γὰρ ὑπὲρ τῶν νόμων, ὅταν καὶ μισθοδότας προσλάβωσιν (γ).

**) Τῷ ἀδελφῷ Εὐοπτίῳ. (3)

Τρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ· ἡ δὲ ἀδελφιδῆ (α) τότε πρῶτον ἧκεν ἐπὶ τὸν τάφον· οὐ γὰρ οἶμαι νομίζεται νυμφευτρίαις (β) βα-

---

ἀγάλματα. οὐμὴν ἀλλ' οὐδ' εἰς ὁμιλίαν ὅλως ἀλλήλοις ἐλθόντας. Περὶ δὲ Πρωτογένους καὶ Ἀπελλοῦ, καὶ τῆς μεταξὺ τούτων συνηθείας καὶ οἰκειότητος ἱστόρηται πολλὰ καὶ περίεργα, ἐξ ὧν εἰκότως ἄντις εἰκάσειεν ὅτι εἰσῆγον ἀλλήλους εἰς τὰς ἑαυτῶν γραφάς· ῥητῶς γὰρ οὐδὲ περὶ τούτων εἴρηταί τι τοιοῦτον· ἔστιν ἄρα πιθανὸν ἐκλαθόμενον τὸν Συνέσιον, ἄλλον ἀντ' ἄλλου λαβεῖν. πλὴν ἀλλὰ καὶ οὕτως οὐδὲν ἧττον θαυμαστὰ τὰ τῆς ἐπιστολῆς χάριτός γε καὶ ἀστειότητος ἕνεκα.

(*) Ὁ Ἰωάννης οὗτος δοκεῖ εἶναι ὁ αὐτὸς πρὸς ὃν ἐπέσταλται καὶ ἡ 44, καὶ οὗ μέμνηται κἀν τῇ 104. (α) Ὁ γὰρ τοὺς νόμους φοβούμενος πρὸς τὰ λοιπὰ πάντα τυγχάνει θαῤῥαλεώτατος. (β) Λαμβάνωσι δῶρα. (γ) Οἱ δικασταὶ καὶ ἁπλῶς οὕτως ὀργίζονται ὑπὲρ τῶν νόμων κατὰ τῶν παραβαινόντων· ὀφείλουσι γὰρ τοῦτο ἐπιτετραμμένον σφίσιν ἀπὸ τῆς πολιτείας· ὅταν δὲ λάβωσι πρὸς τούτῳ καὶ μισθοδότην, εἴτ' οὖν δωροδόκον τὸν ἀδικηθέντα, ἔτι μᾶλλον ὀργίζονται, καὶ διὰ τοῦτο ἔτι μᾶλλον εὐλαβητέον αὐτούς.

(**) Ἐν τῇ παρούσῃ Ἐπιστολῇ ἀταξίαν τινὸς γυναικὸς νεογάμου καὶ συγγενοῦς διέξεισιν ὁ Συνέσιος πρὸς Εὐόπτιον τὸν ἀδελφὸν, ἄλλην ὡς ἔοικε πόλιν οἰκοῦντα, ἤπου πρὸς τὴν ὥραν ἀποδημοῦντα. ἦν δὲ τὸ γύναιον τοῦτο ἀδελφιδῆ τοῦ κειμένου, εἴτ' οὖν τεθνηκότος Αἰσχίνου· οὗτος δὲ συγγενὴς Συνεσίῳ, τίνα δὲ τὴν συγγένειαν σαφῶς οὐκ ἔχομεν λέγειν· συνάγεται δὲ ἐκ τῆς Ἐπιστολῆς, ὡς Ἁρμόνιος, οὗ περὶ τὰ μέσα μέμνηται τῆς Ἐπιστολῆς, ἀδελφῇ τινι Συνεσίου ἢ τοῦ πατρὸς αὐτοῦ συνῴκει, ἐξ ἧς ἔσχε παῖδας τρεῖς, τὸν τεθνηκότα Αἰσχίνην, τὸν Ἡρώδην, καὶ τὴν μητέρα τῆς νεογάμου· ἥτις νεόγαμος ὀρφανὴ γονέων, ὡς ἔοικε, μείνασα, ὑπὸ τὴν διοίκησιν ἑτέ-

βαδίζειν ἐπ' ἐκφοράν· ἀλλ' ἐν φοινικίδι (γ) καὶ τότε, καὶ διαφανὴς ὁ κεκρύφαλος (δ), καὶ χρυσία καὶ λίθοι (ε) ἐξήρτητό τε καὶ περιέκειτο, ἵνα μὴ τῷ νυμφίῳ σύμβολος ἀπαίσιος (ζ) γένηται. Καθεζομένη γοῦν ἐπ' ἀμφικεφάλου καθέδρας, φασὶν, ἀργυρόποδος, πολλὰ κατεμέμφετο τὴν ἀκαιρίαν (η) τῆς συμφορᾶς· ὡς ἢ πρότερον ἐχρῆν, ἢ μετὰ τὸν γάμον ἀποθανεῖν· καὶ πρὸς ἡμᾶς, ἐφ' οἷς (θ) ἐδυστυχοῦμεν ἐμήνιε (ι). μόλις δ' οὖν περιμείνασα τὴν ἑβδόμην (κ), καθ' ἣν ἡμεῖς εἰσιάκειμεν τὸ δεῖπνον τὸ ἐπιτάφιον,

---

λει τοῦ Ἡρώδου πρὸς μητρὸς αὐτῇ θείου τυγχάνοντος· Ἡρώδης δὲ εἰς ὥραν οὖσαν, ἐξέδοτο ἀνδρὶ κατ' οὐδὲν ὁμοίῳ τῇ τῶν προγόνων λαμπρότητι· ἐν τῷ τελεῖσθαι δὲ τοὺς γάμους, ἢ καὶ μικρὸν ὕστερον συνέβη ἀποθανεῖν τὸν Αἰσχίνην. ἡ οὖν βελτίστη ἀδελφιδῆ (τοῦ Αἰσχίνου) νεόγαμος οὖσα, οὐκ ἐξῆλθε μετὰ τῶν λοιπῶν συγγενῶν τῇ ἡμέρᾳ τοῦ ἐνταφιασμοῦ εἰς τὸν τάφον τοῦ θείου, ἀλλ' ἐς τρίτην ἀπ' ἐκείνης, καὶ τότε οὐχ ὡς ἔδει, ἀλλ' ἐν φοινικίδι κτ. Ταύτην τοίνυν αἰτιᾶται τῆς ἀταξίας, καὶ τὸν θεῖον αὐτῆς Ἡρώδην ὡς θυγατριδῆν οὖσαν Ἀρμονίου τοῦ καὶ αὐτοῦ Κέκροπος εὐγενεστέρου, ἀνδρὶ τῶν ἀγενεστάτων ἁρμόσαντα.

(α) Ἀδελφιδῆ ἡ ἀδελφοῦ ἢ ἀδελφῆς ὡς ἐνταῦθα θυγάτηρ, τοῦτ' ἔστιν ἡ ἀνεψιά. Ἰστέον δὲ ὅτι οὓς μὲν ἡμεῖς νῦν ἀνεψιοὺς καλοῦμεν, οἱ Ἕλληνες τὸ πάλαι ἀδελφιδοῦς ἔλεγον· οὓς δ' ἐκάλουν ἐκεῖνοι ἀνεψιοὺς, τούτους ἡμεῖς ἐξαδέλφους ὀνομάζομεν. (β) Νυμφεύτριά ἐστιν ἡ συμπεπομένη τῇ νύμφῃ ὑπὸ τῶν γονέων παράνυμφος ἢ νυμφοκόμος, ἣν ἡμεῖς ἀδερφοποιτὴν ἢ πρατίμισσαν κατ' ἄλλης χώρας ἰδίωμα καλοῦμεν· ὁ δὲ Συνέσιος καινοτρόπως ὧδε νυμφεύτριαν αὐτὴν ταύτην τὴν νύμφην καλεῖ, ἣν ὁ Σουΐδας νεόγαμον λέγει· νύμφη γὰρ ἡ νεωστὶ γαμηθεῖσα, καὶ ἡ ἄρτι εἰς γάμον ἐρχομένη. (γ) Φοινικὶς ἱμάτιον ἢν φοινικοῦν πλατύ· κλίνεται δὲ φοινικὶς, ίδος, ὡς ἐφεστρὶς, ἐφεστρίδος. (δ) Κεκρύφαλος, κεφαλοδέσμιον, τὸ παρ' ἡμῶν σαρίκι λεγόμενον, ὃ φέρουσι τῶν Βυζαντίων καὶ Βλαχοπογδάνων τὰ γύναια.

(ε) Τὸ μὲν ἐξήρτητο λαμβάνει πτωτικὸν τὸ, λίθους· τὸ δὲ περιέκειτο, τὸ, χρυσία· χιάζει δὲ τὰ τῆς συντάξεως. | καὶ χρυσία ἐξήρτητό τε Χ καὶ λίθους καὶ περιέκειτο.

(ζ) Οἰωνὸς κακὸς, σημεῖον ὀργεροῦζικον. (η) Τὸν παρὰ καιρὸν θάνατον.

(θ) Ἐπὶ τῷ τοῦ συγγενοῦς θανάτῳ καθ' ὃν ἐδυστυχοῦμεν, ἢ δι' ὃν ἦμεν ἐν λύπῃ καὶ ἀθυμίᾳ εὔθυμος αὐτὴ εἶναι θέλουσα ὡς νεόγαμος. (ι) Ὠργίζετο· χαλέπαινε· τινὲς γράφουσιν ἐμήνια, δοκιμώτερον ὅμως τὸ πρῶτον· τὸ γὰρ

φιον, αὐτήν τε καὶ τὴν φλύαρον ταύτην τιτθίδα, ἐπὶ τὸ ζεῦγος ἀναβιβασαμένη τὸ ὀρικὸν (λ), πληθούσης ἀγορᾶς, ἅπασι τοῖς παρασήμοις (μ) ἐπόμπευεν εὐθὺ Τευχείρων (ν) ἐλαύνουσα· μέλλει γὰρ καὶ εἰς τὴν ἐπιοῦσαν ἑβδόμην ταινιώσεσθαί τε (ξ) καὶ πυργοφόρος (ο) καθάπερ ἡ Κυβέλη, περιλεύσεσθαι. Τούτοις ἡμεῖς μὲν οὐδὲν ἀδικούμεθα, πλὴν τοῦ καταφανεῖς γεγονέναι, λίαν ἀναισθήτους ἔχοντες συγγενεῖς· ὁ δὲ ἀδικούμενος, Ἀρμόνιός ἐστιν ὁ τοῦ θυρωροῦ πατὴρ, ὡς ἂν εἴποι Σαπφὼ (π), τὰ μὲν ἄλλα

τοι δεύτερον νεωτέρων ἐστὶ σχηματισμός. (κ) Ἔθος ἦν ἀρχαιότατον ἐς ἑβδόμην τοὺς ἀποιχομένους θρηνεῖν, ὅπερ καὶ παρὰ τῇ θείᾳ Γραφῇ εὑρίσκεται· κἀν ταύτῃ δεῖπνον ποιεῖν ἐπιτάφιον, ὃν καὶ ἐφ' ἡμῶν ἤδη πολλοὶ ποιοῦσιν ἀμέσως μετὰ τὴν κηδείαν τῶν ἀπελθόντων, Μακαρίαν τοῦτον προσαγορεύοντες.

(λ) Ὀρικὰ ζεύγη, τὰ ὑπὸ ὀρέων εἴτ' οὖν ἡμιόνων ἑλκόμενα ὀχήματα· ὀρέας γὰρ ἐκάλουν τὰς ἡμιόνους. (μ) Ἀντὶ τοῦ ἐπισήμοις, ἐνδόξοις, πολυτίμοις, παράσημον γὰρ καὶ τὸ κίβδηλον, καὶ τὸ ἐπίσημον ὡς ἐνταῦθα. (ν) Τεύχειρα πόλις παραθαλασσία πρὸς δυσμὰς τῆς Κυρήνης οὐ μακρὰν ταύτης κειμένη, μία τῶν πέντε πόλεων ἐξ ὧν ἡ χώρα Παντάπολις ἤκουσεν· ἐλέγετο καὶ Ἀρσινόη ἡ αὐτή· τὸ δὲ ἐλαύνουσα κατ' ἔλλειψιν προήνεκται· ἐλλείπει γὰρ, τὰς ἡμιόνους ἢ τὸ ἅρμα· ἢ τοὺς ἵππους· σύνηθες δὲ τὸ τοιοῦτο.

(ξ) Στεφανώσεσθαι· ταινία γὰρ στέμμα ἐστὶν ὑψηλὸν πυργοειδὲς ἐξ ὑφάσματος, ἢ τριχῶν ἰδίων ἢ ἐπεισάκτων ἐσκευασμένον, περὶ οὗ καὶ Γρηγόριος ὁ Ναζιανζηνὸς τὸ, μὴ κεφαλὰς πυργοῦσθε νόθοις πλοκάμοισι γυναῖκες εἰρήκει (ο) Στέφανον πυργοειδῆ ἐπὶ κεφαλῆς φέρουσα, οἷον γράφουσι τὴν Κυβέλην. Κυβέλη, δὲ ἡ Ῥέα ἡ μήτηρ τοῦ Διός· ἤκουσε δὲ Κυβέλη παρὰ τὰ Κύβελα ὄρη· ὀρεία γὰρ ἡ θεός· τινὲς δὲ τῶν μυθολόγων φασὶν αὐτὴν εἶναι τὴν Γῆν· διὸ καὶ γράφουσι, φασὶ, ταύτην δίσκον κατέχουσαν τῇ χειρὶ, καὶ πύργον ὡς στέφανον, φέρουσαν ἐπὶ κεφαλῆς· καὶ τὰ πολλὰ ζεύγει, εἴτ' οὖν ἅρματι λεόντων ἐποχουμένην. (π) Τὸ, ὡς ἂν εἴποι Σαπφὼ, τισὶ μὲν δοκεῖ πρὸς τὸ, ὁ τοῦ θυρωροῦ πατὴρ ἔχειν τὴν σχέσιν εἴτ' οὖν τὴν ἀναφορὰν, νομίζουσιν ὡς ἐς τ' ὄνομα σκώπτων ἐκάλεσε θυρωρὸν τὸν Ἡρώδην Συνέσιος, ὥσπερ, φασὶ, καὶ Σαπφὼ ἄλλον τινὰ ἐν τοῖς ἔπεσιν· ἐμοὶ δὲ δοκεῖ βέλτιον ἔχειν πρὸς τὸ, τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος κτλ. ἀναφερόμενον· εἴγε ὁ λόγος ὧδε τῷ Συνεσίῳ πρὸς Ἀρμόνιον οὐ πρὸς Ἡρώδην ἀποτείνεται· ἄλλως τε καὶ τὸ εἶναί τινα θυρωρὸν οὐ φαίνεται οὕτως ἄτιμον, ὥστε ἀτιμωθῆναι καὶ τὸν Ἡρώδην ἐκ τῆς τοιαύτης προσηγορίας, ὅπερ τῶν πολλὰ ἐνδεχομένων ἐστὶ καὶ ὄνομα τιμῆς ὑπάρχειν τῷ παρ

λα σώφρων καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος· ἀλλ' ὑπὲρ εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι (ρ) διετέλεσε. Τού-του δὲ πλέον ἢ Κέκροπος τὴν θυγατριδῆν ὁ θεῖος Ἡρώδης καὶ θυρωρὸς εἰς Σωσίας τε καὶ Τιβίους (σ) ἀπέδοτο (τ)· πλὴν εἰ μή τι λέγουσιν, ὅσοι καὶ τὸν νυμφίον ἡμῖν μητρόθεν (υ) ἀποσεμνύνουσι γενεαλογοῦντες αὐτὸν ἀπὸ τῆς ἐν φήμῃ Λαΐδος (φ)· ἡ γὰρ Λαΐς, ἔφη τὶς ἤδη λογογράφος, ἀνδράποδον ἦν Ὑκκαρικόν, ἐκ Σι-

---

ἡμῖν Πορτάρης ἰσοδυναμοῦν. Ἡ δὲ Σαπφώ, ψάλτρια ἦν λυρική, Λεσβία τὸ γένος· ἤκμασε κατὰ τὴν μβ', Ὀλυμπιάδα· ἔγραψε πολλά, ἐξ ὧν οὐδὲν ἕτερον διεσώθη ἐς ἡμᾶς ἐκ τῆς κοινῆς ναυαγίας τοῦ γένους, ὅτι μὴ ᾠδή τις καὶ ὕμνος εἰς Ἀφροδίτην, καὶ ὀλίγ' ἄττα τεμάχια, ἐν οἷς οὐδὲν εὗρον ὅμοιον τοῖς περὶ τοῦ Ἁρμονίου ἢ τοῦ Ἡρώδου λεχθεῖσιν ὧδε τῷ Συνεσίῳ. (ρ) Κέκροψ πρῶτος βασιλεὺς Ἀθηναίων, κατήχθη ἄποικος εἰς Ἀττικὴν ἐξ Αἰγύπτου περίπου τὸ 1558. ἔτος πρὸ Χριστοῦ, καὶ ἐπόλισε ταύτην ἀγρίαν τέως τυγχάνουσαν. ἐκλήθη διφυὴς κατὰ μέν τινας διὰ τὸ δύω προϊέναι φωνὰς τὴν Ἑλλάδα καὶ τὴν τῶν Αἰγυπτίων, κατὰ δὲ ἄλλους, ὅτι νόμον ἐξέθετο τὰς γυναῖκας παρθένους ἔτι οὔσας, ἑνὶ ἐκδίδοσθαι ἀνδρί, ζωώδη τινα μίξιν τὸ πρότερον μιγνυμένας, καὶ οὐδενὸς οὔσας γυναῖκας, ἀλλ' ἑκάστῳ εἰς πορνείαν ἑαυτὰς ἐκδιδούσας, κἀντεῦθεν ἔγνωσται ἕκαστος ἐξ ἑκατέρας τῶν φύσεων, εἴτ' οὖν τῶν γονέων, ἐκ τοῦ ἑτέρου μόνου τῆς μητρὸς· μέχρι τότε ἁπάντων γνωριζομένων. Διείληπτο δὲ καὶ εὐγενέστατος πάντων Ἑλλήνων, εἴγε πάντων τὸ κατ' ἐκεῖνο καιροῦ κατὰ τὴν Ἑλλάδα κτηνώδη βίον ἀνὰ τὰ ὄρη καὶ τοὺς δρυμοὺς ἑλκόντων, αὐτὸς μόνος μεθ' ὧν ἐπηγάγετο ἀπ' Αἰγύπτου ἐβίω τε ἀνθρωπίνως, καὶ τοὺς ἄλλους βιοῦν ἐδίδαξε. (σ) Τοῦτ' ἔστιν εἰς ἀνθρώπους ἀγενεῖς καὶ ἀχρείους· Σωσίας γὰρ καὶ Τίβιος ὀνόματά εἰσι δούλων, οἳ δοκοῦσιν ἄνθρωποι γεγονέναι φαῦλοι καὶ ἀγενεῖς, ἐξ ὧν πάντες οἱ τοιοῦτοι, Σωσίαι καὶ Τίβιοι κατὰ παρωνυμίαν ἀκούουσιν. Ἐχρήσατο τῇ ἑρμηνείᾳ ταύτῃ καὶ Λουκιανὸς ἐν τῷ, Τίμων ἢ Μισάνθρωπος· „ἐκεῖνος μὲν (φησὶν) ἁρπασάμενός με αὐτῇ δέλτῳ, θέει φέρων, ἀντὶ τοῦ τέως Πυῤῥίου ἢ Δρόμωνος ἢ Τιβίου, Μεγακλῆς ἢ Μεγάβυζος ἢ Πρώταρχος μετονομασθείς. (τ) Προὔδωκεν, ἐπώλησε δώροις ἢ θωπείαις τοῦ νυμφίου ἡττηθείς· ἀντὶ δὲ τοῦ ἐξέδοτο, ἐχρήσατο ἐπίτηδες τῷ ἀπέδοτο (ὃ σημαίνει τὸ ὥσπερ ἀνδράποδον καὶ κτῆνος ἐπώλησε) τὸ τοῦ γάμου ἄτοπον καὶ ἀνόμοιον σκώπτων.

(υ) Μητρόθεν, εἴγε πατρὸς οὐδὲ ὄνομα οὐχ ὅτι γένος εἰπεῖν ἔχουσι.

(φ) Ἡ μὲν Λαΐς, ἐπίσημος ἦν ἑταίρα περὶ που τὸ 340. πρὸ Χριστοῦ ἔτος ἀκμάσασα· ἐγένετο καὶ ἐτράφη ἐν Ὑκκάροις πόλει τῆς Σικελίας, ἧς κατασκα-

Σικελίας ἐωνημένον, ὅθεν ἡ καλλίπαις (χ) ἡ τεκοῦσα τὸν περιβόητον (ψ)· καὶ αὐτὴ πάλαι μὲν ἐπαλλακεύετο ναυκλήρῳ δεσπότῃ· ἔπειτα μέντοι ῥήτορι, καὶ τούτῳ δεσπότῃ· τρίτῳ μετ' ἐκείνους ὁμοδούλῳ, καὶ λάθρα τῇ πόλει· ἔπειτα λαμπρῶς (ω) τῇ πόλει, καὶ προούσῃ (α2) τῆς τέχνης, ἧς (β2) ἐπειδὴ τὴν ἐργασίαν ὑπὸ (γ2) χαλαρᾷ ῥυτίδι κατέλυσε (δ2), τὰς (ε2) ἐν ἡλικίᾳ παιδοτριβεῖ, καὶ τοῖς ξένοις ἀντικαθίστησιν (ζ2). ὁ υἱὸς ὁ ῥήτωρ (η2) ἀφεῖσθαί φησι τῆς ἀνάγκης (θ2) τοῦ νόμου, μητέρα τρέφειν ἑταί-

---

φείσης ὑπὸ Νικίου τοῦ τῶν Ἀθηναίων στρατηγοῦ, μετεκομίσθη εἰς Κόρινθον πόλιν τῆς Ἑλλάδος εὐθυνοῦσαν τῷ τότε χρόνῳ εἰς εὐφορίαν ἑταιρίδων· ἐν ᾗ διὰ κάλλους ὑπερβολὴν ὑπῆγεν εἰς ἑαυτὴν ἐξ ἁπάσης Ἑλλάδος πάντας τοὺς πλούτῳ καὶ δόξῃ καὶ γένει κομῶντας, οὐ μὴν ἀλλὰ καὶ τοὺς ὅτι σεμνοτάτους τῶν φιλοσόφων· ἱστόρηνται γὰρ ἔρωτι ταύτης ἑαλωκότες Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος· καὶ ἕτερός τις Κυρηναῖος, ὅς τις καὶ γαμήσειν ταύτην ὑπέσχετο, καὶ Διογένης ὁ Κυνικὸς, καὶ Δημοσθένης ὁ ῥήτωρ, ὃς καὶ τὸ θρυλλούμενον οὐκ ὠνοῦμαι μυρίων δραχμῶν μεταμέλειαν, εἶπε πρὸς αὐτὴν μυρίας αὐτὸν δραχμὰς αἰτησαμένην εἰς παννυχίδος μισθόν. καὶ τὰ μὲν τῆς Λαΐδος τοιαῦτα· τὴν δὲ μητέρα τοῦ νυμφίου γενεαλογεῖ ἀπὸ ταύτης Συνέσιος, ὡς ἐκ Σικελίας καὶ αὐτὴν, ἐξ ἧς Λαῒς εἵλκουσαν τὸ γένος· τὸ γὰρ ὅθεν πρὸς τὴν Σικελίαν ποιεῖ τὴν ἀναφορὰν, οὐ πρὸς τὴν Λαΐδα ὥσπερ ἔδοξέ τισιν, οἵτινες καὶ διὰ τὸν πρὸς τὴν Λαΐδα τῶν Κυρηναίων φιλοσόφων ἔρωτα γενεαλογεῖν ἀπὸ ταύτης τὴν καλλίπαιδα Συνέσιον ἔφασαν. (χ) Εἰρωνικῶς ἀντὶ τοῦ, ἡ κακοῦ τέκνου κακὴ μήτηρ. (ψ) Περιβόητος, μέση λέξις ἐστὶ κατὰ τὸν Βαρῖνον, ὁ ἐπὶ κακοῦ ἢ ἀγαθοῦ φήμην ἔχων· ὅγε μὴν Ἀμμώνιος ἐν τῷ περὶ ὁμοίων καὶ διαφόρων λέξεων, φησὶν ὅτι τὸ περιβόητος καὶ ἐπιβόητος ἀεὶ ἐπὶ κακοῦ τίθενται, ἐπὶ καλοῦ δὲ μόνον τὸ διαβόητος. (ω) Φανερὰ πᾶσι τοῖς πολίταις. (α2) Πρώτη ἁπασῶν ἦν ἐν τῇ τέχνῃ. (β2) Ἑταιρικῆς τέχνης. (γ2) Ὅτε ῥυτίδων τὴν ὄψιν πεπλήρωται, ἐξήρωσε, χρόνον γὰρ ἡ ὑπὸ πρόθεσις ὧδε σημαίνει.

(δ2) Ἔληξε, παρῃτήσατο. (ε2) Τὰς οὔσας ἐν ἡλικίᾳ νεανικῇ ἐπιτηδείᾳ πρὸς τὰ τοιαῦτα τὰς νέας δηλαδή. (ζ2) Ἀνθ' ἑαυτῆς παρίστησι, δίδωσι, τοῖς ξένοις. (η2) Ῥήτορα λέγει τὸν νυμφίον, καθ' ὅ,τι ῥήτορι δεσπότῃ παλλακευομένη ἡ μήτηρ αὐτοῦ, ὡς εἴρηκεν ἀνωτέρω, ἔτεκεν αὐτόν. (θ2) Ὅτι ἀπηλλάγη τοῦ νόμου τοῦ ἀναγκάζοντος ἕκαστον τρέφειν τὴν ἑαυτοῦ μητέρα, ἑτέρου νόμου ἴσως κελεύοντος μὴ τρέφειν ταύτην ἑταίραν οὖσαν καὶ μοιχαλίδα.

ταίραν. ἄπαγε τȣ̃ νόμȣ· τοῖς γὰρ ὅτω γεγονόσιν (ι2) ἀποδέδεικται μὲν ἡ μήτηρ, ὁ δὲ λοιπὸς τῶν γονέων, ἀμφισβητήσιμος. ὅσον ἐν ἀμφοτέροις (κ2) παρὰ τῶν εὖ γεγονότων ὀφείλεται, τȣ̃το πᾶν ἥκειν ἔδει παρὰ τῶν ἀπατόρων εἰς τὰς μητέρας.

*) Τῷ αὐτῷ. 4.

Λύσαντες (α) ἐκ Βενδιδείȣ (β) περὶ δείλης (γ) ἑῴας, μόλις ὑπὲρ μεσȣ̃σαν (δ) ἡμέραν, τὸν Φάριον Μύρμηκα (ε) παρηλλάξα-

(ι2) Ἐκ πορνείας δηλ. (κ2) Τῷ τε πατρὶ ϗ τῇ μητρί· παίζων δὲ λέγει τȣ̃το.

(*) Συνέσιος ἐπιβὰς τῆς ἀπ' Ἀλεξανδρείας ἐπὶ Κυρήνην ἀναγομένης· ἐν τῷ μεταξὺ τȣ̃ πλȣ̃ χρῆται ἐναντίοις τοῖς πνεύμασι· μετὰ πολλὰς τȣ̀ς κινδύνȣς ἀποβαίνει πάλιν σῶς εἰς τὴν γῆν, πρεσβύτȣ χωρικȣ̃ λιμενισκίῳ Ἀζαρίῳ καλȣμένῳ τὴν ναῦν ἐνορμίσαντος· ἐντεῦθεν ἐπιστέλλει τὴν παρȣ̃σαν ἐπιστολὴν τῷ Ἀδελφῷ Εὐοπτίῳ, ἐν ᾗ ἀστείως πάνυ ϗ χαριέντως διέξεισι πάντα τὰ κατὰ τὸν πλȣ̃ν ἐκεῖνον αὐτῷ συμβάντα ἡδέα τε ϗ δεινά.

(α) Τὰ πρυμνήσια σχοινία τῆς νηός· κατ' ἔλλειψιν γὰρ προήνεκται τῆς αἰτιατικῆς· ἐν δὲ τῇ 55. ἐπιστολ. ἐντελῶς εἴρηται „Ἔλυσας τὸ πρυμνήσιον, κἀγὼ τȣ̀ς ἡμιόνȣς ἔστησα κτ. (β) Βενδίδειον, τὸ ὄνομα τȣ̃ λιμένος ἢ μέρȣς τινὸς τȣ̃ τῶν Ἀλεξανδρέων λιμένος· ἐντεῦθεν γὰρ ἀνήχθη, ὥς ἐστι δῆλον ἐξ ὧν φησι παρακατιὼν ὅτι πρὸς ἐρήμοις αὐταῖς συναυλίαν ὀλοφυρόμεθα, ϗ πρὸς Ἀλεξάνδρειαν ὁρῶντες ϗ πρὸς τὴν μητέρα Κυρήνην, ὧν τὴν μὲν, ἔχοντες ἀπελίπομεν, τὴν δὲ, εὑρεῖν ȣ̓ δυνάμεθα. ϗ ὅτι Ἀλεξάνδρειαν ἀπέλιπον, δῆλον ἐκ τȣ̃, ὧν ἔνιοι, τῶν προλαβόντων ἡμᾶς ἦσαν ἀπὸ Ἀλεξανδρείας ἡμέραν, ὅ φησι περὶ τὰ τέλη τῆς ἐπιστολῆς. (γ) Τεττή τίς ἐστιν ἡ Δείλη κατὰ τȣ̀ς παλαιȣ̀ς· ἡ μὲν, πρωΐα ἥτις λέγεται ϗ ἑῴα· ἡ δὲ, μεσημβρία, ἡ δὲ, ὀψία, ἥτις ϗ ἑσπέρα ἀκȣ́ει, ὧν ἡ μὲν πρωΐα ϗ μεσημβρία δίχα τȣ̃ ἐπιθέτȣ ȣ̓ λέγεται· ἡ δὲ ὀψία ϗ τȣ̃ ἐπιθέτȣ δίχα ἀρκȣ́ντως ἔχει· οἷον ἔσσεται ἢ Ἠὼς ἢ Δείλη ἢ μέσον ἦμαρ, ὁππότε τις ϗ ἐμεῖο Ἄρει ἐκ θυμὸν ἕληται. Ὅμηρ. Ιλ. φ. ϗ, ἐναυμάχησαν κατὰ τὴν ἠϊόνα μέχρι Δείλης ἐξ ἑωθινȣ̃, Ξενοφ. (δ) Μετὰ τὴν μεσημβρίαν. (ε) Ὁ Φάριος ȣ̃τος Μύρμηξ, ἐστιν ἢ νησίον μικρὸν πλησίον τῆς Φάρȣ, ἥτις ἐστὶ νῆσος

ξάμεν, δίς που καὶ τρὶς ἐνσχεθείσης (ζ) τῆς νεὼς τῷ τοῦ λιμένος ἐδάφει. εὐθὺς μὲν οὖν καὶ τοῦτο κακὸς οἰωνὸς (η) ἐδόκει, καὶ σοφὸν ἦν ἀποβῆναι νεὼς, ἐκ πρώτης ἀφετηρίας (θ) οὐκ εὐτυχοῦς· ἀλλὰ φυγεῖν παρ' ὑμῖν ἔγκλημα δειλίας ᾐσχύνθημεν (ι). καὶ διὰ τοῦτο.

Οὔπω ἔτ' ἔσκεν ὑποτρέσαι οὐδ' ἀναδῦναι.

Ὥς

παραμήκης, ἐν δεξιᾷ κειμένη Ἀλεξανδρείας, τῇ ἠπείρῳ προσεχεστάτη, λιμένα πρὸς αὐτὴν (τὴν ἤπειρον) ποιοῦσα ἀμφίστομον, πύργον ἀνέχουσα μέγιστον ὁμώνυμον τῇ νήσῳ, ὃν ἀνέθηκε Σώστρατος Κνίδιος φίλος τῶν βασιλέων, τῆς τῶν πλωϊζομένων σωτηρίας χάριν, ὥς φησι Στράβων ἐν τῷ, 17 βιβλίῳ τῶν Γεωγραφικῶν· ἢ μέρος ἢ ἄκρα τις αὐτῆς ταύτης τῆς Φάρου, ὃ καὶ δοκεῖ πιθανώτερον. Ὁ δὲ Μύρμηξ, οὗ μέμνηται Πτολεμαῖος ὁ φιλόσοφος ἐν τῷ δ', βιβλίῳ τῆς κατ' αὐτὸν Γεωγραφίας, λέγων ἐπὶ λέξεσιν οὕτω· ,,νῆσοι δέ εἰσι παρὰ τὴν (Κυρηναϊκὴν) χώραν αἵδε. Μύρμηξ, νῆσος λαιὰ, ἡ Ἀφροδίτης νῆσος, ἄλλος τίς ἐστι παρὰ τὸν Φάριον, κατέναντι Κυρηναϊκῆς, δέκα που μοίρας Ἀλεξανδρείας ἀπέχων πρὸς δυσμὰς, οὐχὶ δὲ, ὃν ἔφη Συνέσιος ὅτι παρήλλαξεν ὑπὲρ μεσοῦσαν ἡμέραν ἑωθινὸς ἀναχθεὶς ἀπὸ Βενδιδείου, ὥσπερ ὑπέλαβεν ὁ τὰ Λατινικὰ ἐρανισάμενος σημειώματα, μηδὲν ἐπιστήσας πῶς ὢν εἶχε Συνέσιος, ἕωθεν ἀναχθεὶς ἀπ' Ἀλεξανδρείας, παραλλάξαι ἤδη ὑπὲρ μεσοῦσαν ἡμέραν τοῦτον τὸν παρὰ Πτολεμαίῳ Μύρμηκα ὑπὲρ τὴν Κυρήνην ὄντα, ὁ μηδ' αὐτὴν Κυρήνην ἔτι ἰδὼν, ἀλλὰ πόῤῥω που ταύτης, ἐν Ἀζαρίῳ λιμενισκίῳ μεταξὺ Ἀλεξανδρείας καὶ Κυρήνης ὄντι, συναυλίαν μετὰ τῶν συμπλωτήρων ὀλοφυρόμενος καὶ τὴν παροῦσαν ἐπιστολὴν πρὸς Εὐόπτιον σχεδιάζων; (ζ) Κρατηθείσης, προσκαθισάσης· ἡ δὲ μετοχὴ αἰτιολογικὴ τὸ ποιητικὸν αἴτιον αἰτιολογοῦσα. (η) Οἰωνοὶ πάντα μὲν ὄρνεα, ἰδιαίτερον δὲ τὰ σαρκοφάγα, οἷον Γύπες, Κόρακες, καὶ τὰ τοιαῦτα, περὶ ἃ ἀναστρεφόμενοι καὶ σκοποῦντες ἐμάντευον οἱ μάντεις, ὅθεν οἰωνοὶ ἐλέγοντο καὶ αἱ μαντεῖαι, ὡς ἐνταῦθα ἡ λέξις εἴληπται· τὰ δὲ τοιαῦτα ἡμεῖς νῦν σημεῖα καλοῦμεν, καλὸν ἢ κακὸν σημεῖον τοδε λέγοντες. (θ) Ἀφετηρία, ὅρος τοῦ δρομικοῦ σταδίου· σημεῖον ὅθεν ἀφίενται τρέχειν οἱ δρομικοὶ, ὅπερ λέγεται καὶ ἄφεσις, καὶ ὕσπληγξ, καὶ γραμμὴ, καὶ βαλβὶς, ἃ πάντα δηλοῦσι ξύλον τι ἐγκαρσίως κείμενον, ὅπερ μετὰ τὸ ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν, ἀφαιροῦμενοι, ἀφίεσαν τρέχειν· ἐντεῦθεν δὲ μετέφερον τὰς λέξεις ἐπὶ πάσης ἀρχῆς, ἐκ πρώτης λέγοντες ἀφετηρίας, γραμμῆς, βαλβίδος τοῦ ζῆν, τοῦ πλοῦ κτ. ἀντὶ ἐκ πρώτης ἀρχῆς. (ι) Ἀντὶ τοῦ ᾐσχύνθημεν ἀποβῆναι τῆς νεὼς, ἵνα

Ὥστε κἄν τι συμβῇ, δι᾽ ὑμᾶς ἀπολέμεθα. Καίτοι τὶ δεινὸν (κ) ἦν ὑμᾶς τε γελᾷν, καὶ ἡμᾶς ἔξω κινδύνων ἑστάναι; ἀλλὰ τῷ Ἐπιμηθεῖ, φασὶ, (λ)

Τὸ μὲν μέλειν οὐκ ἦν, τὸ μεταμέλειν δ᾽ ἐνῆν.

Ὥσπερ ἡμῖν· τότε γὰρ ἐξὸν σώζεσθαι, νῦν πρὸς ἐρήμοις ἀκταῖς συναυλίαν (μ) ὀλοφυρόμεθα, καὶ πρὸς Ἀλεξάνδρειαν ὁρῶντες, ὡς οἷόν τε, καὶ πρὸς τὴν μητέρα Κυρήνην· ὧν τὴν μὲν, ἔχοντες ἀπελίπομεν, τὴν δὲ, εὑρεῖν οὐ δυνάμεθα, ἰδόντες τε καὶ παθόντες, ἃ μηδὲ ὄναρ ἠλπίσαμεν· ἄκουε γὰρ, ἵνα μηδὲ σὺ πάνυ χαίρειν σχολάζῃς· καὶ πρῶτον (ν) ὅπως ἡμῖν εἶχε τὰ τοῦ πληρώματος. Ὁ μὲν ναύκληρος ἐθανάτα (ξ) κατάχρεως ὤν· ναυτῶν δὲ ὄντων δυωκαίδεκα τῶν πάντων· τρισκαιδέκατος γὰρ ὁ κυβερνήτης ἦν· ὑπὲρ ἥμισυ μὲν καὶ ὁ κυβερνήτης, ἦσαν Ἰουδαῖοι, γένος ἔκσπονδον (ο) καὶ εὐσεβεῖν ἀναπεπεισμένον, ἣν ὅτι πλεί-

μὴ κατηγορηθείημεν ὑφ᾽ ὑμῶν δειλίας· διώκειν γὰρ καὶ φεύγειν ἔλεγον ἐπὶ τῶν κατηγόρων καὶ κατηγορουμένων· ἐδίωκον μὲν γὰρ οἱ κατήγοροι, ἔφευγον δὲ οἱ κατηγορούμενοι. (κ) Ἀντὶ τοῦ οὐδὲν δεινὸν ἦν. (λ) Παροιμία ἐπὶ τῶν ἀπρονοήτως τοῖς πράγμασιν ἐγχειρούντων· ὁ δ᾽ Ἐπιμηθεύς, ἀδελφὸς ἦν Προμηθέως καὶ υἱὸς Ἰαπετοῦ καὶ Κλυμένης· οἱ Ποιηταὶ ἱστοροῦσι τὸν μὲν Προμηθέα, προνοητικόν τινα καὶ ὀξύνουν· τὸν δ᾽ Ἐπιμηθέα, ἀμαρτίνοον καὶ ὀψίνουν· ἀμφοτέρους δὲ πλαστουργοὺς ἀνθρώπων, τὸν μὲν, φρονίμων καὶ εὐφυῶν, τὸν δὲ, ἠλιθίων καὶ ἀναισθήτων. οἱ δὲ περὶ μύθους δεινοί φασιν ὅτι Προμηθεὺς μέν ἐστι, νοῦς προορῶν τὸ μέλλον· Ἐπιμηθεὺς δὲ, νοῦς μετὰ τὰς ἀποβάσεις τὰ πράγματα κρίνων· ὀνόματα, φασὶ, πεπλασμένα ὑπὸ τῶν Ποιητῶν καὶ ἀλληγορούμενα. ἔπλασαν δὲ καὶ θυγατέρας αὐτῶν, τοῦ μὲν Προμηθέως τὴν Προμήθειαν, τοῦ δ᾽ Ἐπιμηθέως, τὴν Μεταμέλειαν· ἐκ τούτων δὲ παροιμίαι πολλαὶ ἐπὶ τῶν προνοητικῶν καὶ ἀπροβουλεύτων ἀνθρώπων, ὧν ἐστι μία καὶ ἡ παροῦσα. (μ) Συναυλία λέγεται ὅταν δύω ἢ πλείους αὐληταὶ τὸ αὐτὸ λέγωσιν, ἢ ὅταν αὐλὸς καὶ κιθάρα ἢ ἕτερα ὄργανα συμφωνῶσιν. ἐντεῦθεν δὲ λαμβάνεται κἀπὶ τῶν ἐφ᾽ ἑνὶ καὶ τῷ αὐτῷ πάθει θρηνούντων. (ν) Καὶ πρῶτον ἄκουε πῶς διέκειτο τὸ φορτίον, ὅπερ ἐπλήρου τὴν ναῦν· τοῦτο δὲ νοητέον μόνον ἐπὶ τῶν ἐμψύχων, ἤτοι τῶν ἐπιβατῶν· πλήρωμα γὰρ κυρίως οἱ ἐπιβάται, καταχρηστικώτερον δὲ καὶ ὁ φόρτος. (ξ) Ἐπεθύμει θανάτου. (ο) Ἄφιλον, μνησίκακον.

σης ἄνδρας Ἕλληνας ἀποθανεῖν αἴτιοι γένωνται· τὸ δὲ λοιπὸν, ἀγελαῖοι, γεωργοὶ πέρυσιν οὔπω κώπης ἡμμένοι (π)· κοινῇ (ρ) δὲ οὗτοί τε κἀκεῖνοι, πεπηρωμένοι πάντως ἔνγέ τι μέρος τοῦ σώματος. τοιγαροῦν ὡς (σ) οὐδὲν δεινὸν (τ), ἦν ἡμῖν ἐκομψεύοντο, καὶ ἐκάλουν ἀλλήλους, οὐκ ἀπὸ τῶν ὀνομάτων, ἀλλ' ἀπὸ τῶν ἀτυχημάτων (υ)· ὁ χωλὸς (φ), ὁ κηλήτης, ὁ ἀριστερόχειρ, ὁ παραβλώψ· ἕκαστος ἔνγέ τι εἶχε τοὐπίσημον (χ)· καὶ ἡμῖν τὸ τοιοῦτον (ψ) οὐ μετρίαν παρεῖχε τὴν διατριβὴν (ω). ἐν τῇ χρείᾳ δὲ (α 2) οὐκ ἔτι γέλως ἦν, ἀλλ' ἐπὶ τούτοις αὐτοῖς (β 2) ἀπῳμώζομεν, ὄντες ἐπιβάται (γ 2) πλεῖν (δ 2), ἢ πεντήκοντα, τριτημόριόν που μάλιστα γυναῖκες· αἱ πλείους νέαι καὶ ἀγαθαὶ τὰς ὄψεις· ἀλλὰ μὴ φθόνει· παραπέτασμα γὰρ ἡμᾶς ἀπετείχιζε, καὶ τοῦτο ἐῤῥωμενέστατον οὐ πάλαι διεῤῥωγότος ἱστίου τεμμάχιον, σωφρονοῦσιν ἀνθρώποις τὸ τεῖχος (ε 2) τὸ Σεμιράμιδος· ἴσως δὲ κἂν ὁ Πρίαπος (ζ 2) ἐσωφρόνησεν Ἀμαράντῳ συμπλέων· ὡς

οὐκ

(π) Οἵτινες, οὔπω παρῆλθεν ὅλος ἐνιαυτὸς ἀφ' οὗ ἥψαντο κώπης, εἴτ' οὖν ἤρξαντο ναυτίλλεσθαι. (ρ) Ἀντὶ τοῦ κοινῶς οὗτοι οἱ ἀγελαῖοι καὶ γεωργοὶ, καὶ ἐκεῖνοι οἱ Ἰουδαῖοι ἦσαν πεπηρωμένοι βεβλαμμένοι σακατημένοι. (σ) Ἀντὶ τοῦ ἕως. (τ) Φόβος, κίνδυνος. (υ) Ἀπὸ τῶν σωματικῶν πηρώσεων ὧν εἶχον ἕκαστος. (φ) Ὁ χωλὸς, ὁ κηλήτης λέγοντες ἄλλος ἄλλον. (χ) Τὸ ἴδιον σημεῖον (σακατλίκι) δι' οὗ τῶν ἄλλων διεκρίνετο. (ψ) Κόμψευμα καὶ ἀπὸ τῶν ἀτυχημάτων κάλεσμα. (ω) Ἀντὶ τοῦ μεγάλην διατριβὴν, διάχυσιν, ἐγλεντζέν. (α 2) Ὅτε δὲ ἦν χρεία αὐτῶν. (β 2) Τοῖς πεπηρωμένοις ὡς μὴ οὖσιν ὁλομελέσι καὶ ἱκανοῖς ὑπηρετεῖν τῇ τῆς νεὼς χρείᾳ. (γ 2) Ἐπιβάται, κοινῶς μὲν οἱ ἐπ' ἀλλοτρίας νεὼς πλέοντες διδόντες τὸν ναῦλον· Ἀττικῶς δὲ οἱ ἐν οἰκείᾳ μὲν νηῒ, μὴ κωπηλατοῦντες δὲ, ἀλλὰ πρὸς τὸ μάχεσθαι μόνον παρεσκευασμένοι· ἐνταῦθα κατὰ τὸ πρῶτον εἴληπται σημαινόμενον. (δ 2) Πλεῖν ἀντὶ πλέον λέγουσιν Ἀττικοὶ, Ἀριστοφ· πλεῖν σταδίου λαλίστερα, καὶ πλεῖν ἢ μύριοι, ἀντὶ τοῦ πλείους. γίνεται δὲ κατὰ κρᾶσιν Ἀττικὴν ἀπὸ τοῦ πλέον. (ε 2) Ἀντὶ τοῦ, ἐῤῥωμενέστατον ὡς τὸ τεῖχος τῆς Σεμιράμιδος. ἡ δὲ Σεμίραμις ἐγένετο περί που τὸ 1290. πρὸ Χριστοῦ. κατειργάσατο πάμπολλα ἔργα μεγάλα καὶ θαυμαστά. πρὸς δὲ, καὶ τείχη μέγιστα καὶ δυνατώτατα πρώτη περιέθηκε Νινευῇ, μετονομάσασα ταύτην Βαβυλῶνα. (ζ 2) Πρίαπος υἱὸς Διὸς καὶ Α-

οὐκ ἔςιν ὁπότε χολάζειν ἡμᾶς εἴασεν ὑπὸ τοῦ δεδιέναι τὸν ἔσχατον κίνδυνον· ὅςτις πρῶτον μὲν ἐπειδὴ (η 2) τὸν παρ᾽ ὑμῖν (θ 2) τοῦ Ποσειδῶνος νεὼν κατεκάμψαμεν, ἄρας ὅλοις ἱςίοις ἠξίου πλεῖν εὐθὺ Ταφοσίριδος (ι 2), καὶ ἀπεπειρᾶτο (κ 2) τῆς Σκύλλης, (λ 2) ἣν ἐν τοῖς γραμματίοις ἀποτροπιαζόμεθα. συνενοηκότων δὲ

φροδίτης, ἣν δὲ κατὰ τοὺς Μυθολόγους, οἵτινες διαφόρως τὰ κατ᾽ αὐτὸν ἐμυθεύσαντο, ὁ ἀναισχυντότατος πάντων θεῶν καὶ ἀκολαςότατος, καὶ πάσης αἰσχρουργίας προςάτης. (η 2) Τὸ ἐπειδὴ, χρονικόν ἐςιν ἐπίῤῥημα ὧδε. ἀντὶ τοῦ, μεθ᾽ ὅ. (θ 2) Τὸ ὑμῖν διὰ τοῦ η γράφουσί τινες, ἀλλὰ βέλτιον ἔχει διὰ τοῦ υ γραφόμενον· ὁ γὰρ Συνέσιος ἀπ᾽ Ἀζαρίου ἐπιςέλλων, φησὶν ὅτι ἐπεὶ κατεκάμψαμεν τὸν παρ᾽ ὑμῖν, εἴτ᾽ οὖν τὸν πλησίον ὑμῶν αὐτοῦ κατὰ τὸ ςόμιον τοῦ τῶν Ἀλεξανδρέων λιμένος ὄντα τοῦ Ποσειδῶνος νεὼν, ἄρας ὅλοις ἱςίοις κτλ. τὸ δὲ ἄρας, ἔχει συνεξακουομένην ἔξωθεν αἰτιατικὴν τὴν ναῦν.

(ι 2) Ταφόσιρις, πόλις Αἰγύπτου ἐπὶ θαλάττῃ, πρὸς δυσμὰς Ἀλεξανδρείας οὐ πολὺ ταύτης ἀπέχουσα. αὐτῆς δὲ πλησίον ἐπὶ τῇ θαλάττῃ, πετρῶδες χωρίον καὶ αὐτὸ δεχόμενον πολλοὺς τοὺς ἀκμάζοντας (νέους) ἅπασαν ὥραν τοῦ ἔτους. εἶτ᾽ οὖν πανηγύρεις ὥσπερ ἡ μείζων Ταφόσιρις ἡ μεσόγειος καὶ ἐπίσημος διὰ τὸν τάφον Ὀσίριδος Στράβ. 17. τῶν Γεωγραφ. (κ 2) Ἐβούλετο λαβεῖν πεῖραν. (λ 2) Σκύλλα, ἀκρωτήριόν ἐςι περὶ τὸ Ῥήγιον τῆς Σικελίας, ἐξέχον εἰς θάλασσαν, οὗ κάτωθεν πέτραι πολλαὶ καὶ μεγάλαι ἔχουσαι κοίλους τόπους καὶ σπήλαια· ἀντικρὺ δὲ ταύτης ἡ Χάρυβδις, μέσον δὲ τούτων ῥεῖ ὁ Σικελικὸς πορθμὸς ῥοώδης τις καὶ ὗτος, ὡς ὁ περὶ Εὔβοιαν Εὔριπος, καὶ τοῖς ναυτιλλομένοις φρικωδέςατος καὶ ἐπικινδυνώτατος καὶ,

ὀλοὴ ναύτῃσι κέλευθος

Στεινή τε σκολιή τε καὶ ἄχετος· ἦχι θάλασσα

Συρομένη, μακρῇσι περιβρέμεται σπιλάδεσι

Περὶ ἧς ἱςόρησαν, ἢ μᾶλλον εἰπεῖν ἐμυθεύσαντο πολλὰ Ὅμηρος, καὶ ἄλλοι τῶν ποιητῶν. Ταύτην οὖν παρέδοσάν τινες εἶναι τὴν Σκύλλαν, ἧς ἀπεπειρᾶτο Ἀμάραντος ἀπ᾽ Ἀλεξανδρείας εὐθὺ Ταφοσίριδος πλέων. Ἄλλοι δὲ πάλιν οὐ ταύτην ἀλλ᾽ ἑτέραν τινὰ ὁμώνυμον ταύτῃ ἐν Αἰγύπτῳ που ἐπὶ θαλάττης ὗσαν· εἰσὶ δ᾽ οἵτινες καὶ Κοίλης ἀντὶ Σκύλλης γράφουσιν, ἀλλ᾽ οὗτοι μὲν πάντες πόῤῥω τῆς ἀληθοῦς τοῦ συγγραφέως ἐννοίας ἐκπίπτουσιν· οἱ μὲν, ὡς γραμματικῶς τὸ λεγόμενον ἐκλαβόντες, μηδὲν περιεργασάμενοι ὡς τὸ ἀπεπειρᾶτο τῆς ἐν Σικελίᾳ Σκύλλης ἀναιρεῖ τὸν ἀπ᾽ Ἀλεξανδρείας εὐθὺ Ταφοσίριδος πλοῦν, οἱ δ᾽, ὡς τὰ ἀνύπαρκτα πλάσαντες καὶ τὰ μὴ ὄντα ἐν

δὲ ἡμῶν καὶ ἀνακεκραγότων, οὐ πρὶν ἢ ἐν χρῷ (μ 2) γενέσθαι τοῦ κιν-
δύνου μόλις ἐκβιασθεὶς, ἀπέστη τοῦ διαναυμαχῆσαι πρὸς τὰς σπι-
λάδας (ν 2). ἐντεῦθεν ἀποστρέψας τὴν ναῦν ὥσπερ ἐκ μετα-
νοίας (ξ 2), ἐπαφίησι τῷ πελάγει, τέως μὲν (ο 2) ὡς ἐδύνατο
καὶ πρὸς κῦμα (π 2) παραβαλλόμενος (ρ 2), ἔπειτα δὲ καὶ νότος
συνεπιλαμβάνει λαμπρὸς, ὑφ' οὗ ταχὺ μὲν τὴν γῆν ἀπεκρύπτο-
μεν· ταχὺ δὲ μετὰ τῶν ὁλκάδων ἦμεν τῶν Διαρμενίων, αἷς οὐδὲν ἔ-
δει Λιβύης τῆς καθ' ἡμᾶς, ἀλλὰ πλοῦν ἕτερον ἔπλεον. σχετλια-
ζόντων δὲ ἡμῶν καὶ ἐν δεινῷ ποιουμένων τὸ ἀπηρτῆσθαι τοσοῦτον τῆς
γῆς, ὁ Ἰαπετὸς (σ 2) Ἀμάραντος, ἐπὶ τῶν ἰκρίων (τ 2) ἑστὼς,
ἐτραγῴδει τὰς παλαμναιοτάτας (υ 2) ἀράς· οὐ γὰρ δὴ πτηοσόμε-
θα ἔφη· ὑμῖν δὲ πῶς ἄντις χρήσαιτο, οἳ καὶ τὴν γῆν καὶ τὴν
θάλατταν ὑποπτεύετε (φ 2); οὐκ, ἦν γέτις αὐταῖς χρῷτο καλῶς,
ὦ

τοῖς οὖσι τιθέντες· Σκύλλαν δ' ὁ Συνέσιος ὧδε οὐκ ἄλλην ἀλλ' αὐτὴν ταύτην
τὴν ἀκτὴν, ἐν ᾗ ἡ Ταφόσιρις, παρωνύμως λέγει, ὡς πετρώδη τε καὶ αὐ-
τὴν οὖσαν, καὶ οὐδὲν ἧττον, Χαρύβδεώς τε καὶ Σκύλλης τοῖς ναύτησιν ἐπι-
κίνδυνον· Γραμμάτια δὲ ἐν οἷς ἀπεπροπιάζοντο, εἴτ' οὖν ἀπεστρέφοντο, ἔφερ-
τον τὴν Σκύλλαν ταύτην, τὰ Ὁμήρου ποιήματα καὶ τῶν ἄλλων ποιητῶν,
ὅσα Σκύλλαν καὶ τὰ περὶ αὐτὴν ἱστοροῦσι· μετενεγκὼν γὰρ παρωνύμως τὸ
ὄνομα τῆς Σκύλλης ἐπὶ Ταφόσιριν, μετέφερεν ὡς εἰκὸς καὶ τὰ εἰς αὐτὴν
ποιηθέντα γραμμάτια. (μ 2) Ἐγγίσαι, πλησιάσαι· χρῶς δὲ χρωτὸς,
ἡ ἐπιφάνεια τοῦ δέρματος, τὸ δὲ χρῷ ἀπὸ τῆς χρωτὶ δοτικῆς ἀποβολῇ τοῦ
τ καὶ ὑπογραφῇ τοῦ ι. ἐχρήσατο τούτῳ κἀν τῷ περὶ Βασιλείας. καὶ, ἀπειλοῦσιν
(οἱ λόγοι) δήξεσθαι τὴν καρδίαν οὐκ ἐν χρῷ μόνον, εἴτ' οὖν οὐκ ἐξ ἐπιπολῆς
καὶ κατ' ἐπιφάνειαν, ἀλλὰ καὶ μέσην. (ν 2) Παραθαλασσίας ἀποτόμους πέ-
τρας. (ξ 2) Ὡς δῆθεν μετανοήσας. (ο 2) Πρῶτον μέν. (π 2) Καὶ
πρὸς κῦμα ὡς πρὸς τὰς σπιλάδας πρότερον. (ρ 2) Διαναυμαχῶν, πολε-
μῶν. (σ 2) Ἰαπετὸς ὄνομα κύριον, υἱὸς Οὐρανοῦ καὶ Γῆς κατὰ τοὺς μύθους·
λαμβάνεται δ' ἐνίοτε καὶ ἀντὶ ἐπιθέτου ἐπὶ διασυρμῷ ὡς ἐνταῦθα· ἀντὶ τοῦ
ἀρχαῖος, παμπάλαιος, μωρός. (τ 2) Ἰκρία, ἢ Ἴκρια τὰ κατὰ πρύμναν
καὶ πρῷραν σανιδώματα, τὰ ὑπὸ τῶν κοινῶς λεγομένων ζαβρακίων περιλάμβα-
νόμενα ὑψηλότερα τοῦ λοιποῦ καταστρώματος μέρη, ἅτινα δύω ἐστὶν ἐφ' ἑκά-
στης νηὸς, τὸ μὲν, κατὰ τὴν πρῷραν, τὸ δὲ, κατὰ τὴν πρύμναν, ἐν ᾧ ἵσταται ὁ
κυβερνήτης. (υ 2) Πικροτάτας. (φ 2) Φοβεῖσθε (χ 2) Τὸ αἴτιον δι' ὃ

ὦ λῷςε Ἀμάραντε, πρὸς αὐτὸν ἔφην. ἡμῖν δὲ οὐδὲ Ταφοσίριδος ἔδει· ζῆν γὰρ ἔδει (χ 2)· καὶ νῦν τοῦ πελάγους τί δεῖ (ψ 2); ἀλλὰ (ω 2) πλέωμεν, ἔφην, εὐθὺ Πενταπόλεως (α 3) ἀπέχοντες τῆς γῆς, ὅσον μέτριον, ἵν' εἴτι καὶ χαλεπὸν, οἷα δὴ τὰ θαλάττης, ἄδηλον δὲ δήπου (β 3) καὶ ἔςι καὶ παρ' ὑμῖν λέγεται, λιμήν τις ἡμᾶς ἐκ τοῦ σχεδὸν ὑποδέξοιτο. οὔκουν ἔπειθον λέγων, ἀλλ' ἐξεκώφει τὸ κάθαρμα, ἕως ἄνεμος ἀπαρκτίας (γ 3) ἐπαράσσει (δ 3) πολὺς, κῦμα ἐλαύνων ὑψηλὸν καὶ τραχύ· οὗτος ἄφνω προσπεσὼν, τὸ ἱςίον ἔμπαλιν ὤθησε, καὶ τὰ κυρτὰ κοῖλα πεποίηκεν (ε 3)· ἡ δὲ ναῦς ἐγγὺς ἦλθεν ἐπὶ πρύμναν ἀνατετράφθαι. μόλις δ' οὖν αὐτὴν κατεςήσαμεν, καὶ ὁ βαρύσονος Ἀμάραντος, τοιοῦτον, ἔφη (ζ 3), τὸ τέχνη ναυτίλλεσθαι· προσδέχεσθαι γὰρ αὐτὸς πάλαι τὸν ἐκ πελάγους ἄνεμον, καὶ διὰ τοῦτο με-

---

οὐκ ἔδει αὐτοῖς Ταφοσίριδος. (ψ 2) Ἀντὶ τοῦ οὐ δεῖ· ἡ γὰρ ἐρώτησις, ἀποφατικῶς μὲν, κατάφασιν ἀντεισάγει πολλάκις καὶ τὸ σιωπώμενον· καταφατικῶς δὲ, ἀπόφασιν· ὡς τὸ, ἦ μόνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεῖδαι; οὐ μόνοι δηλαδή. καὶ δῆλον ἐκ τοῦ ἐπιφερομένου πολλάκις ἐν τοῖς τοιούτοις ἀλλὰ, ὃς μάλιςα, ἄρσεως ἡγεμένης, ἐν τῇ θέσει παραλαμβάνεται. (ω 2) Ὁ ἀλλὰ, ἐπακολουθητικός ἐςι τῇ ἐν τῇ ἐρωτήσει ἄρσει, καὶ τῷ δὴ ταυτοδυναμῶν. (α 3) Πεντάπολις χώρα ἐν Λιβύῃ, ἥτις λέγεται καὶ Κυρηναϊκή. Πεντάπολις δ' ἤκουσεν ἐκ τῶν ἐπισήμων ἐν αὐτῇ πέντε πόλεων, ὧν τὰ ὀνόματα Βερνίκη, Πτολεμαΐς, Ἀπολλωνία, Ἀρσινόη, καὶ Κυρήνη. Ἦν δὲ καὶ ἄλλη Πεντάπολις ἐν τῇ Ἀραβίᾳ, ὥς φησι Πλίνιος βιβλ. 5. κεφ. ἑ. (β 3) Ἀντὶ τοῦ οἷα ἐςιν ἡ θάλασσα· τὸ δὲ ἄδηλον δήπου καὶ τὰ ἑξῆς, μέχρι τοῦ λέγεται, διὰ μέσου ἀναγνωςέον· ὁ δὲ νοῦς τῆς περικοπῆς τοιοῦτος ὁλικῶς ξυμφραζόμενος· ἵν, εἴτι καὶ χαλεπὸν ἡμῖν ἀπαντήσειε, οἷα ἐςιν ἡ θάλασσα, εἴτ' οὖν ὡς συμβαίνει ἐν τῇ θαλάσσῃ (ἄδηλον γάρ που τὸ τοιοῦτο καὶ ἔςι καὶ παρ' ὑμῖν τοῖς ναύταις λέγεται) λιμήν τις ἡμᾶς ἐκ τοῦ σύνεγγυς ὑποδέξοιτο. (γ 3) Ἄνεμος ἀπ' ἄρκτου πνέων, βορέας δηλαδή. (δ 3) Μετ' ἤχου σφοδροῦ πνεῖ. (ε 3) Τοῦτο ἐξήγησίς ἐςι τοῦ ἔμπαλιν ὤθησεν· ὁ γάρ τοι Ἀπαρκτίας ἄφνω προσπεσὼν τῇ νηΐ, τὰ ἱςία ὄντα πρὸς μὲν Νότον κοῖλα, πρὸς δὲ Βορρᾶν κυρτὰ, ἐποίησε πρὸς μὲν Νότον κυρτὰ, πρὸς δ' ἑαυτὸν κοῖλα. (ζ 3) Λάμβανε καὶ κοινοῦ τὸ, ἔφη, εἰς ἐξάρ-

μετέωρος πλεῖν· κατιέναι γὰρ νῦν ἐγκάρσιος, ἐνδιδόντος τοῦ διαστήματος (η 3) προστιθέναι τῷ μήκει· τοῦτον δὲ εἶναι τὸν πλοῦν τὸν ἡμέτερον οὐκ ἄν, εἴγε παρὰ τὰς ἀκτὰς ἐπλέομεν· προσαναπεπλάσθαι (θ 3) γὰρ αὐτῇ γῇ· καὶ ἡμεῖς ἀπεδεχόμεθα λέγοντος, ἕως ἡμέρα τε ἦν, καὶ τὰ δεινὰ οὔπω παρῆν (ι 3)· ἤρξατο γὰρ δὴ μετὰ τῆς νυκτὸς, ἀεὶ προϊόντος ἐπὶ μεῖζον τοῦ κλύδωνος. ἡμέρα μὲν οὖν ἦν, ἥντινα ἄγουσιν (κ 3), οἱ Ἰουδαῖοι παρασκευὴν, τὴν δὲ νύκτα τῇ μετ' αὐτὴν ἡμέρᾳ λογίζονται καθ' ἣν οὐδενὶ θέμις ἐστὶν ἐνεργὸν ἔχειν τὴν χεῖρα, ἀλλὰ τιμῶντες διαφερόντως αὐτὴν, ἄγουσιν ἀπραξίαν. Μεθῆκεν (λ 3) οὖν ἐκ τῶν χειρῶν ὁ κυβερνήτης τὸ πηδάλιον, ἐπειδὴ τὸν ἥλιον εἴκασεν ἀπολελοιπέναι τὴν γῆν (μ 3), καὶ καταβαλὼν ἑαυτὸν, πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων· ἡμεῖς δὲ τὴν μὲν οὖσαν αἰτίαν οὐκ εὐθὺς ἐπὶ νοῦν ἐβαλλόμεθα, ἀπόγνωσιν δὲ τὸ πρᾶγμα οἰόμενοι, προσῄειμεν, ἐλιπαροῦμεν μὴ καταπροέσθαι μηδέπω (ν 3) τὰς ἐσχάτας ἐλπίδας. καὶ γὰρ δὴ καὶ ἐπεῖχον αἱ τρικυμίαι (ξ 3),

τοῦ

τησιν τοῦ προσδέχεσθαι καὶ τοῦ πλεῖν· ὡσαύτως καὶ πρὸς τὸ κατιέναι, καὶ τὸ, τοῦτον δὲ εἶναι τὸν πλοῦν τὸν ἡμέτερον, καὶ τὸ προσαναπεπλάσθαι. (η 3) Διάστημα λέγει τὸ ἀπὸ γῆς τῆς νεὼς ἀπόστημα· μῆκος δὲ, τὸ ἀπὸ τῆς πρώρας τῆς νεὼς μέχρι Κυρήνης διάστημα· φησὶ γοῦν ὅτι νῦν οὐθ' οὕτω μετέωρος πλεῖ, κάτεισιν εὐκόλως ἐπὶ Πεντάπολιν, ἐπεὶ τὸ διάστημα εἴτ' οὖν τὸ ἱκανῶς ἀπηρτῆσθαι τῆς γῆς, ἐνδίδωσιν ἤτοι ἐπιτρέπει αὐτῷ προστιθέναι τῷ μήκει, ὅ ἐστι χωρεῖν εἰς τὰ πρόσω τοῦ πλοός· εἴδεγε παρὰ τὰς ἀκτὰς ἔπλει, οὐκ ἂν εἶχε, φησὶ, τοῦτο ποιῆσαι, τοῦ ἀνέμου πρὸς τὴν γῆν ἀεὶ ὠθοῦντος τὴν ναῦν.

(θ 3) Ἐγγίσαι, προσαράξαι· ἔστι δὲ παρακείμενος τοῦ πλάζομαι, ἢ πλάθομαι, ἅπερ συγκέκοπται ἀπὸ τοῦ πελάζομαι ἢ πελάθομαι. (ι 3) Καὶ ἡμεῖς ἕως ἡμέρα τε ἦν, καὶ τὰ δεινὰ οὔπω παρῆν ἀπεδεχόμεθα, ἤτοι ἐπῃνοῦμεν αὐτὸν λέγοντα ταῦτα. Καὶ σημείωσαι τὸ ἀποδέχομαι καὶ γενικῇ συντασσόμενον. (κ 3) Νομίζουσι, τελοῦσι. (λ 3) Ἀφῆκεν, ἀπέλιπεν. (μ 3) Ὁπότε εἴκασεν ὅτι ἔδυ ὁ ἥλιος· ἀντὶ δὲ τοῦ δῦναι τὸν ἥλιον, ἀπολελοιπέναι τὴν γῆν εἴρηκε περιφραστικῶς. (ν 3) Τὸ δεύτερον μὴ παρέλκει.

(ξ 3) Καὶ γὰρ καὶ αἱ τρικυμίαι, εἴτ' οὖν αἱ σφοδρόταται ταραχαὶ, τὰ μεγάλα καὶ ὑψηλὰ κύματα ἐπεῖχον, ὅ ἐστιν ἐμετρίαζον, ἤρχοντο κοπάζειν, καθ'

τ͂ πελάγες ϗ πρὸς ἑαυτὸ ϛασιάσαντος. γίνεται δὲ (ο 3) τῦτο, ὅταν μὴ τῷ λήξαντι πνεύματι ϗ τὰ παρ᾽ ἑαυτῦ συνανατπαύσηται κύματα, ἀλλ᾽ ἰχύον ἔχοντα τὸ ἐνδόσιμον (π 3) τ͂ κινήσεως, ὑπαντιάζῃ τῇ τ͂ Πνεύματος ἐπικρατείᾳ (ρ 3), ϗ ἀντεμβάλλῃ ταῖς ἐμβολαῖς. ἔδει γάρ μοι ϗ φλεγμαινόντων (σ 3) ὀνομάτων, ἵνα μὴ τὰ μεγάλα κακὰ σμικροπρεπέςερον διηγήσωμαι. τοῖς ὖν ἐν τῷ τοιῷδε (τ 3) πλέυσιν, ἀπὸ λεπτῦ, φασὶ, μίτυ τὸ ζῆν ἠρτῆσθαι (υ 3), εἰδὲ ϗ ὁ κυβερνήτης νομοδιδάσκαλος εἴη, τίνα δεῖ ψυχὴν ἔχειν; ἐπεὶ δ᾽ ὖν συνήκαμεν τὸν νῦν τ͂ ἀπολείψεως τ͂ πηδαλίων· δεομένων γὰρ ἡμῶν σώζειν ἐκ τῶν ἐνόντων (φ 3) τὴν ναῦν, τὸ Βιβλίον ὑπανεγίνωσκε· πειθῦς ἀπογνόντες, ἀνάγκην ἤδη προσήγομεν (χ 3)· καί τις ϛρατιώτης μονάδας· συμπλέυσι δὲ ἡμῖν Ἀράβιοι συχνοὶ τ͂ ἀπὸ τ͂ τάγματος τ͂ ἱππέων· τὸ ξίφος απασάμενος (ψ 3), ἠπείλησε τἀνθρώπῳ τὴν κεφαλὴν ἀποκόψειν, εἰμὴ ἀντιλήψοιτο τ͂ σκάφυς. ὁ δὲ αὐτόζημα Μακκαβαῖος (ω 3), οἷος ἦν (α 4) ἐγκαρτερῆσαι (β 4) τῷ δόγματι. μεσύσης δὲ ἤδη τ͂ νυκτὸς, ἀναπείθεται

ἔ,τι τὸ πέλαγος ἐςασίασε ϗ πρὸς ἑαυτό. Ὅταν γὰρ πνεύματος σφοδρῦ λήξαντος, ἕτερον ἀκριβῶς ἀπ᾽ ἐναντίας ἀρθῇ, τότε δὴ τῶν μὲν τ͂ προτέρυ κυμάτων ἀδυνατεῖν ἀρχομένων, τῶν δὲ τ͂ δευτέρυ μήπω ἱκανὴν ἐχόντων τὴν δύναμιν, κοπάζει πως ἡ ταραχὴ τῆς θαλάσσης πρὸς τὸ παρὸν ϗ μετριωτέρα γίνεται. Ὁ δὲ νῦς, τοιῦτος· ἐλιπαρῦμεν μήπω καταπροέσθαι τὰς ἐχάτας ἐλπίδας, εἴγε ϗ αἱ τρικυμίαι ἤρξαντο καταπίπτειν. (ο 3) Ἑρμηνεία ἐςὶ τῦτο τῆς πρὸς ἑαυτὸ τ͂ πελάγυς ςάσεως. (π 3) Τὴν ἀρχὴν ϗ δύναμιν. (ρ 3) Τῦτ᾽ ἔςι τῷ ἐπικρατῦντι πνεύματι. (σ 3) Ὑπερόγκων δραςικῶν. (τ 3) Ἐν τῷ τοιύτῳ καιρῷ ἢ πελάγει πλέυσι· ἡ δὲ δοτικὴ ἀντὶ γενικῆς κτητικῆς τ͂ ζῆν κεῖται· (υ 3) Τὸ ἀπὸ μίτυ λεπτῦ ἀρτᾶσθαι τὸ ζῆν, παροιμία ἐςὶν ἐπὶ τῶν ἐγγὺς κινδύνυ τῦ ζῆν γινομένων, ἀπὸ τ͂ μίτυ τῆς Κλωθῦς, ἐξ ὗ ἔφασαν οἱ μῦθοι ἀρτᾶσθαι ἕκαςον εἰλημμένη. (φ 3) Τὸν δυνατὸν τρόπον. (χ 3) Αὐτῷ, εἴτ᾽ ὖν ἠναγκάζομεν αὐτόν. (ψ 3) Ἐξελκύσας τῆς θήκης. (ω 3) Ὁ δὲ κατὰ τὺς Μακκαβαίυς ἰσχυρογνώμων ϗ ἀμετάπειςος. (α 4) Πρόθυμος ἦν. (β 4) Πάντα δεινὰ ϗ θάνατον αὐτὸν ὑπομεῖναι διὰ τὸν νόμον, ὅς περ ὐκ ἐπέτρεπεν αὐτῷ κατὰ

θεται παρ' ἑαυτῷ πρὸς τῇ καθέδρᾳ γενέσθαι· νῦν γὰρ, φησὶν, ὁ νόμος ἐφίησιν (γ 4)· ἐπειδὴ νῦν σαφῶς τὸν ὑπὲρ τῆς ψυχῆς (δ 4) θέομεν (ε 4). πρὸς τοῦτο αἴρεται θόρυβος ἐξ ἀρχῆς (ζ 4), ἀνδρῶν οἰμωγὴ, γυναικῶν ὀλολυγή· ἅπαντες ἐθεοκλύτουν (η 4), ἐποτνιῶντο (θ 4), τῶν φιλτάτων (ι 4) ὑπεμιμνήσκοντο· μόνος Ἀμάραντος εὔθυμος ἦν, ὡς αὐτίκα ἂν παραλύψων τοὺς δανειστάς. ἐμὲ δὲ ἐν τοῖς δεινοῖς, ὄμνυμί σοι θεὸν, ὃν Φιλοσοφία πρεσβεύει (κ 4), τὸ Ὁμηρικὸν ἔθραττεν (λ 4) ἐκεῖνο, μὴ ἄρα ἀληθὲς εἴη, τὸν καθ' ὕδατος θάνατον, ὄλεθρον εἶναι καὶ αὐτῆς τῆς ψυχῆς· λέγει γάρ που τῶν ἐπῶν·

Αἴας δ' ἐξαπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.

Τὸν ἐν θαλάττῃ (θάνατον) ἀκριβεστάτην ἀπώλειαν εἶναι τιθέμενος· οὐδένα γοῦν ἄλλον ἐξαπολωλέναι φησὶν, ἀλλ' ἕκαστος ἀποθνήσκων,

Ἄϊδός δ' ἐβεβήκει.

Ταῦτ' ἄρα καὶ ἐν δυοῖν νεκύαιν (μ 4) ὁ μικρὸς Αἴας οὐδαμοῦ τοῦ δράματος εἰσενήνεκται, ὡς τῆς ψυχῆς οὐκ οὔσης ἐν ᾅδου. καὶ Ἀχιλλεὺς, ἀνὴρ εὐψυχότατός τε καὶ φιλοκινδυνότατος, ἀποδειλιᾷ πρὸς τὸν ἐν ὕδατι θάνατον, ὅνγε καὶ λευγαλέον (ν 4) καλεῖ. τούτους ἐλίττων τοὺς λογισμοὺς, ὁρῶ τοὺς στρατιώτας ἅπαντας ἐσπασμένους μαχαίρας· καὶ πυθόμενος ἐμάνθανον παρ' αὐτῶν, ὡς καλὸν ἐπὶ τοῦ καταστρώματος ὄντας ἔτι, πρὸς τὸν ἀέρα τὴν ψυχὴν ἐρυγεῖν

ταύτην ἐργάζεσθαι τὴν ἡμέραν· ἢ, ὃ καὶ μᾶλλον, ἐνεγκεῖν τὸ δόγμα εἴτ' οὖν τὴν ψῆφον καὶ ἀπόφασιν τοῦ στρατιώτου, ὃς ἠπείλησεν ἀποκόψειν αὐτοῦ τὴν κεφαλήν. (γ 4) Ἐπιτρέπει, συγχωρεῖ. (δ 4) Ζωῆς. (ε 4) Ἀγῶνα, εἴτ' οὖν κινδυνεύομεν. (ζ 4) Αὖθις. (η 4) Ἐπεκαλοῦντο θεοὺς εἰς βοήθειαν.

(θ 4) Ἐδυσφόρουν. (ι 4) Φίλτατα κυρίως ἡ γυνὴ καὶ τὰ τέκνα. (κ 4) Σέβεται, τιμᾷ. (λ 4) Ἐφόβει. (μ 4) Συναθροίσεσιν, συνομιλίαις τῶν ἐν Ἅδου νεκρῶν, αἵτινες φέρονται παρ' Ὁμήρῳ, ἡ μὲν, ἐν τῷ Λ τῆς Ὀδυσσείας· ἡ δὲ, ἐν τῷ Ω. (ν 4) Ὀλέθριον, λευγαλέος δὲ παρὰ τὸ λοιγὸν ὃ σημαίνει τὸν ὄλεθρον, λοιγαλέος καὶ μεταθέσει τῶν στοιχείων λευγαλέος.

γεῖν (ξ 4), ἀλλὰ μὴ πρὸς κῦμα χανόντας. τούτους αὐτοφυεῖς Ὁμηρίδας ἐνόμισα, καὶ ἔθέμην τῷ δόγματι. εἶτα κηρύττει τὶς ἐξαρτᾶσθαι χρυσίον, οἷς ἐστι· καὶ οἷς ἦν, ἐξήρτητο, καὶ χρυσίον, καὶ ὅ,τι ἄξιον χρυσίου. καὶ αἱ γυναῖκες αὐταί τε ἐσκευάζοντο, καὶ τοῖς δεομένοις ἀρπεδόνας διένεμον· πάλαι καταδεδειγμένον τοῦτο ποιεῖν, νῦν δὲ ἔχει τοιοῦτον. φέρειν δεῖ τιμὴν ἐντάφιον τὸν ἐκ ναυαγίου νεκρόν· ὁ γὰρ προσυχὼν καὶ κερδάνας, νόμους Ἀδραστείας αἰδέσεται, μὴ οὐχὶ μικρόν τι μέρος ἀποδάσασθαι τῷ χαρισαμένῳ τὸ πολλαπλάσιον. καὶ οἱ μὲν, ἦσαν πρὸς τούτοις· ἐγὼ δὲ παρακαθήμενος τὸ παλαμναῖον βαλάντιον, τὴν παρακαταθήκην τοῦ ξένου ἔκλαιον· ὡς οἶδεν ὁ ξένιος, οὐκ εἰ τεθνηξοίμην, ἀλλ᾽ εἰ ὁ Θρᾶξ ἀποστερήσοιτο τῶν χρημάτων ἕνεκεν· ὃν καὶ ἀποθανὼν ἂν ᾐσχυνόμην. ἐνταῦθα μένγε τὸ ἐξαπολωλέναι κέρδος ἦν, καὶ συναπολωλέναι καὶ ἀποδρᾶσαι τὴν αἴσθησιν. ὃ δὲ ἐποίει παρὰ πόδας τὸν κίνδυνον, οὐχ ἕτερον ἦν, ἀλλ᾽ ὅτι πᾶσιν ἱστίοις ἡ ναῦς ἐφέρετο· ὑποτεμέσθαι δὲ οὐκ ἦν, ἀλλὰ πολλάκις ἐπιχειρήσαντες τοῖς καλωδίοις, ἀπηγορεύκειμεν, τῶν τροχῶν ἐνδακόντων, καὶ ὑφώρμει δέος οὐκ ἔλαττον, εἰ καὶ διαφευγοίμεθα ἐκ τοῦ κλύδωνος, οὕτως ἔχοντας ἐν νυκτὶ πελάζειν τῇ γῇ. Φθάνει δὲ ἡμέρα, καὶ ὁρῶμεν τὸν ἥλιον, ὡς οὐκ οἶδα εἴποτε ἥδιον. τὸ δὲ πνεῦμα ῥᾷον ἐγίνετο τῆς ἀλέας ὑποδιδούσης, καὶ ἡ δρόσος ἐξισαμένη, παρεῖχεν ἡμῖν κεχρῆσθαι τοῖς καλωδίοις, καὶ τὸ ἱστίον μεταχειρίζεσθαι· ὑπαλλάττειν μὲν οὖν ἱστίον ἕτερον νόθον οὐκ εἴχομεν· ἠνεχυρίαστο γάρ· ἀνελαμβάνομεν δὲ αὐτὸ καθάπερ τῶν χιτώνων οἱ κόλπους· καὶ πρὶν ὥρας εἶναι τέτταρας, ἀποβαίνομεν οἱ τεθνάναι προσδοκήσαντες ἐν ἐσχατιᾷ τινι πανερήμῳ, καὶ οὔτε πόλιν οὔτε ἀγρὸν ἐχούσῃ γείτονα, σταδίους ἑκατόν που πρὸς τοῖς τριάκοντα κατόπιν ἀγροῦ. Ἡ μὲν οὖν ναῦς ἐσάλευεν ἐπὶ μετεώρου· λιμὴν γὰρ ὁ τόπος οὐκ ἦν, καὶ ἐσάλευεν ἐπ᾽ ἀγκύρας μιᾶς· ἡ ἑτέρα δὲ ἀπημπόλητο· τρίτην γὰρ ἄγκυραν Ἀμάραντος

(ξ 4) Ἐρεύξασθαι, παραδοῦναι· τὸ δὲ ἐρυγεῖν λάβε ἀπὸ κοινοῦ ἢ εἰς τὸ

τος οὐκ ἐκτήσατο. ἡμεῖς δὲ ἐπειδὰν τῆς φιλτάτης ἡψάμεθα γῆς, περιβάλλοιμεν ὥσπερ ἔμψυχον οὖσαν μητέρα· καὶ ἀποθύσαντες ὕμνους τῷ Θεῷ χαριστηρίους, ὥσπερ εἰώθειμεν, προσεθήκαμεν αὐτοῖς (ο 4) καὶ τὴν ἔναγχος τύχην, ἀφ᾽ ἧς παρὰ δόξαν (π 4) ἐσώθημεν, δύο ἑξῆς ἐπιμείναντες ἡμέρας, ἕως ἂν ἀφυβρίσῃ (ρ 4) τὸ πέλαγος. ἐπεὶ δὲ ἄπορον ἦν ὁδῷ χρήσασθαι, μηδενὸς ἀνθρώπων ὁρωμένου, πάλιν ἐπετολμήσαμεν τῇ θαλάσσῃ. καὶ ἄραντες εὐθὺς ἀρχομένης ἡμέρας, ἐπλέομεν ἐκ πρύμνης ἀνέμου πᾶσαν αὐτὴν καὶ τὴν ἐπιγινομένην ἡμέραν· ἧς ἤδη ληγούσης, τὸ πνεῦμα ἀπέλιπεν ἡμᾶς, καὶ ἡμεῖς ἠνιάθημεν. ἐμέλλομεν δὲ ἄρα ποθήσειν γαλήνην. ἦν μὲν οὖν τρισκαιδεκάτη (σ 4) φθίνοντος· ἐπηωρημένου δὲ τοσούτου κινδύνου, μελλούσης εἰς ταὐτὸ συνδραμεῖσθαι τῆς τε συνόδου τῶν ἀστέρων, καὶ τῶν πολυθρυλλήτων τυχαίων (τ 4), ἃ μηδείς ποτε, φασὶ, πλέων ἐθάρσησε, καὶ δέον ἡμᾶς ἐλλιμενίζειν, οἱ δ᾽, ἐλελήθειμεν αὖθις ἀναδεδραμηκότες ἐπὶ τὸ πέλαγος. ἡ δὲ στάσις ἤρξατο μὲν ἀπὸ τῶν ἀρκτικῶν πνευμά-

---

πρὸς κῦμα. (ο 4) Τοῖς ὕμνοις. (π 4) Παρ᾽ ἐλπίδα. (ρ 4) Καταπραΰνῃ, μετριάσῃ. (σ 4) Ἡ σελήνη τῇ τεσσαρεσκαιδεκάτῃ πλησιφαὴς εἴτ᾽ οὖν πανσέληνος γινομένη, ἀπὸ τῆς δεκάτης πέμπτης καὶ ἑξῆς ἄχρι τέλους εἴτ᾽ οὖν τῆς συνόδου φθίνουσα διατελεῖ. Ὁ γοῦν Συνέσιος τὴν τῆς Σελήνης φθίσιν οὐκ ἀπὸ τῆς εἰκάδος τοῦ μηνὸς ὡς σύνηθες, ἀπὸ δὲ τῆς πέμπτης μεσοῦντος ὡς εἰκὸς λογιζόμενος, τρισκαιδεκάτην φθίνοντος ἐννοεῖ τὴν εἰκοστὴν ἑβδόμην τοῦ μηνὸς, τὴν καὶ Ἕνην τοῖς πάλαι καλουμένην, ἣν καὶ οἱ περὶ τὸν Κωμικὸν Ἀριστοφάνη μάλιστα πασῶν ἡμερῶν δεδοίκασι· ταῖς γὰρ αὐξούσαις τεσσαρεσκαίδεκα προστιθέμεναι ἐφεξῆς αἱ φθίνουσαι τρισκαίδεκα, τὸν σεληνιακὸν μῆνα ἀποπληροῦσι. (τ 4) Τυχαῖα ἐννοεῖ τὰ κατὰ τὴν τῶν φωστήρων σύνοδον ἔν τε τῷ ἀέρι καὶ τῇ θαλάσσῃ συμβαίνοντα, τὴν ὡς ἑξῆς φησιν, ἀκοσμίαν τῶν πνευμάτων, τὸν ῥαγδαῖον ὑετὸν, καὶ τὴν τῆς θαλάσσης ἐντεῦθεν ταραχώδη καὶ οἷον βρασματώδη στάσιν, τὰ ὑπὸ πάντων τῶν πλωτήρων ἐκ τῆς συνεχοῦς πείρας περιλαλούμενα, ἅτινα, τυχαῖα ἤκουσε κατὰ τὴν τῶν πολλῶν δόξαν, οἰομένων αὐτομάτῳ τινὶ συντυχίᾳ κατά τινα ἄτακτον καὶ τυχαίαν φορὰν, οὕτως ἀναφαίνεσθαι, τὰ δὲ, οὐχ οὕτως ἔχει, ἀλλ᾽ ὡς ἡ ἀναγκαία τῆς φύσεως τάξις ἐπιζητεῖ τὸ ἐν τοῖς γιγνομένοις ἀκόλουθον, οὕτως ἕκαστα γίγνεται (ὅρα Σουΐδαν ἐν τῷ, τυχαῖα.

μάτων, καὶ ὥστε γε πολλὰ καὶ τὴν συνοδικὴν νύκτα. ἔπειτα ἠκόσμει τὰ πνεύματα, καὶ ἡ θάλασσα κυκεὼν ἐγεγόνει· τὰ δὲ περὶ ἡμᾶς, οἷα εἰκὸς ἦν ἐν τοῖς τοιούτοις, ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα. ἐν οἷς οὖν, ὤνησέ τι τὸ μέγεθος τοῦ χειμῶνος (υ 4). τὸ κέρας ἐτετρίγει, καὶ ἡμεῖς ᾠόμεθα προτονίζειν (φ 4) τὴν ναῦν. εἶτα κατεαγὸς μέσον, ἐγγὺς μὲν ἦλθεν ἀπολέσαι πάντας ἡμᾶς· ἐπεὶ δὲ οὐκ ἀπολώλεκεν, αὐτὸ δὴ τοῦτο καὶ περιέσωσεν· οὐ γὰρ ἦν ἄλλως ἐνέγκαι τὴν βίαν τοῦ πνεύματος· πάλιν δὲ δυσπειθὲς ἦν τὸ ἱστίον, καὶ οὐκ εὔτροχον εἰς καθαίρεσιν. Οὕτως οὖν παρὰ δόξαν ἀποφορτισάμενοι τὴν ἀπλησίαν τῆς βιαίας φορᾶς, ἡμέραν ἑξῆς καὶ νύκτα ἠνέχθημεν, ἧς ἤδη περὶ δευτέραν οὔσης ὀρνίθων

(υ 4) Τὰ τοῦ παρόντος χωρίου διεφθάρθαι τι δοκεῖ τῇ τῶν διαφόρων ἀντιγραφέων καὶ τυπογράφων ἀπειρίᾳ. εἴγ' οὐδ' ἀκολουθίαν συντάξεως οὐδὲ ἔννοιάν τινα ἔχει, ὡς ἔχει νῦν ἐν τῷ ὕφει. εἴγε μὴν διορθείη τὸ δεύτερον ἦν, θεραπεύσει πως καὶ τὰ τῆς ἐννοίας καὶ τὰ τῆς συντάξεως κατά γε τὸ ἐμοὶ δοκοῦν· εἴη γὰρ ἂν τότε τοιοῦτος ὁ νοῦς. τὰ δὲ περὶ ἡμᾶς ἦσαν τοιαῦτα, οἷα εἰκὸς ἦν ἐν τοῖς τοιούτοις εἶναι, ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα· ἐν οἷς (οὖσι τοιούτοις) ὤνησέ τι (ἡμᾶς) τὸ μέγεθος τοῦ χειμῶνος. τὴν δὲ ὄνησιν ἑρμηνεύει ἐν τοῖς ἑξῆς λέγων ὅτι κατεάγη τὸ κέρας καὶ περιέσωσεν αὐτοὺς κτ. Εἰμήτις φυλαττόμενος κινεῖν τὰ τοῦ ὕφους, ἱερὰ δόγματα τὰ τῶν τυπογράφων καὶ ἀντιγραφέων, καὶ μὲν δὴ καὶ ξυγγραφέων ἔσθ' ὅτε ἁμαρτήματα ἡγούμενος, εἴποι, ὡς τὸ, τὰ περὶ ἡμᾶς οὐκ ἔστιν εὐθεῖα, ἀλλ' αἰτιατικὴ ἐκ περιττοῦ τοῦ ὤνησεν ἀποδιδομένη, τὸ δὲ οἷα οὐκ ἀναφορικὸν ὄνομα, ἀλλ' ὁμοιώσεως ἐπίρρημα τῷ ὡς ταυτοδυναμοῦν· τό,τε ἐν οἷς ἦν, καθ' ὑστερολογίαν ἐτέθη μετὰ τὸ, ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα· ὥστ' εἶναι κατ' αὐτὸν τὴν ἔννοιαν τοιαύτην, τὰ δὲ περὶ ἡμᾶς ὄντα, ὡς εἰκὸς ἦν, ἐν τοῖς τοιούτοις ἐν οἷς ἦν (ἵνα μὴ πάθη παρ. δὶς ἀφ.) ὤνησέ τι τὸ μέγεθος τοῦ χειμῶνος. (φ 4) Ὅτι ἡ ναῦς ἐποίει ἦχον διὰ τῶν προτόνων τῇ τοῦ πνεύματος βίᾳ ἐντεινομένων. πρότονα δὲ κατὰ μέν τινας, σχοινία δι' ὧν τὰ ἱστία ἀνέλκονται καὶ χαλῶνται. κατ' ἄλλους δὲ, τὰ ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ ἐπὶ τὴν πρώραν καὶ τὴν πρύμναν ἐκτεινόμενα σχοινία· κατὰ δὲ τοὺς εἰδότας, φησὶν Εὐστάθειος, τὰ σχοινία τὰ συνδέοντα τὸ κέρας, εἴτ' οὖν τὴν κοινῶς λεγομένην ἀντέναν, πρὸς τὸν ἱστὸν, ὅς περ κατάρτι παρ' ἡμῶν νῦν λέγεται.

νίθων ᾠδὴν, ἐλάθομεν ἐγχείψαντες (χ 4) ἀκαρῆ πέτρᾳ προβεβλημένῃ τῆς γῆς, ὅσον εἶναι βραχεῖαν Χεῤῥόνησον. βοῆς δὲ γινομένης, ἐπειδή τις παρεγγεγγύησεν αὐτῇ γῇ πελάσαι, θροῦς ἤρθη πολὺς καὶ ἥκιστα ξύμφωνος, τῶν μὲν ναυτῶν πεφρικότων, ἡμῶν δὲ ἐξ ἀπειρίας τὼ χεῖρε ἐπικροτούντων, καὶ περιβαλλόντων ἀλλήλους, καὶ οὐκ ἐχόντων ὅπως χρησώμεθα τῷ πλήθει τῆς χαρᾶς· ἐλέγετο δὲ ὁ μέγιστος αὐτὸς εἶναι τῶν περιστάντων ἡμᾶς κινδυνῶν. ἤδη δὲ ὑποφαινομένης ἡμέρας, κατασείει τὶς ἄνθρωπος χωρικῶς ἐσταλμένος, καὶ δείκνυσι τῇ χειρὶ τόπους ὑπόπτους (ψ 4), καὶ ἑτέρους οὓς ἔδει θαῤῥῆσαι· καὶ τέλος μόνος ἦλθεν ἐπὶ κελητίου δισκάλμου (ω 4), ὅσπερ ἐξάψας τοῦ πλοίου, μεταχειρίζεται τὸ πηδάλιον· ὁ δὲ Σύρος ἄσμενος ἐξέστη τῆς προεδρίας. ἀναλύσας δὲ σταδίους οὐ πλείους ἢ πεντήκοντα, τήν τε ναῦν ἐνορμίζει λιμενισκίῳ χαρίεντι· Ἀζάριον οἶμαι καλοῦσιν αὐτό· καὶ ἡμᾶς ἐπὶ τῆς ἠϊόνος ἀπεβίβασε, σωτὴρ καὶ δαίμων ἀγαθὸς ἀποκαλούμενος. καὶ μετὰ μικρὸν ἑτέραν ὁλκάδα (α 5) εἰσήλασε, καὶ μάλα ἄλλην, καὶ πρὶν ἑσπέραν εἶναι, πέντε γεγόναμεν ὑπὸ τοῦ θεσπεσίου πρεσβύτου περισωθεῖσαι φορτίδες, πρᾶγμα ἐναντιώτατον τῷ Ναυπλίῳ ποιοῦντος· ● γὰρ οὐχ ὁμοίως ἐκεῖνος ἐπὶ ἀπὸ τοῦ χειμῶνος ἐδέξατο (β 5). ἐς δὲ τὴν ὑστεραίαν, ἄλλοι κατῆραν, ὧν ἔνιοι, τὴν πρό-

---

(χ 4) Προσερείψαντες. (ψ 4) Οὓς ἔδει φοβεῖσθαι. (ω 4) Ἐπὶ Ἀκατίου δύω σκαλμοὺς ἔχοντος· σκαλμὸς δὲ ὁ πάσσαλος, περὶ ὃν δεσμοῦσι τὴν κώπην.

(α 5) Ὁλκὰς κυρίως ἡ φορτηγὸς ναῦς, ἥτις καὶ φορτὶς λέγεται. (β 5) Ὁ μὲν γὰρ Ναύπλιος ναυαγῆσαι τὰς τῶν Ἑλλήνων παρεσκεύασε νῆας, οὗτος δὲ τὴν ἡμετέραν καὶ τὰς λοιπὰς τοῦ κινδύνου περιέσωσεν· ἡ δὲ Ἱστορία τοιαύτη τίς ἐστιν. Ὀδυσσεὺς ὁ πολύμητις ἐν τῷ Τρωϊκῷ πολέμῳ φθονῶν Παλαμήδῃ, κατηγόρησεν αὐτὸν εἰς Ἀγαμέμνονα πεπλασμέναις γραφαῖς ὡς ἔμελλε παραδώσειν τῷ Πριάμῳ τοὺς Ἕλληνας· ὁ δ' Ἀγαμέμνων πιστεύσας τῇ διαβολῇ ἐλιθοβόλησε Παλαμήδην. Ναύπλιος δ' ὁ πατὴρ αὐτοῦ μαθὼν τὴν τοῦ ἀναίρεσιν, ἔπλευσεν ἐπὶ Τροίαν πρὸς Ἕλληνας, καὶ τὴν τοῦ παιδὸς ἀπῄτει ποινήν. ἄπρακτος δὲ ὑποστρέψας πάντων χαριζομένων τῷ Βασιλεῖ Ἀγαμέμνονι, μεθ' οὗ Παλαμήδην ἀνεῖλεν Ὀδυσσεὺς, παραπλέων λοιπὸν τὰς Ἑλληνικὰς πό-

προλαβόντων ἡμᾶς ἦσαν ἀπὸ Ἀλεξανδρείας ἡμέραν· καὶ νῦν ὁλόκληρος ἐσμὲν στόλος ἐν νεωρίῳ μικρῷ. ἐπεὶ δὲ ἡμῖν ἤδη καὶ τὰ ἐφόδια κατεδήδοτο· οὐ γὰρ ὄντες ἐθάδες ἀτυχεῖν (γ 5), οὐδ' ἐλπίσαντες ὑπερήμεροι γενέσθαι (δ 5), μέτριά γε ἐνετιθέμεθα, καὶ οὐδὲ τούτοις μετρίως ἐχρώμεθα· ὁ δὲ Πρεσβύτης καὶ τοῦτο ἠκέσατο (ε 5) διδοὺς μὲν οὐδέν· οὐ γὰρ οὐδ' ὅμοιος ἦν ἔχοντι· δείξας δὲ πέτρας, ἐν αἷς ἄριστον ἔφη καὶ δεῖπνον ἑκάστης ἡμέρας κεκρύφθαι τοῖς βουλομένοις πονεῖν· ἐντεῦθεν ἰχθυώμενοι, ζῶμεν ἡμέραν ἑβδόμην ἤδη, οἱ μὲν ἐντελεῖς, μυραίνας τε καὶ καράβους εὐμεγέθεις αἱροῦντες· τὰ δὲ μειράκια ἐπὶ κωβίοις εὐτυχεῖ καὶ ἰούλοις. ἐγὼ δὲ καὶ ὁ θρησκευτὴς (ζ 5) ὁ Ῥωμαῖος, ἐπὶ ταῖς λεπάσι ζωννύμεθα· ἡ δὲ λεπὰς, ὄστρεον ἐπὶ κοῖλον, ὅπερ ἐπειδὰν λάβηται πέτρας, ἀπρὶξ ἵζεται (η 5). τὰ μὲν οὖν πρῶτα, γλίσχρως ἐζῶμεν ἀπὸ τῆς θήρας, περιεχόμενος (θ 5) ἕκαστος ὅτου καὶ λάβοιτο· ἐδίδου δὲ δῶρα οὐδεὶς οὐδενί. νῦν δὲ ἐν ἀφθονωτέροις ἅπαντες ἀπὸ τοιᾶσδε αἰτίας. αἱ γυναῖκες ταῖς γυναιξὶν, αἱ Λίβυσσαι ταῖς πλευσάσαις, βούλοιντο μὲν ἂν καὶ τὸ τῶν ὀρνίθων γάλα παραχεῖν· παρέχουσι γοῦν ὅσα αὐταῖς ἀήρ τε φέρει καὶ γῆ, τυροὺς, ἄλευρα, πέμματα ἐκ κριθῶν, κρέα ἄρνεια, ἀλεκτορίδας, ᾠὰ ἀλεκτόρεια. ἤδη δέ τις καὶ ὠτίδα ἔδωκεν, ὄρνεον ἐκτόπως ἡδύ· ἰδὼν ἂν ἄγροικος ἐπείποι ταών. αὗται δὴ κατακομίζουσιν ἐπὶ τὴν ναῦν τὰ δῶρα. αἱ δὲ δεχόμεναι κοινοῦνται τοῖς βουλομένοις. οἱ δὲ, ἡμῖν ἤδη τὰ ἀπὸ τῆς θήρας δωροῦνται. καὶ ἥκει τὶς ἄλλος ἐπ' ἄλλῳ, παῖς ἐπ' ἀνδρὶ, καὶ ἀνὴρ ἐπὶ παιδὶ, φέρων ἀεί τί μοι ξένιον, ὁ μὲν, ἠγκιστρωμένον ἰχθύδιον, ὁ δὲ ἄλλος

ἄλλο

λεις, ἄλλα τε κακὰ τοὺς Ἕλληνας ἐποίησε, καὶ τελευτῶν ἀκούσας τὴν αὐτῶν ἐπὶ τὴν πατρίδα ἐπάνοδον, ἀπελθὼν εἰς Εὔβοιαν, ἧψε φρυκτὸν νυκτὸς ἐπὶ τὰ κοῖλα ταύτης καὶ τὸν λεγόμενον Καφηρέα, ὅπου πλεύσαντες οἱ Ἕλληνες λιμένα αὐτοῦ τοπάσαντες εἶναι διεφθάρησαν. (γ 5) Γλίσχρως καὶ τῶν ἐπιτηδείων φειδόμενοι ζῆν, ἢ δυστυχεῖν ἐν τῷ πλῷ. (δ 5) Βραδῦναι. (ε 5) Ἰάσατο, διωρθώσατο. (ζ 5) Ὁ Μοναχὸς, ὁ Καλόγηρος. (η 5) Ἰσχυρῶς ἔχεται. (θ 5) Σφόδρα, καὶ ἀμφοτέ-

ἄλλο τὶ, πάντως ἐν γέ τι ἀγαθὸν, ὧν φέρουσι πέτραι· ἐμοὶ γὰρ οὐκ ἔστι βουλομένῳ τὰ παρὰ τῶν γυναικῶν δέχεσθαι, τὴν χάριν καὶ τούτου, ἵνα μήτις ὀπεχειρία μοι (ι ς) πρὸς αὐτὰς γένηται, κᾆτα ἐπειδὰν ἐξόμνυσθαι δέῃ, διαπορρίην ἀρνέμενος· ἐπεὶ τίγε ἐκώλυε τὸ ἐπὶ τοῖς ἐπιτηδείοις τρυφᾶν; οὕτω πολλὰ πολλαχόθεν συῤῥεῖ. Σὺ μὲν οὖν ἀρετὴν λογιῇ τὴν φιλοφροσύνην τῶν ἐγχωρίων, ἣν εἰς τὰς ἐπιξενουμένας ἐνδείκνυνται· τὸ δὲ, ἑτεροῖόν ἐστιν, οἷον ἄξιον εἶναι καὶ διηγήσασθαι, καὶ ταῦτα ἐπὶ τῆς νῦν ἐμοὶ παρούσης σχολῆς. μήνιμα Ἀφροδίτης, ὡς εἰκάσαι, κατέχει τὴν χώραν· δυστυχοῦσι γοῦν ὅσπερ αἱ Λήμνιαι (κ ς)· αὗται γὰρ ὑπερμαζῶσι, καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων; ὥστε τὰ βρέφη μὴ διὰ μάλης, ἀλλὰ δι᾽ ὤμων σπᾶν τῆς θηλῆς ἀναβεβλημένης· εἰ μήτις εἴποι τὸν Ἄμμωνα (λ ς), καὶ τὴν Ἄμμωνος γῆν οὐ μᾶλλον εἶναι μηλοτρόφον ἢ κουροτρόφον ἀγαθήν· ἀνεῖναι δὲ τὴν φύσιν ἀνθρώποις ὁμοίως καὶ κτήνεσι δαψιλεστέρας καὶ ἁδροτέρας τὰς τοῦ γάλακτος πίδακας (μ ς), καὶ εἰς τοῦτο δεῖν ἁδροτέρων οὐθά-

ραις, ὃ λέγεται, κρατῶν, οἰκονομῶν. (ι ς) Συμβόλαιον, συνάλλαγμα.

(κ ς) Τὰ περὶ τῆς Λήμνου ἱστορηθέντα καὶ μυθολογηθέντα πάντα μονονοὺ ἀνερευνήσας παρά τε Ἱστορικοῖς καὶ Μυθολόγοις, οὐδαμοῦ εὗρον τὰς Λημνίας γυναῖκας δυστυχούσας, ὅπερ φησὶ Συνέσιος ὧδε δυστυχεῖν τὰς Λιβύσσας, μᾶλλον μὲν οὖν τοὐναντίον, στειρευούσας εὗρον αὐτάς τε καὶ ἅπαν ἐν γένει τὸ θῆλυ κατὰ τὴν νῆσον ἐκ θείου μηνίματος, ἐφ᾽ οἷς ἀπέκτειναν ἀδίκως πρότερον μὲν αἱ Λήμνιαι τοὺς ἑαυτῶν ἄνδρας· μετὰ δὲ ταῦτα οἱ Πελασγῶν ἄποικοι τὰς γυναῖκας, ἃς ἔλαβον αἰχμαλώτους ἐξ Ἀττικῆς, καὶ τοὺς παῖδας, οὓς ἐξ αὐτῶν ἐτεκνοποιήσαντο. Ὅθεν τὸ, δυστυχοῦσιν ὅπερ αἱ Λήμνιαι σκοπεῖν μὴ ἄρα βέλτιον ἀναγινώσκειν οὐχ ὅπερ αἱ Λήμνιαι· ἵν᾽ ᾖ· μήνιμα Ἀφροδίτης, ὡς εἰκάσαι, κατέχει τὴν χώραν, δυστυχοῦσιν ὅμως αἱ Λίβυσσαι οὐχ ὅπερ αἱ Λήμνιαι στειρεύουσαι καὶ ξηροὺς φέρουσαι τοὺς μαζοὺς, ἀλλ᾽ ἑτεροῖόν τι· αὗται γὰρ ὑπερμαζῶσι κτλ᾽. ὅπερ οὐ μόνον τῇ ἱστορίᾳ συνᾷδον, ἀλλὰ καὶ τῇ ἀκολουθίᾳ τῆς συντάξεως φαίνεται οἰκειότερον· εἰ γὰρ ἦν αὐτῷ βουλομένῳ εἰπεῖν ὅτι τὰ αὐτὰ ταῖς Λημνίαις ἔπασχον αἱ Λίβυσσαι, ἔδει εἰπεῖν καὶ αὗται γὰρ ὑπερμαζῶσιν, ὡς ἐκεῖναι δηλαδή· ὡς δὲ νῦν ἔχει, πρὸς τῷ μὴ συμβιβάζεσθαι τῇ ἱστορίᾳ, ἐμοὶ δοκεῖ καὶ ἀσυνάρτητον καὶ ἀσύντακτον. (λ ς) Ἄμμων ὁ Ζεὺς παρ᾽ Αἰγυπτίοις. (μ ς) Τὰς πη-

θάτωντε καὶ θυλάκων. μανθάνουσι δὴ παρὰ τῶν ἀνδρῶν, οἵστισι συμβόλαιον γέγονε πρὸς ἄνθρωπον ὑπερόριον (ν 5), ὅτι μὴ πᾶν τὸ θῆλυ τοιοῦτόν ἐστιν, ἀπιστοῦσι· καὶ ἐπειδὰν λάβωνται γυναικὸς ξένης, φιλοφρονοῦνται καὶ πάντα δρῶσιν, ἕστ' ἂν τὰς ἀγκάλας διερευνήσωνται. ἡ ἰδοῦσα λέγει πρὸς ἄλλην, καὶ καλοῦσιν ἀλλήλας ὥσπερ οἱ Κίκονες (ξ 5)· αἱ δὲ, συμφοιτῶσιν ἐπὶ τὴν θέαν, καὶ ἐπὶ τούτῳ (ο 5) δωροφοροῦσιν (π 5). ἡμῖν δὲ ἦν καὶ τῶν ἐκ Πόντου θεραπαινίδιον, ὃ συνελθοῦσαι τέχνη καὶ φύσις, ὑπὲρ τὸν μύρμηκας ἔντομον (ρ 5) ἔδειξαν (σ 5). ἀμφὶ τοῦτο ἦν ἅπασα σπουδὴ, καὶ τοῦτο παρὰ τῶν γυναικῶν πλεῖστα ἐνεπορεύετο (τ 5). καὶ μετεπέμποντο αὐτὸ προτρίτα ἄλλη παρ' ἄλλης γυναῖκες τῶν ἀγρογειτόνων εὐδαίμονες· τὸ δὲ, οὕτοι σφόδρα (υ 5) ἰταμὸν, ὥστε καὶ ἀποδύσασθαι. Τοῦτό σοι δρᾶμα ἐκ τραγικοῦ κωμικὸν ὅ,τε δαίμων ἡμῖν ἐνήρμοσε, κἀγὼ τοῖς πρὸς σὲ γράμμασι· καὶ οἶδα μὲν ἐκτείνας τὴν ἐπιστολὴν εἰς μῆκος τοῦ μετρίου μεῖζον, ἀλλ' ὥσπερ τοῦ συνεῖναί σοι κατὰ πρόσωπον, οὕτω καὶ τοῦ γράφειν ἀπλήστως ἔχω· ἅμα δὲ οὐδὲ ἐλπίσας ἔτι σοὶ διαλέξεσθαι, νῦν ἐπει-

---

γάς. (ν 5) Ξένον. (ξ 5) Ὥσπερ οἱ Κίκονες ἐκάλουν ἀλλήλους ἐπ' Ὀδυσσέα· ἡ δὲ ἱστορία τοιαύτη. Ὀδυσσεὺς Τροίηθεν ἀναπλέων ἐπὶ Ἰθάκην, ἀνέμῳ φερόμενος, προσηνέχθη τῇ γῇ τῶν Κικόνων, οἱ δὲ Κίκονες ἔθνος ἦν Θρακικὸν τὴν κατέναντι Σαμοθράκης παραλίαν τῆς Θράκης οἰκοῦντες· ἔνθα Ἴσμαρον τὴν πόλιν αὐτῶν ἐπόρθησεν, αὐτῶν τε πολλοὺς ὤλεσεν, ἐκ πόλιος δ' ἀλόχους καὶ κτήματα πολλὰ λαβὼν μετὰ τῶν ἑταίρων ἐδάσατο. Τούτων δὲ πραχθέντων παρεκάλει τοὺς ἑταίρους διερῷ ποδὶ, ὅ ἐστι σπουδαίως φυγεῖν, οἱ δὲ, φησὶ, μέγα νήπιοι οὐκ ἐπίθοντο, αὐτοῦ δὲ πολλὸν μὲν μέθυ πίνετο, πολλὰ δὲ μῆλα ἔσφαζον παρὰ θῖνα καὶ εἰλίποδας ἕλικας βοῦς. ἐν τούτῳ δὲ ἀπερχόμενοι οἱ Κίκονες, Κίκονας ἄλλους ἐκάλουν, οἵ σφίσι γείτονες ἦσαν, καὶ . . . ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ. στησάμενοι δ' ἐμάχοντο κραταιῶς, ὥστε δαμάσαντες ἔτρεψαν τοὺς Ἀχαιοὺς κτλ. (ο 5) Ἵνα θεάσωνται. (π 5) Φέρουσι δῶρα. (ρ 5) Λεπτὸν κατὰ τὴν ὀσφῦν. (σ 5) Ἀπέδειξαν. (τ 5) Ἐλάμβανε. (υ 5) Τὸ δὲ, ἦν οὐ πάνυτοι αὔθαδες ἀναιδὲς ὥστε καὶ ἀποδύσασθαι. ἐμοὶ δέγε δοκεῖ βέλτιον γράφειν, οὕτω τοι σφόδρα ἰταμὸν

…λὰν ὄζον, ἐμφοροῦμαι. ἀλλὰ κἂν ταῖς ἐφημερίσι (φ 5), περὶ … …σπουδακα (χ 5), τὴν ἐπιστολὴν ἐφαρμόσαις (ψ 5), ὡς συ… νῶν ἡμερῶν ἔχοιμ᾽ ἂν ὑπομνήματα. Ἔῤῥωσο, καὶ τὸν υἱὸν (ω 5) Διόσκορον κέλευε (α 6) μετὰ τῆς μητρὸς (β 6) καὶ τῆς τίτθης, ἃς ἐγὼ καὶ φιλῶ, καὶ ἐν ἀδελφαῖς ἄγω. ἄσπασαι τὴν Σεβασμιωτάτην καὶ Θεοφιλεστάτην Φιλόσοφον, καὶ τὸν εὐδαίμονα χορὸν τὸν ἀπολαύοντα τῆς θεσπεσίας αὐδῆς· ἐκ πάντων δὲ μάλιστα τὸν ἱερώτατον πατέρα (γ 6) Θεότεκνον, καὶ τὸν ἑταῖρον ἡμῶν Ἀθανάσιον. τὸν δὲ ὁμοψυχότατον ἡμῖν Γάϊον εὖ οἶδ᾽ ὅτι φρονῶν ὅσα ἐγὼ, μετὰ τῶν συγγενῶν τάττεις. Μετ᾽ ἐκείνων γοῦν προσειρήσθω καὶ ὁ θαυμάσιος γραμματικὸς Θεοδόσιος, ὃς (δ 6) εἰ καὶ μάντις ὢν ἔκρυπτεν ἡμᾶς· προγνοὺς γὰρ ἐν οἷς ἔσομαι, κατέβαλε τὴν προθυμίαν τῆς σὺν ἡμῖν ἀποδημίας· ἀλλ᾽ οὖν ἔγωγε αὐτὸν καὶ φιλῶ καὶ ἀσπάζομαι. σὺ δὲ μηδέποτε πλεύσειας· οὐδέποτε πάντως δεήσοι, ἀλλὰ μήτοι φθίνοντός γε μηνός.

Τοῖς

ῖν᾽ ᾖ· τὸ δὲ ἐς τοσοῦτον ἐτύγχανεν ἀναιδὲς, ὥστε καὶ ἀποδύσασθαι. (φ 5) Ἐφημερὶς ἡ τῶν ἐφ᾽ ἑκάστης ἡμέρας συμπιπτόντων ἀπογραφή· βιβλίον ἐν ᾧ τις τὰ συγκυροῦντα αὐτῷ τε καὶ ἄλλοις μνήμης ἕνεκα σημειοῖ. (χ 5) Εἰς ἃς σπουδὴν καὶ ἐπιμέλειαν κατέβαλον. (ψ 5) Προσαρμόσαις, συνάψαις. προήνεγκε δὲ τὸν λόγον κατ᾽ εὐκτικὴν ἔγκλισιν ἵνα ἐκκλίνῃ τὸ βαρὺ τῆς προστάξεως. (ω 5) Τὸν σόν. (α 6) Λάβε κατὰ κοινοῦ τὸ ἐῤῥῶσθαι. (β 6) Τοῦ σοῦ υἱοῦ Διοσκόρου. (γ 6) Τὸν πατέρα λέγει τῆς Φιλοσόφου, καὶ δῆλον ἐκ τῆς 16. ἐν ᾗ φησι πρὸς αὐτὴν ταύτην τὴν Φιλόσοφον· ἄσπασαι τοὺς μακαρίους ἑταίρους ἀπὸ τοῦ πατρὸς Θεοτέκνου, καὶ τοῦ Ἀδελφοῦ Ἀθανασίου ἀρξαμένη. (δ 6) Ὃς εἰ καὶ ἔκρυπτεν ἡμᾶς (οὐκ ἐφανέρου ἡμῖν) μάντις ὢν (ἀντὶ τοῦ ὅτι ἦν μάντις) ἀλλ᾽ οὖν ἐγὼ καὶ φιλῶ αὐτὸν καὶ ἀσπάζομαι· τὸ δὲ προγνοὺς ἐν οἷς ἔσομαι, μέχρι τοῦ, της σὺν ἡμῖν ἀποδημίας, διὰ μέσου ἀναγνωστέον, ὅπερ ἐστὶν ἀπόδειξις τοῦ ὅτι ἦν μάντις· ἀστεϊζόμενος δὲ λέγει τοῦτο Συνέσιος.

*) Τοῖς Πρεσβυτέροις. 5.

Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ (α) πεποιθέναι ἐπ' ἄνθρωπον· ἀλλὰ ἐγὼ ἐκ τῆς ἀθεωτάτης αἱρέσεως Εὐνομίου πυνθάνομαι Κυντιανὸν ὄνομα, καὶ τὴν ἐπὶ στρατοπέδου θρυλλουμένην ὑπ' αὐτῷ δυναστείαν προστησαμένους, μοιχᾶσθαι (β) πάλιν τὴν Ἐκκλησίαν, καὶ ψευδοδιδασκάλους τινὰς ἐφιστάναι παγίδα (γ) ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς, οὓς ἔναγχος οἱ παρὰ Κυντιανοῦ σταλέντες,

τες,

---

*) Οἱ ἐκ τῆς αἱρέσεως Εὐνομίου μὴ δυνάμενοι κηρύττειν ἀνακεκαλυμμένως τὰ μιαρὰ αὐτῶν δόγματα, κεκωλυμένον ὂν σφίσιν, ὡς ἔοικεν, ὑπὸ τῆς ἐξουσίας, λάθρα τοῦτο μηχανῶνται ποιῆσαι. καὶ δὴ λαβόμενοι προστάτου Κυντιανοῦ τινὸς ὁμοφρονοῦντος σφίσι καὶ τῶν ἐν ἀξιώμασιν ὄντος, ἀποστέλλουσι δι' αὐτοῦ ψευδοδιδασκάλους τινάς, τῷ μὲν δοκεῖν ἐπὶ δίκην τινὰ οὖσαν αὐτοῖς δῆθεν ἐν Πενταπόλει, τῷ ὄντι δὲ ἵνα τὰ ζιζάνια τῆς ἀθείας τῷ καθαρῷ σίτῳ παραμιγνύντες ἐγκαταβάλωσι τῷ ληΐῳ τοῦ Χριστοῦ. Τοῦτο δὴ μαθὼν ὁ Συνέσιος τὴν Πανταπόλεως ἐκκλησίαν μήποτε βλέπων, γράφει τὴν παροῦσαν ἐπιστολὴν πρὸς τοὺς πρεσβυτέρους μηνύων αὐτοῖς τὸν ἐπὶ Πεντάπολιν κατάπλουν τῶν νόθων πρεσβυτέρων, καὶ προτρέπων αὐτοὺς ἐπαγρυπνεῖν ᾧπερ ἕκαστος ποιμαίνει ποιμνίῳ, καὶ προσέχειν ἵνα μὴ λάθωσιν ἐμπεσόντες τῇ μάνδρᾳ οἱ ἄγγελοι οὗτοι λύκοι καὶ ἀποσυλήσωσί τινας τῶν ἀκεραιοτέρων.

(α) Ὁ ἢ σύνδεσμος ἀναιρετικός ἐστιν ἰσοδύναμος τῷ οὐ. οὐδ' ἐν ἀρχῇ τοῦ ἑξῆς κώλου ἀλλά, ἐναντιωματικὸς ἀντὶ τοῦ ὅμως· τὸ δὲ ὅλον τοιοῦτό τί ἐστι ξυμφραζόμενον. Ἀγαθὸν τὸ ἐπὶ Κύριον πεποιθέναι οὐχὶ ἐπ' ἄνθρωπον, οἱ Εὐνομιανοὶ ὅμως τοὐναντίον ποιοῦντες, ὡς πυνθάνομαι, οὐκ ἐπὶ Κύριον, ἐπὶ δὲ Κυντιανὸν ἄνθρωπον πεποίθασι προστησάμενοι εἴτ' οὖν προστάτην σφῶν λαβόντες αὐτὸν καὶ ἣν ἔχει ἐν τῷ στρατοπέδῳ δύναμιν καὶ ἐξουσίαν, καὶ μοιχῶνται πάλιν ὡς καὶ ἄλλοτε τὴν ἐκκλησίαν κτ. Τὸ δὲ Κυντιανὸν ὄνομα ἀορίστως προενεχθὲν, ὑπεροψίαν τινὰ πρὸς αὐτὸν τοῦ συγγραφέως ἐμφαίνει, καὶ ὅτι ἀγνώς τις καὶ ἄσημος ἐτύγχανεν ὢν ὁ Κυντιανός. (β) Μοιχοῦ δίκην ἐπὶ διαφθορᾷ τῶν πιστῶν εἰσδύεσθαι εἰς τὴν ἐκκλησίαν. (γ) Ἐφιστάναι παγίδα φησὶ καθ' ὅ,τι οὐκ ἀναφανδὸν, ὑπούλως δὲ καὶ ὀρθοδοξίαν πλαττόμενοι ἐκήρυττον τὰ ἄθεα αὐτῶν δόγματα· διὰ τοῦτο καὶ τῶν ἀκεραιοτέρων ταῖς ψυχαῖς· περὶ γὰρ τῶν ὁπωσοῦν ἐμπειροτέρων οὐδεὶς φόβος ἵνα μὴ ταῖς παγίσι τῶν

τες, ἐπ' αὐτὸ τοῦτο (δ) καταπεπλεύκασιν ἄγοντες· ἡ γὰρ δίκη (ε), πρόσχημα (ζ) τῆς ἀσεβείας ἐστι, μᾶλλον δὲ ἀγὼν ὑπὲρ ἀσεβείας. Οὗτοι τοίνυν οἱ νόθοι πρεσβύτεροι, οἱ νεήλυδες ἀπόστολοι τοῦ διαβόλου τε καὶ Κυντιανοῦ, μὴ λάθωσιν ὑμᾶς (η) ἐμπηδήσαντες ᾧ ποιμαίνετε ποιμνίῳ· μὴ λάθωσιν ὑμᾶς τῷ σίτῳ τὸ ζιζάνιον παρασπείροντες· κατάδηλοι πᾶσίν εἰσιν αἱ τούτων καταφυγαί· ἴστε τίνες ἀγροὶ δέξαιντ' ἂν αὐτούς· ἴστε τίνες οἰκίαι τοῖς λῃσταῖς ἀνεῴγασι. μετέλθετε (θ) τοὺς φῶρας ῥινηλατοῦντες. ζηλωταὶ γίνεσθε τῆς εὐλογίας τῆς Μωσαϊκῆς (ι), ἣν εὐλόγησε τοὺς ἄνδρας, οἳ κατὰ τῶν ἠσεβηκότων ἐν τῇ παρεμβολῇ, καὶ γνώμην καὶ χεῖρας ἐκίνησαν. ἐκεῖνο δὲ εἰπεῖν ἄξιον πρὸς ὑμᾶς ἀδελφοί· τὰ καλὰ (κ) καλῶς γινέσθω· ἡ ὑπὲρ κέρδους ἔρις ἀνῃρήσθω· ἅπαντα διὰ τὸν Θεὸν ἐγκεχειρίσθω. οὐδεῖ τὴν αὐτὴν ἀρετῆς εἶναι καὶ πονηρίας ὑπόθεσιν (λ). ὑπὲρ εὐσεβείας ὁ δρόμος, ὑπὲρ ψυχῶν ἀγωνιστέον· μή τινας ἀπὸ τῆς ἐκκλησίας συλήσωσιν, ὅπερ ἔθος ἤδη πεποίηνται. ὃς δ' ἂν τὴν ἐκκλησίαν προσποιησάμενος (μ), αὔξῃ

τοιούτων ἐμπέσωσι. (δ) Ἐπὶ τὸ παγίδα ταῖς τῶν ἀκ. ψυχ. ἐφιστάναι. ἡ δὲ ἐπὶ πρόθεσις τὸ τελικὸν αἴτιον σημαίνει. (ε) Ἐφ' ἣν προφασίζονται καταπεπλευκέναι. (ζ) Πρόφασις, προκάλυμμα ὑφ' οὗ καλύπτουσι τὴν αὐτῶν ἀσέβειαν. (η) Ἐξακούεται ἔξωθεν τὸ ὁρᾶτε ἢ προσέχετε, καὶ ὁ ἵνα ἀποτελεστικὸς σύνδεσμος. ὁ μὲν, ἵνα ὑποτάξῃ τὸ ῥῆμα, τὸ δὲ ὁρᾶτε εἰς ἀπόδοσιν τοῦ οὗ κατάρχει ὁ ἵνα λόγου· ἐν γὰρ τοῖς τοιούτοις δύω λόγοι εἰσὶν ἀεὶ, καὶ ἀτελὴς ἅτερος παρὰ θάτερον. ὅρα γραμ. Νεοφύτου ἐν τοῖς αἰτιολογικοῖς συνδέσμοις. (θ) Ἐξιχνεύσατε, ζητήσατε εὑρεῖν τοὺς φῶρας ῥινηλατοῦντες ὥσπερ αἱ κυνηγετικαὶ κύνες τοὺς θῆρας. (ι) Ἡ ἱστορία παρὰ τῇ θείᾳ Γραφῇ. Ἐξοδ. κεφ. λβ'. (κ) Τὰ καλὰ γενικῶς εἴρηκεν. ἐννοεῖ δ' ἅπερ ἂν οἱ πρεσβύτεροι κατὰ τῶν ἀποστόλων τοῦ Κυντιανοῦ ὑπὲρ τῆς εὐσεβείας ποιήσωσι. ταῦτα, φησὶ, γινέσθω καλῶς τοῦτ' ἔστιν ὑπὲρ τῆς εὐσεβείας μόνης, ἀλλὰ μὴ καὶ ὑπὲρ κέρδους. τὸ δὲ, ἡ ὑπὲρ κέρδους ἔρις ἀνῃρήσθω, εἴτ' οὖν ἀπέστω, ἐξήγησίς ἐστι τοῦ, τὰ καλὰ καλῶς γινέσθω. (λ) Τοῦτ' ἔστιν ὕλην καὶ ἀφορμήν· αὕτη δέ ἐστιν ἡ τῶν πρεσβυτέρων μετέλευσις καὶ ῥινηλασία, ἥτις ἀμισθὶ μὲν καὶ ὑπὲρ μόνης γινομένη τῆς εὐσεβείας, ἀρετῆς ἐστιν ὕλη· ἀφορῶσα δὲ πρός τι κέρδος χρηματικὸν, πονηρίας ἐργάτης. (μ) Ἡ μετοχὴ τὸ, προσποιησάμενος τρόπον σημαίνει τῆς τοῦ βαλαν-

αὔξῃ βαλάντιον, καὶ διὰ τοῦ δοκεῖν εἶναι χρήσιμος ἐν καιροῖς ἀπαιτοῦσι δριμύτητα (ν), δυναστείαν (ξ) ἑαυτῷ κατεργάζηται (ο), οὗτός ἐστιν ὃν ἡμεῖς συνόδου χριστιανῶν ἐκκηρύττομεν (π). οὐκ ἐποίησεν ὁ Θεὸς ἀτελῆ τὴν ἀρετήν· οὐ δεῖται πονηρίας συμμάχου· οὐκ ἐπιλείψουσι (ρ) στρατιῶται τῷ Θεῷ, πρέποντες ἐκκλησίαις· εὑρήσει συμμάχους ἐνταῦθα μὲν ἀμίσθους, ἐν οὐρανῷ δὲ ἐντελομίσθους· ὑμεῖς οὗτοι γίνεσθε (σ)· καλὸν γὰρ καὶ κατορθοῦσι συνεύξασθαι, καλὸν δὲ καὶ παραβαίνουσιν ἐπαράσασθαι (τ). ὅστις ἂν οὖν μαλακίσηται (υ) καὶ προδῷ, καὶ ὅστις ἂν ἐπεξέλθῃ μέν, ἁρπάσῃ δέ τι τῶν ἀλλοτρίων (φ), μὴ ἀναίτιος (χ) γένοιτο τῷ Θεῷ. ἓν τοῦτο μόνον εἰς μέσον ἑλκύσατε, καὶ τοὺς τραπεζίτας τοὺς πονηρούς, τοὺς καθάπερ νόμισμα τὸ δόγμα τὸ θεῖον παραχαράττοντας (ψ), περιενέγκατε (ω)· πᾶσι ποιήσατε καταφανεῖς οἵτινές εἰσι. καθ' οὕτως (α 2) ἄτιμοι τῶν Πτολεμαΐδος ὅρων ἀπεληλάσθωσαν, ὅ,τι (β 2) σὺν αὐτοῖς ἥκει χρῆμα πᾶν (γ 2) ἀμεια-

τον

τίου αὐξήσεως· ὁ δὲ νοῦς· ὃς δ' ἂν λάβῃ χρήματα παρὰ τῶν πιστῶν, στήσας πρὸ τοῦ κυρίου αὐτοῦ σκοποῦ τὴν ἐκκλησίαν, ὅπερ ἐστὶ προφασιζόμενος ὑπὲρ τῆς ἐκκλησίας οὐχ ὑπὲρ ἑαυτοῦ τούτων δεῖσθαι κτ. (ν) Τοῦτ' ἔστιν ἀνθρώπους δριμοὺς καὶ αὐστηρούς. (ξ) Πλοῦτον. (ο) Συναθροίζει. (π) Ἀντὶ τοῦ, τοῦτον ἡμεῖς ἐκκηρύττομεν, εἴτ' οὖν ἀποβάλλομεν συνόδου ἤτοι ἐκκλησίας χριστιανῶν. (ρ) Τὸ ἐπιλείπω συντάσσεται ἔτι καὶ αἰτιατικῇ, ὡς τό, ἡ δὲ τόλμα αὐτοὺς ἄρχεται ἀπολείπειν· καί, οὐκ ἀπολέλοιπεν ἡμᾶς ὁ ἀσφόδελος. (σ) Ὑμεῖς γίνεσθε οὗτοι δηλ. οἱ ἐνταῦθα μὲν ἄμισθοι, ἐν οὐρανῷ δὲ ἐντελόμισθοι σύμμαχοι.

(τ) Ἀντὶ τοῦ ὥσπερ γάρ ἐστι καλόν, εἴτ' οὖν δίκαιον καὶ πρέπον συνεύχεσθαι τοῖς κατορθοῦσιν, εἴτ' οὖν ποιοῦσι τὰ δέοντα προσταττόμενα αὐτοῖς ὑπὸ τῶν νόμων ἢ τῆς ἐκκλησίας, οὕτως ἐστὶ καλὸν καὶ ἐπαράσασθαι τοῖς παραβαίνουσι μὴ ποιοῦσι ταῦτα· λέγει δὲ τοῦτο δικαιολογούμενος ἐφ' αἷς μέλλει ποιήσειν ἀραῖς.

(υ) Ἀμελήσῃ ἐπεξελθεῖν. (φ) λάβῃ δέ τι ἢ παρὰ τῶν πιστῶν διὰ τὸ ἐπεξελθεῖν, ἢ παρὰ τῶν ψευδοδιδασκάλων αὐτῶν ἵν' ἰδὼν, παρίδῃ, καὶ ἀκούσας, παρακούσῃ ὡς παρακατιὼν φησιν. (χ) Ἀνέγκλητος, ἀτιμώρητος.

(ψ) Τοὺς νοθεύοντας, κιβδηλεύοντας. (ω) Περιφέρετε, θεατρίσατε ὡς περιφέρουσι τὰς μοιχαλίδας, (α 2) Καταφανεῖς δηλονότι γεγονότες ὁποῖοί εἰσι. (β 2) Τὴν ἀθεωτάτην αὐτῶν Αἵρεσιν ἐννοεῖ. (γ 2) Ὁλόκληρον, ἢ

γώγητον ἀποφέροντες. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἐπάρατος τῷ θεῷ· ὅς τις ἀσεβῆ σύνοδον ἰδὼν, παρεῖδεν, ἢ ἀκούσας, παρήκουσεν, ἢ κέρδει παρ' αὐτῆς ἐμολύνατο. τούτους ἡμεῖς Ἀμαληκίτας (δ2) εἶναι διαταττόμεθα, παρ' ὧν οὐκ ἔξεστι κομίσασθαι λάφυρον. περὶ δὲ τοῦ λαβόντας φησὶν ὁ θεὸς, μεταμεμέλημαι ὅτι ἐβασίλευσα τὸν Σαοὺλ. ἀλλ' ὑμῶν ἐπὶ μηδενὶ μεταμέλοιτο· ἀλλὰ μέλοι μὲν ὑμῶν τῷ θεῷ, μέλοι δὲ ὑμῖν τοῦ θεοῦ.

Ἀνυσίῳ. 6.

Ὁ δὲ Καρνᾶς (α), ἔτι μέλλει, καὶ οὔθ' ἑκὼν, οὔθ' ὑπ' ἀνάγκης γίνεται δίκαιος· χρὴ δὲ ἥκειν αὐτὸν ἵνα εἰδῶμεν ὅ,τι καὶ λέγει,

---

θικτον, κουσουρσούζικον. (δ2) Ἀμαληκῖται ἔθνος ἀρχαῖον ἐφ' οὓς ἐστράτευσε Σαοὺλ ἐκ θείου προστάγματος, ἀνθ' ὧν ἐκάκωσαν Ἰσραὴλ ἀναβαίνοντα ἐξ Αἰγύπτου· προστέτακται δὲ Σαοὺλ ἀποκτεῖναι πάντας Ἀμαληκίτας ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἀπὸ ἀνθρώπου ἕως κτήνους· ὁ δὲ, περιεποιήσατο ζῶντα Ἀγὰγ τὸν βασιλέα αὐτῶν, καὶ τὰ κράτιστα πάντων τῶν ἀγαθῶν, τοῦ λαοῦ τοῦτο αἰτήσαντος ὅπως θύσωσι, φησὶν, ἐνώπιον θεοῦ ἐν Γαλγάλοις· οὗ ἕνεκα ἀγανακτήσας ὁ θεὸς, ἐξουδένωσεν αὐτὸν καὶ εἶπε πρὸς Σαμουὴλ τὸν προφήτην δι' οὗ ἔχρισεν αὐτὸν βασιλέα. „ μεταμεμέλημαι ὅτι ἐβασίλευσα τὸν Σαοὺλ. ἀναλογοῦσι τοίνυν ἐνταῦθα Ἀμαληκίταις μὲν, οἱ Εὐνομιανοί· τῷ δὲ Σαοὺλ οἱ πρεσβύτεροι πρὸς οὓς ἡ ἐπιστολή· τὸ γοῦν τούτους ἡμεῖς Ἀμαληκίτας κτ. οὐ πρὸς τοὺς ἰδόντας ἀσεβῆ σύνοδον καὶ παριδόντας κτ., ὡς ἄν τις οἰηθείη, ποιεῖ τὴν δεῖξιν· ἀδιανόητον γὰρ τοῦτο· πρὸς δὲ τοὺς νόθους τῶν Εὐνομιανῶν πρεσβυτέρους. ἐν δὲ τῷ ἐμολύνατο ἐντελῶς στικτέον. ἵν' ᾖ τὸ, ὅς τις ἀσεβῆ σύνοδον ἰδὼν, παρεῖδε κτ. μέχρι τοῦ ἐμολύνατο, κατὰ γοργότητος σχῆμα ἀσυνδέτως πρὸς τὸ ἀνωτέρω ἀναφερόμενα, καὶ ἑρμηνευτικά πως τοῦ, ὁ δὲ παρὰ ταῦτα ποιῶν. τὸ δὲ τούτους ἡμεῖς Ἀμαληκίτας . . . ἀρχὴ ἑτέρου νοήματος ἀσυνδέτως καὶ τοῦτο προσενεχθέν.

(α) Ὁ Καρνᾶς οὗτος κλέψας τὸν ἵππον Συνεσίου, προὐφασίζετο ἐπὶ τὸ ὠνήσασθαι τοῦτον εἰληφέναι, καὶ ἀπαιτοῦντι οὐκ ἀπεδίδου τῷ Συνεσίῳ, ἀλλὰ τυραννικῶς ὥς τις Ἀγαθοκλῆς ἢ Διονύσιος ἠξίου κατέχειν, σμικρὸν ἀντ' αὐτοῦ προτείνων ἀργύριον. ὁ γοῦν Συνέσιος ἐνεκάλεσεν αὐτὸν εἰς τὴν δίκην, δι' ἐπιστολῆς ἢ διὰ ζώσης φωνῆς Ἀνυσίῳ περὶ αὐτοῦ διαλεξάμενος. μελλήσαντα δ' ὡς ἔοικεν,

γει, ϗ οἷστισιν ὀφθαλμοῖς ἡμᾶς ἀντιβλέψεται, παρ' ὧν ἠξίωσε ϗ ἀκόντων, ὃν κέκλοφεν ἵππον ὠνήσασθαι, ἵνα μὴ στρατιώτης, φησὶν, ἄνιππος ᾖ. προτείνει δὲ κομιδῇ σμικρὸν ἀργύριον, ϗ μὴ ἀποδιδομένοις οὐκ ἀποδίδωσιν. ἀλλ' οἴεται σὺν δίκῃ τὸν ἵππον ἔχειν, ϗ ταῦτα οὐκ ὢν Ἀγαθοκλῆς, ἢ Διονύσιος (β) οἷς αἱ τυραννίδες ἐπέτρεπον οὕτω πάνυ πονηροῖς εἶναι, ἀλλ' ὁ Καρνᾶς ὁ Καπφαροδίτης, ὃν οὐ χαλεπὸν (γ) ἐπαναγαγεῖν εἰς τοὺς νόμους (δ). ἂν οὖν διάγῃ τὶς αὐτὸν ὡς σὲ (ε), μηδὲ ἡμεῖς ἀγνοήσωμεν, ἵνα οὐ τοῦ προσώπου αὐτὸν ἐλέγξοντας ἀπὸ Κυρήνης καλέσωμεν.

*) Θεοδώρῳ ϗ τῇ Ἀδελφῇ. 7.

Πῶς δοκεῖτε; δέδηγμαι τὴν καρδίαν ἐκδεδομένου λόγου τοῦ τὴν πόλιν, ὅτι δεινῇ τινι ϗ πέρα δεινῆς ὀφθαλμίᾳ παλαίεις, ἀπειλέσῃ ταῖς ὄψεσι κίνδυνον. ἔπειτα πέφηνεν ὁ λόγος ψευδής· ϗ οἶμαι παμπόνηρος ἄνθρωπος προφάσεως εἰλημμένος τοῦ τῆς ὀφθαλμίας ὀνόματος, ἦρεν ἐπὶ μέγα τὴν φήμην, ϗ ἐτραγῴδησε. τράποιτο μὲν οὖν εἰς ἐκεῖνον αὐτὸν, ἅττα ὑμῶν κατεψεύσατο· τῷ δὲ θεῷ χάρις, ὅτι παρέσχεν ἡμῖν ἀκοῦσαι καλλίονα. χρὴ δὲ μὴ τὸ λεγόμενον, ἄστροις τὰ καθ' ὑμᾶς σημαίνεσθαι, μηδ' ὅ,τι λέγει φήμη πυνθάνεσθαι (α). ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας, εἰ δὲ μὴ, γράμμασιν ὑμετέροις ἐντυγχάνειν, ϗ παρ' ὑμῶν τὰ περὶ ὑμῶν εἰδέναι. ἀλλ' ὑμεῖς ἡμῶν λίαν ἀμελεῖτε, ὥσπερ ἴσως ὁ Θεὸς βούλεται.

Τῷ

Ἀνύσιον ἐπιθεῖναι τέλος τῷ πράγματι, ἀναμιμνήσκει διὰ τῆς παρούσης ἐπιστολῆς συνάπτων ταύτην διὰ τοῦ δὲ συνδέσμου πρὸς τοὺς προηγουμένους λόγους, οὓς πρὸς Ἀνύσιον ἐγγράφως ἢ διὰ ζώσης φωνῆς περὶ τοῦ Καρνᾶ ϗ τῆς τοῦ ἵππου κλοπῆς ἐποιήσατο. (β) Ἀγαθοκλῆς ϗ Διονύσιος, τύραννοι Σικελίας.

(γ) Δύσκολον. (δ) Ἀνακαλέσαι εἰς τὴν ὑποταγὴν τῶν νόμων. ἧς ἀπεσκίρτησε. (ε) Πρὸς σέ.

(*) Ὁ Θεόδωρος οὗτος ἀνὴρ ἦν τῆς ἀδελφῆς Συνεσίου. ὃς ϗ τὴν ὀφθαλμίαν (πονόματον) ἐνόσει. (α) Μανθάνειν.

Τῷ Ἀδελφῷ. 8.

Οὐ μὴ ἐρεῖς (α) ὡς ἔλαθεν ὑμᾶς ὁ διακομιστὴς τῶν πανηγυρικῶν γραμμάτων, ἀλλ᾽ ἰδόντες παρεωράκατε, καὶ οὐκ ἔδοξεν ὑμῖν ἄξιον εἶναι τὸν ἀδελφὸν ἐν μνήμῃ ποιήσασθαι, καὶ ἐπιθεῖναι (β) πρὸς αὐτὸν γράμμα μικρὸν ὅπως ἔχετε καὶ ἐν τίσιν ἐστέ. ἐμοὶ γὰρ οὐκ ἀμελές ἐστιν εἰδέναι τὰ περὶ ὑμῶν, ἀλλ᾽ ἐπειδήπερ ἐν ἅπασι λυποῦμαι τοῖς ἐμαυτοῦ, βουλοίμην ἂν ἐν τοῖς ὑμετέροις εὐφραίνεσθαι. ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε· χρῆν δὲ οὐχί (γ)· καὶ γὰρ εἰ μὴ γεγόνειμεν ἀπὸ τῶν αὐτῶν, τροφαὶ κοιναί, καὶ παιδεῖαι κοιναί· καὶ τί γὰρ οὐχὶ κοινόν; πάντα διὰ πάντων ἡμᾶς ἀλλήλοις ᾠκείωσεν. ἀλλὰ γάρ ἐστιν, ὥσπερ λέγεται, δυσημερία πρᾶγμα δεινόν· καὶ ὅταν ἥκῃ τινὶ χρόνος ἀντίξους (δ), ἐνταῦθα (ε) τότε ἄλλα πάντα, καὶ Ἀδελφῶν γνῶμαι (ζ) καὶ φίλων

(α) Ἀντὶ τοῦ οὐκ ἂν εἴποις, ὡς οὐχ ἑωράκατε τὸν διακομιστὴν τῶν πανηγ. γραμ. ἐστέλλετο δὲ ὁ διακομιστὴς οὗτος ἀπ᾽ Ἀλεξανδρείας παρὰ Θεοφίλου τοῦ Ἀρχιεπισκόπου ἐπὶ Πτολεμαΐδα πρὸς Συνέσιον· τὰ δὲ πανηγυρικὰ γράμματα, ἅπερ ἔφερε μεθ᾽ ἑαυτοῦ, γράμματα ἦν τὴν ἡμέραν ἐν ᾗ ἔμελλον ἑορτάζειν τὸ Πάσχα μηνύοντα· πρὶν γὰρ ἢ κανονισθῆναι τὰ λεγόμενα πασχάλια, διὰ γραμμάτων ἐμήνυον ἀνὰ πᾶν ἔτος τὴν ῥητὴν ἡμέραν τῆς ἑορτῆς, οἱ μὲν Ἀρχιεπίσκοποι τοῖς Ἐπισκόποις, οὗτοι δὲ τοῖς ὑφ᾽ ἑαυτοὺς πρεσβυτέροις· μεθ᾽ ὧν πανηγυρικῶν γραμμάτων καὶ λόγους ἑορταστικοὺς ἅμα καὶ ἠθικοὺς εἰώθασι πέμπειν. Τὸ δὲ ἔθος τοῦτο καὶ μετὰ τὴν τῶν πασχαλίων σύστασιν ἐπεκράτει τῇ Ἐκκλησίᾳ μέχρι τινὸς διὰ τοὺς ἠθικούς, ὡς ἔοικε, λόγους, καὶ ἵνα δὴ ἀφορμὰς ἔχοιεν ἐν ἡμέραις τοιαύταις ἀλλήλους ἀσπάζεσθαι. (β) Ἐπιστεῖλαι. (γ) Ἀλλ᾽ οὐκ ἐχρῆν τοῦτο ποιῆσαι· ἔστι δὲ ὁ νοῦς τοῦ παρόντος χωρίου τοιοῦτος. ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε. ἀλλ᾽ οὐκ ἐχρῆν· ἐγεγόνειμεν γὰρ ἀπὸ τῶν αὐτῶν γονέων. ἀλλὰ καὶ εἰ μὴ ἀπὸ τῶν αὐτῶν, καθ᾽ ὑπόθεσιν, ἐγεγόνειμεν, οὐδ᾽ οὕτως ἐχρῆν τοῦτο ποιῆσαι. εἴγε ἔσχομεν τροφὰς κοινάς, παιδείας κοινάς, πάντα κοινά, καὶ πάντα διὰ πάντων ἡμᾶς ἀλλήλοις ᾠκείωσε, καὶ διὰ τοῦτο οὐκ ἐχρῆν. ἀλλὰ γὰρ κτ. (δ) Ἐναντίος. (ε) Τότε. (ζ) Προαιρέσεις. (η) Φανεροῦνται ὡς ἔχουσι τοῦ

λων ἐλέγχονται (η). ἐμοὶ δὲ ἀποχρήσει (θ) καὶ παρ' ἑτέρων πυνθάνεσθαι (ι) τὰ περὶ ὑμῶν· μόνον ὁ Θεὸς ἀγαθῶν εἴη νομεὺς (κ)· τοιούτου γὰρ ἐρῶμεν ὑπὲρ ὑμῶν ἀκροάματος.

*) Θεοφίλῳ Ἀρχιεπισκόπῳ. 9.

Βαθύ σε (α) γῆρας καὶ λιπαρὸν (β) περιμένειεν ἁγιώτατε καὶ σοφώτατε. τάτε γὰρ ἄλλα (γ) τῷ βίῳ (δ) κέρδος ἂν εἴης σωζόμενος, καὶ μεγίστη προσθήκη τῷ διδασκαλείῳ τοῦ Χριστοῦ γίνεται ὁ τῶν πανηγυρικῶν βιβλίων ἀριθμὸς, τοῖς ἐνιαυτοῖς συναυξανόμενος. ὥς ὅγε τῆτες (ε) καταπεμφθεὶς λόγος, καὶ ἧσε τὰς πόλεις καὶ ὤνησε· τὸ μὲν (ζ), τῷ μεγέθει τῶν νοημάτων, τὸ δὲ (η) τῶν ὀνομάτων (θ) τῇ χάριτι.

*) Τῇ Φιλοσόφῳ Ὑπατίᾳ. 10.

Αὐτήν σε καὶ διὰ σοῦ τοὺς μακαριωτάτους ἑταίρους ἀσπάζομαι, δέσποινα μακαρία, πάλαι μὲν ἂν ἐγκαλέσας (α) ἐφ' οἷς οὐκ ἀξιοῦμαι γραμ-

---

θερότητος. (θ) Ἐγὼ δὲ ἀρκέσομαι. (ι) Μανθάνειν. (κ) Μόνον εὔχομαι ἵν' ἀγαθὰ τὸ θεῖον ὑμῖν παρέχῃ.

(*) Εὐχαριστήριος ἡ παροῦσα ἐπιστολὴ πρὸς Θεόφιλον τὸν Ἀλεξανδρείας ἀρχιεπίσκοπον, ἐφ' οἷς ἐπέστειλε διὰ τοῦ ἐν τῇ ἀνωτέρᾳ ἐπιστολῇ διαληφθέντος διακομιστοῦ Συνεσίῳ, καὶ δι' αὐτοῦ Πενταπολίταις καταγγελτικοῖς γράμμασι, καὶ τῷ μετὰ τούτων ἠθικοπανηγυρικῷ λόγῳ. (α) Μακρὸν, ἐπιμήκιστον. (β) Ὄλβιον, εὔδαιμον. ἔστι δὲ φράσις ἀντὶ τοῦ, βαθέως καὶ λιπαρῶς, εἴτουν εὐδαιμόνως καὶ, ὡς ἄντις εἴπῃ, τρυφερῶς, ἀνενδεῶς γηράσαις. λιπαρῶς δὲ γηράσκειν ἀπὸ μεταφορᾶς εἴληπται τῶν λιπώντων ζώων. (γ) Καὶ κατὰ τὰ ἄλλα. (δ) Τῷ κόσμῳ τοῖς πιστοῖς δηλονότι. (ε) Τούτῳ τῷ ἔτει. (ζ) Ὤνησε μέν. (η) Ἧσε δέ. (θ) Λέξεων.

(*) Ἡ Φιλόσοφος Ὑπατία θυγάτηρ ἦν Θέωνος Φιλοσόφου καὶ μαθηματικοῦ, ὃν ὁ Συνέσιος Θεότεκνον ἐν τῇ 4. καὶ 16. ἐπιστολῇ ὀνομάζει. ἐγένετο δὲ περὶ τὰ τέλη τοῦ ε. αἰῶνος· ἐδιδάχθη παρὰ τοῦ ἰδίου πατρὸς τὴν Φιλοσοφίαν, Γεωμετρίαν, Ἀστρονομίαν, καὶ πᾶσαν μάθησιν, ἐν οἷς ἅπασιν ἀ-

γραμμάτων, νυῦ δὲ οἶδα παρεωραμένος ὑφ' ἁπάντων ὑμῶν, ἐφ' οἷς ἀδικῶ μὲν ἐδὲν, ἀτυχῶ δὲ πολλὰ, καὶ ὅσα ἄνθρωπος ἀτυχῆσαι δύναται. ἀλλ' (β) εἴθε εἶχον ἐντυγχάνειν (γ) ὑμετέραις ἐπιςολαῖς, καὶ μανθάνειν ἐν οἷς διατρίβετε· πάντως (δ) δὲ ἐν ἀμείνοσίν ἐςε, καὶ καλλίονος πειρᾶσθε τοῦ δαίμονος· ἐξ ἡμισείας ἂν ἔπραττον πονήρως, ἐν ὑμῖν εὐτυχῶν. νυνὶ δὲ ἔντι καὶ τοῦτο τῶν χαλεπῶν ἐςιν, ἅ με κατείληφεν· ἀπεςέρημαι μετὰ τῶν παιδίων, καὶ τῶν φίλων, καὶ τῆς παρὰ πάντων εὐνοίας, καὶ τὸ μέγιςον, τῆς θειοτάτης σου ψυχῆς, ἣν ἐγὼ μόνην ἐμαυτῷ ἐμμένειν ἤλπισα κρείττω καὶ δαιμονίας ἐπηρείας, καὶ τῶν ἐκ τῆς εἱμαρμένης ῥευμάτων.

Τοῖς

δοκίμησεν ἐπὶ τοσοῦτον, ὥςε πρώτη καὶ αὐτὸ τοῦτο Ὑπάτη τῶν κατ' ἐκεῖνο καιροῦ φιλοσόφων νομισθῆναι· προέςη δὲ καὶ τῆς ἐν Ἀλεξανδρείᾳ ακαδημίας, καὶ ἔσχεν ὁμιλητὰς ἄλλους τε πολλοὺς καὶ Συνέσιον τὸν ἡμέτερον συγγραφέα. ἐχρήσατο δὲ τέλει τοῦ βίου ἐλεεινῷ καὶ ταῖς ἀρεταῖς αὐτῆς ἥκιςα πρέποντι· ὁ γάρτοι φθόνος, φησὶ Σωκράτης ὁ ἱςορικὸς, διήγειρέ τινας τῶν θερμοτέρων τὸ φρόνημα κατ' αὐτῆς μὴ οὔσης Χριςιανῆς, οἵτινες ἐπανιςᾶσαν οἴκαδέ ποθεν, ἐξέβαλον βίᾳ τῆς ἁμάξης καὶ γυμνώσαντες, ὀςράκοις ἀνεῖλον. (α) Ἡ μετοχὴ ὧδε, κατάγε τὸ ἐμοὶ δοκοῦν, ἐκ πρώτου τοῦ ἀσπάζομαι ἀποδίδοται, καὶ ἀναφορικῶς ἐν μοίρᾳ ῥήματος κατὰ μετάληψιν εἴληπται, ὡς τὸ, παρῆν γὰρ καὶ ὁ πρὸς πατρὸς θεῖος ἄλεις ὁ Ἑρμογλύφος εἶναι δοκῶν, τοῦτ' ἔςιν ὅςτις ἐδόκει· τὸ δὲ πάλαι, ἀντὶ τοῦ πρότερον. καὶ ὁ ἂν δυνητικός. ἵν' ᾖ λέγων Συνέσιος· Ἀσπάζομαί σε, δέσποινα μακαρία, ἐγὼ ὁ Συνέσιος, ὅς τις πρότερον μὲν, ὅτε δηλαδὴ καλῶς ἔπραττον, ἠδυνάμην, ἐτόλμων ἐγκαλέσαι σε ἐφ' οἷς οὐκ ἀξιοῦμαι γραμμάτων, νῦν δὲ οὐ τολμῶ· οἶδα γὰρ ὅτι παρεώραμαι ὑφ' ἁπάντων ὑμῶν κτ. (β) Ὁ ἀλλὰ ἐναντιωματικὸς, ὃν ἡμεῖς διὰ τοῦ, ὡς τόσον ἑρμηνεύομεν. (γ) Λαμβάνειν (δ) τὸ πάντως μέχρι τοῦ, δαίμονος, διὰ μέσου ἀναγνωςέον, ὅπερ κατὰ σχῆμα τὸ λεγόμενον προθύςερον ἐτέθη ὧδε· ὁ γὰρ ἴδιος αὐτοῦ τόπος ἦν μετὰ τὸ ἐν ὑμῖν εὐτυχῶν, καὶ ἔςιν οἷον αἰτιολογία τοῦ ἐξ ἡμισείας ἔπραττον πονήρως εἴτ' οὖν ἐδυςύχουν.

(*) Τοῖς Πρεσβυτέροις. II.

Οὔτε πρότερον ὑμῶν ἐγὼ περιῆν (α), ἁπάσῃ ῥώμῃ καὶ μηχαναῖς ἐκκλίνας (β) ἱερωσύνην, οὔτε νῦν ὑμεῖς ἐμοῦ κεκρατήκατε· ἀλλὰ θεῖον ἄρα ἦν καὶ τὸ μήπω τότε (γ), καὶ τὸ νῦν ἤδη (δ). ἐγὼ δὲ (ε) πολλοὺς ἂν θανάτους ἀντὶ τῆσδε τῆς λειτουργίας εἱλόμην (ζ)· οὐ γὰρ κατ' ἐμαυτὸν (η) εἶναι τὸν κόσμον ἐλογιζόμην τοῦ πράγματος· τοῦ Θεοῦ δὲ ἐπενεγκόντος, οὐχ ὅπερ ἤτουν, ἀλλ' ὅπερ ἠβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην. ὁ γὰρ ἐννεάσας (θ) τῇ κατὰ Φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀπράγμονι (ι), καὶ τοσοῦτον ὁμιλήσας φροντίσιν, ὅσον ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ (κ), καὶ τῷ πολίτης γεγονέναι πόλεων, πῶς ἀρκέσω μερίμναις ἐχούσαις συνέχειαν (λ); ἢ πῶς ἐμαυτὸν ἐπιδοὺς (μ) ὄχλῳ πραγμάτων (ν), ἔτι προσβαλῶ (ξ) τοῖς νοῦ κάλλεσιν (ο), ἃ μόνης ἐστὶ καρποῦσθαι τῆς μακαρίας σχολῆς; ἧς (π) χωρὶς ἐμοὶ καὶ τοῖς ὁμοίοις ἐμοὶ ἅπας ὁ βίος ἀβίωτος; ἐγὼ μὲν οὐκ ἂν εἰδείην, τῷ Θεῷ δὲ, φασὶ, πάντα δυνατὰ καὶ τὰ ἀδύνατα. αὐτοί τε οὖν ὑπὲρ

(*) Δεξάμενος τὴν ἱερωσύνην, ἐπιστέλλει τοῖς ἱερεῦσι τὴν παροῦσαν ἐπιστολὴν αὐτὸ τοῦτο μηνύων, καὶ δεόμενος αὐτῶν κοινῇ τε καὶ ἰδίᾳ αὐτοῦ προσεύξασθαι, ἵνα μὴ ἔρημος ὀφθείη Θεοῦ, καὶ ἀξίως τὴν δοθεῖσάν οἱ λειτουργίαν μετέλθῃ. (α) Ἐνίκων. (β) Παραιτούμενος, ἀποποιούμενος, μὴ δεχόμενος. (γ) Δέχεσθαι. (δ) Δεχθῆναι. (ε) Ὁ δὲ, μεταβατικὸς ἀντὶ τοῦ, ὡς τόσον. (ζ) Ἀντὶ τοῦ προέκρινον μυριάκις μᾶλλον θανεῖν, ἢ δέξασθαι τήνδε τὴν ὑπουργίαν. (η) Κατὰ τὴν ἐμὴν ἀξίαν· ἐλογιζόμην δηλ: ὅτι τὸ τῆς ἱερωσύνης ἀξίωμα, ἐστὶ κρεῖττον τῆς ἐμῆς ἀξίας. (θ) Ὁ κατατρίψας τὴν νεότητα. (ι) Ἀταράχῳ. (κ) Ὅσον μόνον ἀποδοῦναι τὰ καθήκοντα τῷ σωματικῷ βίῳ, καὶ τῷ γεγονέναι πολίτης πόλεων· εἴτ' οὖν ὅσον φροντίζειν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, καὶ φαίνεσθαι ὅτι ἤμην πολίτης. (λ) Πῶς ἔσομαι ἱκανὸς συνεχῶς μεριμνᾷν καὶ φροντίζειν. (μ) Ὑστερόχρονος ἡ μετοχή. (ν) Πλήθει φροντίδων. (ξ) Προσπελάσω. (ο) Τοῦτ' ἔστι τῇ θεωρίᾳ τῶν ὄντων. (π) Ἀπραξίας, ἀποχῆς τῶν κοσμικῶν φροντίδων. (ρ) Παραγγείλατε.

ὑπὲρ ἐμοῦ χεῖρας ἱκέτιδας ἄρατε πρὸς Θεόν, καὶ τῷ τε ἐν ἄστει δήμῳ, καὶ ὅσοι κατ' ἀγροὺς ἢ κωμητικὰς ἐκκλησίας αὐλίζονται, τὰς ὑπὲρ ἡμῶν εὐχάς, καὶ κοινῇ καὶ καθ' ἕνα πᾶσι παρεγγυήσατε (ρ). εἰ γὰρ μὴ ἔρημος ἀπολειφθείην Θεοῦ, τότε γνώσομαι τὴν ἱερωσύνην οὐκ ἀπόβασιν οὖσαν Φιλοσοφίας, ἀλλ' ἐπανάβασιν.

*) Κυρίλλῳ. 12.

Ὅτι παρὰ τὴν μητέρα τὴν Ἐκκλησίαν ἀδελφὲ Κύριλλε, ἧς οὐκ ἀπεκόπης, ἀλλ' εἰς καιρὸν ἐχωρίσθης, ὅς ταῖς τῶν ἁμαρτημάτων ἀξίαις διώρισαι· δοκῶ γὰρ εἰδέναι σαφῶς ὅτι τοῦτ' ἂν πάλαι καὶ ὁ κοινὸς ἡμῶν πατὴρ ὁ τῆς ὁσίας (α) μνήμης ἐποίησεν, εἰ μὴ τὸ χρεὼν (β) ἔφθασε· τὸ γὰρ ἐν μέτρῳ (γ) τάξαι τὴν τιμωρίαν, γνώμης ἦν εὐθὺς ὑπισχνουμένης συγγνώμην. αὐτὸν οὖν ἐκεῖνον τὸν ὅσιον ἱερέα νόμιζέ σοι δεδωκέναι τὴν κάθοδον, καὶ πρόσελθε τῷ Θεῷ καθαρευούσῃ πάθους ψυχῇ, καὶ ἀμνηστίαν ἐχούσῃ κακῶν. ἀλλὰ καὶ διὰ πάσης εὐφήμου μνήμης ἄγε τὸν ἱερὸν ἐκεῖνον καὶ θεοφιλῆ πρεσβύτην, τὸν ἀποδείξαντά σε πρόεδρον δήμου· πάντως σοι καὶ τοῦτο οὐκ ἀποθύμιον.

Πέτρῳ

(*) Ὁ Κύριλλος οὗτος ἐπίσκοπος ἦν, ὡς ἔοικεν, ὑπὸ τὸν Πτολεμαΐδος μητροπολίτην τελῶν. ὃς διά τινα ἁμαρτήματα τῆς ἐπισκοπικῆς αὐτοῦ ἐκκλησίας πρὸς καιρὸν ἀπελήλαται· πρὶν δὲ ἢ πληρωθῆναι τὸν τῆς τιμωρίας καιρόν, ἔφθη ἀποθανὼν ὁ τιμωρησάμενος· γινόμενος δ' ἀντ' ἐκείνου Συνέσιος, δίδωσιν αὐτῷ διὰ τῆς παρούσης ἐπιστολῆς τὴν κάθοδον εἴτ' οὖν ἀθώωσιν συγχώρησιν. (α) Μακαρίας. (β) Ὁ θάνατος· ἔστι δὲ φωνὴ ἄκλιτος τὸ χρεών· ἐκ δὲ τῆς τοῦ ἄρθρου κλίσεως, καὶ δοτικῆς ἔσθ' ὅτε δύναμιν λαμβάνει, ὡς, ἐλειτούργησε τῷ χρεὼν ἤτοι ἀπέθανεν· ἴσως δὲ καὶ αἰτιατικῆς ἢ γενικῆς ἀναλόγως. ἐν δὲ τῷ ἔφθασε, λάβε ἔξωθεν τὸ αὐτόν. (γ) Ἐν ὡρισμένῳ χρόνῳ.

Πέτρῳ Πρεσβυτέρῳ. 13.

Θεὸς ἡγείσθω παντὸς ἔργου καὶ λόγου (α)· τὸν δὲ διακομιστὴν τῶν πανηγυρικῶν γραμμάτων, ἃ καταγγέλλει τὴν κυρίαν (β) τῆς ἑορτῆς ἡμέραν ἐννεακαιδεκάτην τοῦ Φαρμουθὶ (γ) μηνὸς, ὡς (δ) τῆς ἐπὶ ταύτην ἀγούσης νυκτὸς τὸ Ἀναστάσιμον ἐχούσης μυστήριον, τοῦτον καὶ προσιόντα καὶ ἐπανιόντα φιλανθρωπίας ἁπάσης ἀξιώσατε, καὶ ἀμοιβῇ ζώων (ε) ἐφ' ἑκάτερα (ζ) πέμψατε. ὅστις ὑπὲρ τοῦ μὴ γενέσθαι ταῖς ἐκκλησίαις ἐλλιπὲς ἔθος ἀρχαῖον καὶ πάτριον, μέσοις ἑαυτὸν τοῖς τῶν πολεμίων ὅπλοις ἐπέδωκεν, ὑποστὰς (η) ὁδοιπορῆσαι διὰ ὑπόπτου (θ) τῆς χώρας. ταῦτα (ι) καὶ πείθει τὴν πόλιν ὑπὲρ ἡμῶν εὔχεσθαι (κ)· δεῖ γὰρ αὐτὴν ἐντεῦθεν (λ) ἤδη τὴν τῆς ἐφ' ἡμῖν ἀβουλίας αἴσθησιν δέξασθαι, ἥτις ἐκάλεσεν εἰς ἱερωσύνην, οὐχ ᾧ παρρησία τίς ἐστι πρὸς Θεὸν ὅλου δήμου διαβάντι προσεύξασθαι (μ), ἀλλ' ὅστις αὐτὸς ὑπὲρ τοῦ σω-

θῆναι

(α) Εὐχὴ τοῦτο, ᾗπερ ἐχρῶντο ἴσως ἐν ἀρχῇ τῶν ἐπιστολῶν, ὅμοιον τῷ, ἐκ θεοῦ τε ἄρχεσθαι καὶ εἰς θεὸν ἀναπαύεσθαι. (β) Τὴν ῥητὴν, διωρισμένην. (γ) Ἀπριλλίου, κατὰ τὴν Αἰγυπτίων διάλεκτον. (δ) Τὸ ὡς, αἰτιολογικὸν ἀντὶ τοῦ ἅτε δή. (ε) Ἀμοιβὴ ζώων τὸ Τουρκιστὶ μενζίλι. (ζ) Καὶ πρὸς ἄλλην πόλιν, καὶ ἐν τῷ ἐπανέρχεσθαι, πρὸς ἡμᾶς. (η) Ἀναδεξάμενος. (θ) Κίνδυνον, φόβον ἐχούσης. (ι) Τὰ πανηγυρικὰ γράμματα· (κ) Ἔθος ἦν τὰ τὴν κυρίαν τῆς ἑορτῆς ἡμέραν καταγγέλλοντα γράμματα, μὴ ψιλὰ πέμπεσθαι, ἀλλὰ καὶ μετὰ ἠθικοῦ λόγου, ὡς ἔχει τὰ τοῦ Κυρίλλου Ἀλεξανδρείας τεσσαράκοντα ἑορταστικὰ, καὶ τὰ τοῦ Θεοφίλου, ἃ καὶ ἦσέ φησι τὰς πόλεις καὶ ὤνησε, τὸ μὲν, τῷ μεγέθει τῶν νοημάτων, τὸ δὲ, τῇ χάριτι τῶν ὀνομάτων (ἐπιστ. 9.)· ὁ γοῦν Συνέσιος ὡς ψιλὴν δίχα ἠθικοῦ πέμψας τὴν ἀγγελίαν τῆς ἑορτῆς, παρὰ τοῦτό φησι δεῖ τὴν πόλιν ἐκ τῶν ψιλῶν γραμμάτων αἰσθέσθαι οὐκ εὐτυχῶς βουλευσαμένην ἐπ' αὐτῷ, ὡς μήτε ἥσαντι μήτε ὀνήσαντι τὴν πόλιν, οἷς ἐπέστειλε. (λ) Ἐκ τῶν παρόντων γραμμάτων ὡς ἀκόμψων καὶ ψιλῶν ἠθικοῦ λόγου ὄντων. (μ) Διαβῆναι, προσελθεῖν τῷ θυσιαστηρίῳ, καὶ εὔξασθαι ὑπὲρ ὅλου δήμου· ἡ γὰρ ἐν τῷ ῥήματι πρὸ, ἀντὶ τῆς ὑπὲρ ἐστι, ἥτε γενικὴ τῆς προθέσεως συντακτική.

θῆναι δεῖται γενέσθαι δημαίτητος (ν). ἐπεὶ (ξ) καὶ τῆς ἐνθάδε συνόδου· πλῆθος δὲ συχνῶν ἱερέων· συντυχία τις ἦν, ἣν ὁ νῦν καιρὸς ἤθροισεν, ἐπιθεμένῳ μοι γράψαι πρὸς ὑμᾶς. εἰ δὲ μηδὲν ἔχον εἰπεῖν, οἵων ἀκούειν εἰώθατε, συγγνώμη μὲν ἐμοὶ τοῦτο, ἔγκλημα δὲ ὑμῖν, ὅτι τὸν οὐκ εἰδότα τὰ λόγια τοῦ θεοῦ, τῶν εἰδότων ἀνθείλεσθε.

Ἀνυσίῳ. 14.

Οὕτως ἀμείβουσι (α) γονεῦσι παῖδες· ἀπέχω (β) τὴν χάριν· Καρνᾶς ἱκέτης μου γέγονεν, οὗ τὴν ἱκεσίαν ὁ θεὸς αἰδεσιμωτέραν ἐποίησε· ποῦ (γ) γὰρ ἱερέως εἰς ἰδίαν ὑπόθεσιν περιιδεῖν (δ) ἀγώγιμον (ε) ἄνθρωπον ἐν νηστίμοις ἡμέραις; ὅστις οὖν ἦγεν αὐτὸν, οὐκ ἀφῆκεν, ἀλλ' ἀφῃρέθη τὸν ἄνθρωπον. ἂν οὖν ὑπὲρ τοῦ βεβιά-

(ν) Δημαίτητος, ὁ ὑπὸ τοῦ δήμου εἰς τὸ παραδεχθῆναί τι δημόσιον λειτούργημα αἰτούμενος, εἴτ' οὖν παρακαλούμενος· ἐνταῦθα δ' ἑτέρας ἐστὶ σημασίας· δηλοῖ γὰρ τὸν ὑπὲρ οὗ χρὴ τὸν δῆμον εὔχεσθαι, ἐκ τοῦ αἰτοῦμαι καὶ τοῦτο, ὅπερ σημαίνει τὸ μετὰ ἱκεσιῶν αἰτῶ τι παρά τε. (ξ) Τὸ, ἐπεὶ καὶ τῆς ἐνθάδε συνόδου συντυχία τις ἦν, αἰτιολογία τοῦ μὴ ὡς ἔδει γεγράφθαι τὰ πανηγυρικὰ γράμματά ἐστι, πέφρασται μέντοι ὁ λόγος στενολόγως οὕτω καὶ περινενοημένως, ὥστε τὸν ἐπεὶ σύνδεσμον δυσαπόδοτον εἶναι, τά τε τῆς ἐννοίας ἀσυνάρτητα καὶ ἀδιανόητα· ὅπερ ἐπίτηδες, οἶμαι, ἐπιτετήδευται Συνεσίῳ δεικνῦντι διὰ τούτου ὡς οὐδ' ἁπλᾶ γράμματα, μὴ ὅτιγε πανηγυρικοὺς λόγους συντάττειν ἱκανός. ὃ δ' ἐβούλετο εἰπεῖν τοιοῦτό ἐστιν ἐντελῶς ξυμφραζόμενον. ταῦτα (τὰ πανηγυρικὰ γράμματα μὴ ὄντα οἷα εἰκὸς ἦν, καὶ οἵων ἀκούειν εἰώθατε) πείθει τὴν πόλιν κτ. εἰσὶ δὲ τοιαῦτα, μάλιστα μὲν ἐπεὶ ὁ γράψας αὐτὸς οὐκ οἶδα τὰ θεῖα λόγια, εἶθ' ὅτι καὶ τῆς ἐνθάδε συνόδου συντυχία, εἴτ' οὖν συνέλευσίς τις ἦν ἐμοὶ ἐπιθεμένῳ, εἴτ' οὖν ἐγχειρήσαντι γράψαι πρὸς ὑμᾶς, ἥτις με καὶ εἰ ᾔδειν τι γράψαι, οὐκ εἴασε πρὸς ἄλλα ἀπασχολήσασα.

(α) Συμπράττουσι, βοηθοῦσι. (β) Ἀπέλαβον. (γ) ποῦ γὰρ ἴδιον ἱερέως ἀντὶ τοῦ οὐδαμοῦ οὐδόλως ἐστὶν ἴδιον ἱερ. (δ) Περιφρονῆσαι, μὴ φείσασθαι.

βιᾶσθαι (ζ) σοὶ δῶ δίκην (η), περιέστημεν (θ) ἡμεῖς εἰς τὸ τοῖς μὲν ἠδικηκόσι γίνεσθαι φιλάνθρωποι, αὐτοῦ δὲ τοῦ οὐδὲν ἀδικοῦντας ἠδικηκέναι.

Τῇ Φιλοσόφῳ. 15.

Οὕτω πάνυ πέπραγα πονήρως (α), ὥστε ὑδροσκοπίου μοι (β) δεῖ. ἐπίταξον αὐτὸ χαλκευθῆναί τε καὶ συνωνηθῆναι. σωλήν ἐστι κυλινδρικὸς, αὐλοῦ καὶ σχῆμα καὶ μέγεθος ἔχων. οὗτος ἐπί τινος εὐθείας δέχεται τὰς κατατομὰς, αἷς τῶν ὑδάτων τὴν ῥοπὴν ἐξετάζομεν· ἐπιπωματίζει γὰρ αὐτὸν ἐκ θατέρου κῶνος κατὰ θέσιν ἴσην ἐγκείμενος, ὡς εἶναι κοινὴν βάσιν ἀμφοῖν τοῦ κώνου τε καὶ τοῦ σωλῆνος· αὐτὸ δὴ τοῦτό ἐστι τὸ βαρύλλιον (γ). ὅταν οὖν εἰς ὕδωρ καθῇς τὸν αὐλὸν, ὀρθὸς ἑστήξει, καὶ παρέξει σοι τὰς κατατομὰς ἀριθμεῖν· αἱ δὲ, τῆς ῥοπῆς εἰσι γνωρίσματα.

Τῇ αὐτῇ. 16.

Κλινοπετὴς (α) ὑπηγόρευσα τὴν ἐπιστολὴν, ἣν ὑγιαίνουσα κομίσαιο, μῆτερ καὶ ἀδελφὴ καὶ διδάσκαλε, καὶ διὰ πάντων τούτων εὐερ-

(ε) Εἰς δίκην τιμωρίαν ἑλκόμενον. (ζ) Δι' ὅ,τι ἐβιάσθη παρ' ἐμοῦ ἀπολῦσαι τὸν ἄνθρωπον. (η) Τιμωρηθῇ ὑπὸ σοῦ. (θ) Κατηντήσαμεν.

(α) Νενόσηκα. (β) Ὑδροσκόπιον, ὄργανόν ἐστι δι' οὗ τὴν ποιότητα τῶν ὑδάτων δοκιμάζουσιν, ὅπερ οἱ μὲν παλαιοὶ ἐποίουν ἐκ χαλκοῦ, οἱ δὲ νῦν Εὐρωπαῖοι ἐξ ὑάλου μόλυβδον τούτῳ καθ' ἓν τῶν ἄκρων ἐντιθέντες, ὡς ἔχειν ὀρθῶς ἵστασθαι ἐν τῷ ὕδατι. ἦν δὲ τὸ σχῆμα τοῦ περιγραφομένου ὧδε ὑδροσκοπίου ὅμοιον τῷ αβ. γδ. ε. σχήματι. ἐν ᾧ ἡ αβ. γδ. ἐστὶν ὁ κυλινδρικὸς σωλήν· ἡ δὲ γδε. ὁ ἐπιπωματίζων κῶνος. θέσις δὲ καθ' ἣν ἐστιν ὁ κῶνος τῷ σωλῆνι ἐγκείμενος, καὶ βάσις κοινὴ ἀμφοῖν ἡ γδ. εὐθεῖα δὲ, ἡ ἐν τῷ μέσῳ τοῦ κυλίνδρου γραμμή· τὰ δ' ἐπ' αὐτῆς χαράγματα, αἱ κατατομαὶ δι' ὧν ἐξετάζεται ἡ τῶν ὑδάτων ῥοπή. (γ) Στάθμιον ζύγι.

(α) Κλινήρης ἐν κραββάτῳ κείμενος ὑπὸ νόσου.

εὐεργετική, καὶ ἅπαν ὅ,τι τίμιον καὶ πρᾶγμα καὶ ὄνομα. ἐμοὶ δὲ τὰ τῆς σωματικῆς ἀσθενείας, ψυχικῆς αἰτίας ἐξῆπται (β)· κατὰ μικρόν με (γ) δαπανᾷ (δ) τῶν παιδίων τῶν ἀπελθόντων ἡ μνήμη· μέχρις ἐκείνου (ε) ζῆν ἄξιον Συνέσιον, μέχρις ἦν ἄπειρος τῶν τοῦ βίου κακῶν (ζ)· εἶτα ὥσπερ ῥεῦμα ἐπισχεθὲν (η), ἀθρόον (θ) ἐρρύη, καὶ μετέβαλεν (ι) ἡ γλυκύτης τοῦ βίου· παυσαίμην ἢ ζῶν, ἢ μεμνημένος τῶν υἱέων τοῦ τάφου. σὺ δὲ αὐτή τε ὑγιαίνοις, καὶ ἄσπαται σοῦ μακαρίους ἑταίρους, ἀπὸ τοῦ πατρὸς Θεοτέκνου, καὶ ἀπὸ τοῦ ἀδελφοῦ Ἀθανασίου ἀρξαμένη, πάντας ἑξῆς· καὶ εἴτις αὐτοῖς προσγέγονεν, ὡς εἶναί σοι καταθύμιος (κ), ἐμὲ δὲ δεῖ χάριν ὀφείλειν αὐτῷ, δι' ὅ,τι σοι καταθύμιός ἐστι· κἀκεῖνον ὡς φίλον φίλτατον ἄσπασαι παρ' ἐμοῦ. τῶν ἐμῶν εἴτι σοι μέλει, καλῶς ποιεῖς· καὶ εἰ μὴ μέλει, οὐδὲ ἐμοὶ τούτου μέλει.

Ἡλιοδώρῳ. 17.

Πολλὰ κἀγαθὰ (α), γένοιτο τῷ δεῖνι δι' εὐφήμου μνήμης τὴν σὴν ἄγοντι σεμνοπρέπειαν, καὶ τὰς ἁπάντων ἀκοὰς ἐμπεπληκότι τῶν ἐπαίνων τῶν κατὰ (β) σοῦ, ὀφειλομένων τῇ χρυσῇ σου ψυχῇ καὶ γλώττῃ· πλὴν ἀλλὰ παρὰ πόδας (γ) ἀποδίδως (δ) τὴν χάριν (ε) τῆς εὐλογίας (ζ). ἀντευφημεῖται γὰρ ὑπὸ μυρίων ὅσων τῶν σῶν ἐραστῶν, οἷς (η) ἅπασιν ἐγὼ τῶν πρωτείων ἀμφισβητῶ, μᾶλλον δὲ οὐκ ἀμφισβητῶ· συγχωροῦσι γὰρ ἅπαντες.

Τῷ

(β) Ἐξήρτηται, ἔχε τὴν ἀρχήν. (γ) κατ' ὀλίγον ὀλίγον. (δ) Φθείρει· κατατρώγει. (ε) Τοῦ χρόνου, ἀντὶ τοῦ ἕως τότε. (ζ) Συμφορῶν.

(η) Κωλυθέν, ἐμποδισθέν· ἡ δὲ μετοχὴ ἀναφορικῶς ἀντὶ τοῦ ὅπερ ἐκωλύθη.

(θ) Ὅλον ὁμοῦ. (ι) Μετεβλήθη. (κ) Ἀγαπητός, ἡδύς.

(α) Πολλὰ κἀγαθὰ χρήματα, οἷον πολὺ καλὸ νἄχῃ ὁ δεῖνα. (β) Ἡ κατὰ πρόθεσις ἐπὶ ἐπαίνῳ ἐτέθη. (γ) Εὐθὺς ἀμέσως. (δ) Αὐτῷ. (ε) Ἀμοιβὴν, εὐχαρίστησιν. (ζ) Τῆς Εὐφημίας τῶν ἐπαίνων ὧν ποιεῖται εἰς σέ.

(η) Ἡδοτικὴ τὸ οἷς ἅπασιν, ἐστὶ τοῦ ἀμφισβητῶ· ἡ δὲ γενικὴ τῶν πρωτείων τοῦ πρώτου ἐλλειπτικοῦ ἐλλείπει γὰρ τὸ ἕνεκα,

Τῷ ἀδελφῷ 18.

Ὁ Δεῖνα βουλευτὴς μέν ἐστι πόλεως, ἐν ᾗ ἐσοῦ παῖδας ἐγεννησάμην (α). τρόπον οὖν τινα (β) πάντας Ἀλεξανδρέας ὡς πολίτας (γ) ὑφ' ἡμῶν τιμᾶσθαι καὶ ὁρᾶσθαι προσήκει· τῷ δὲ (δ), ὑπάρχει συγγενεῖ τε εἶναι τοῦ μακαρίτου Θεοδώρου, σφόδρα διὰ μνήμης ἡμῖν ἀνδρὸς γενομένου, καὶ μηδὲν ἀμελεῖσθαι ἀξίῳ παρὰ τῶν τῇδε τὰ πρῶτα ἐχόντων ἐν τῷ πολιτεύεσθαι. οὗτοί μοι προσήγαγόν τε αὐτὸν, χρυσίον ὡς ὑμᾶς νομὴν στρατιώταις κομίζοντα, καὶ ἐδεήθησαν ἐμοῖς ἐφοδίοις γράμμασι πρὸς ὑμᾶς πέμψαι, ἡγούμενοι πάντα καλῶς ἕξειν αὐτῷ, τυχόντι τοῦ παρ' ἐμοῦ σοί τε καὶ τῷ δεῖνι συστῆναι. ἐγὼ μὲν οὖν ὅπερ ᾔτησαν ἔδωκα· εἰ δὲ μὴ μάτην (ε), ὑμεῖς δείξετε.

Ἡρώδῃ καὶ Μαρτυρίῳ. 19.

Οὐκ ἐν αἰτίᾳ μοι δοκῶ (α) πεποιῆσθαι τὴν κοινωνίαν τῆς ἐπιστολῆς (β), ἀλλ' εἰ διῴκισα (γ) γράμμασι τοὺς συνημμένους τῇ γνώμῃ, τοῦτο ἂν ἦν τὸ ὑπαίτιον. προσείρησθε δὴ θαυμάσιοι, καὶ τὸν ἐπι-

(α) Ἄλλοι γράφουσιν ἐγεννησάμεθα καὶ δοκεῖ βέλτιον. καθ' ὅ,τι καὶ ὁ ἀδελφὸς Συνεσίου ἐν Ἀλεξανδρείᾳ ἦν γεγαμηκώς τε καὶ παιδοποιησάμενος. (β) Κατά τινα τρόπον. (γ) Συμπολίτας, πατριώτας. (δ) Τούτῳ δὲ τῷ κομίζοντι τὰ παρόντα, πρὸς τῷ εἶναι πολίτην πολ: ἐν ᾗ τοὺς παῖδ: ἐγεν: ὑπάρχει καὶ ἕτερα δύω δι' ἃ ἐστὶ τιμητέος ἡμῖν. τὸ μὲν, ὅτι ἐστὶ συγγενὴς Θεοδώρου --- τὸ δ' ὅτι ἄξιος μηδὲν ἀμελεῖσθαι, εἴτ' οὖν τιμᾶσθαι, ἀγαπᾶσθαι παρὰ τῶν --- (ε) λάβε ἀπὸ κοινοῦ τὸ ἔδωκα.

(α) Ἀντὶ τοῦ μέμψεσθαι, αἰτιάσεσθαι. ἔστι δέπως καινῶς πεφρασμένον, εἴγε τὸ δοκῶ, ἐπὰν τὸ ἐκ τούτου ἀπαρέμφατον ἑτεροπροσωπῇ, μεταβάλει εἰς ἀπρόσωπον, ἢ ταυτοπροσωπεῖ τῷ ἀπαρεμφάτῳ· καὶ σκεπτέον μὴ εἴη παρεφθαρμένον ἐκ τοῦ, οὐκ ἐν αἰτίᾳ μοι δοκεῖτε ποιήσεσθαι· εἰμήτις εἴποι ὡς ἡ δοτικὴ οὐ τοῦ δοκῶ, τοῦ δὲ πεποιῆσθαί ἐστιν ἐκ δ'. (β) Τὸ κοινῶς μίαν ἐπιστολὴν ἀμφοῖν ἐπιστεῖλαι. (γ) διεχώρισα. (δ) Τὸ ὅτι Νεόφυτος ὁ διδάσκαλος ἅ,τι γράφει

πιδιδόντα τὴν ἐπιστολὴν, ὃς ἐπὶ χρυσίου διακομιδῇ πρὸς ὑμᾶς ἐστάλη δημοσίαν ὁδὸν, θάλψατε τὸν ἐνόντα τρόπον, ἐπειδή μοι παρὰ παντὸς συνέστη τοῦ βουλευτηρίου, καὶ βουλοίμην μὲν ἀγαθοῦ τινος αἴτιος αὐτῷ γενέσθαι· οὐ μὴν οἶδα ὅτι (δ) μᾶλλον ὑμῶν ἑτέροις μέλειν ἄξιον ἡμῶν τε καὶ ὧν ἂν ἡμεῖς ἐπιβάλλωμεν (ε)

Διογένει. 20.

Ἕως ἔτι περιῆν ὁ μακαρίτης Θεόδωρος, κοινὸς μὲν ἦν ἁπάντων Πενταπολιτῶν πρόξενος (α), διαφερόντως δὲ τῶν ἡμετέρων γονέας ἐξήρτητο (β), τῇ τε εἰς ἅπαντα σπουδῇ καὶ τῇ τῆς γλώττης εὐστομίᾳ καὶ χάριτι. τῶν οὖν παρ' ἐκείνου (γ) πολλῶν καὶ ἡδίστων (δ), εἰς Ἀμμώνιον τὸν ἀνεψιὸν τὴν χάριν ἀπομνημονεύσωμεν (ε). ἐγὼ μὲν οὖν τοὐμὸν μέρος (ζ), ἀπέτισα (η). τί δὲ τοῦ ἀπόντος ἔργον, ἢ τοῖς παροῦσι τὸν ἄνδρα συστῆσαι; τὸ δὲ μὴ βαρεῖαν (θ) αὐτῷ τὴν αὐτόθι γενέσθαι διατριβὴν, ὑμέτερον ἔργον.

Τῷ

τὶν ἤ φησιν· οὐ μὴν οἶδα καθ' ὅ,τι, τίνι τρόπῳ δηλ: ἄξιόν ἐστιν ἑτέροις μᾶλλον ἢ ὑμῖν μέλειν ἡμῶν κτ. ὁ δέ γε νοῦς τοιοῦτος. βουλοίμην ἂν κτ. οὐ μὴν οἶδα εἰ δίκαιον ἑτέροις μᾶλλον ἢ ὑμῖν τοῖς φίλοις με τοῦτον συστῆσαι. (ε) Ἐπιθυμῶμεν, ἐρῶμεν. σκοπεῖν δὲ μὴ βέλτιον γράφειν ἐπιβαλλώμεθα· ἐν γὰρ ἐνεργητικῇ προφορᾷ οὐδεὶς ἕτερος ἐξέλαβεν εἰς τοιαύτην σημασίαν τὴν λέξιν. καὶ ὅρα τὸν Βαρῖνον.

(α) Πρόξενος κυρίως ὁ ὑπὸ πόλεως ἠξιωμένος ἐν τῇ σφετέρᾳ προΐστασθαι ξένων, οἷος ὁ Ἀντήνωρ ἐν τοῖς Τρωσὶ, καὶ οἱ τῶν βασιλέων Κόνσολοι. λέγεται δὲ καὶ ὁ κοινῇ τῆς πόλεως φίλος, καθ' ὃ δὴ σημαινόμενον ἐξέλαβεν ὧδε τὴν λέξιν Συνέσιος. (β) Λείπει τὸ ἑαυτοῦ· τοῦτο δὲ ἡμεῖς ὑπεχρεώσαμεν λέγομεν.

(γ) Πεποιημένων. (δ) Εὐεργεσιῶν. (ε) Μνημονεύσαντες, ἀποδώσωμεν, ἀποτίσωμεν. (ζ) Κατάγε τοὐμὸν μέρος. (η) Τὴν χάριν. (θ) Λυπηρὰν ὀχληράν.

Τῷ ἡγεμόνι. 21.

Εἰ τοῦ Θεοδώρου μνήμη (α) παρὰ τῇ σεμνοπρεπείᾳ τῇ σῇ, πῶς δὲ οὐ μέλλεις (β); χάρισαι τοῖς εἰς τὸν ἀπελθόντα καθήκουσι τὴν εἰς τὸν ἀνεψιὸν τὸν ἐκείνου τιμήν· καὶ γὰρ ἄνδρα ἀγαθὸν εὖ πεποιηκὼς ἔσῃ, καὶ τῷ τῆς μεγάλης Ἀλεξανδρείας βουλευτηρίῳ χαρισάμενος· ὡς (γ) ἀθρόοι γενόμενοι (δ) προσαγηόχασιν ἐμοὶ τὸν ἄνδρα, καὶ ἐδεήθησαν ὄνασθαί τι τῶν ἡμετέρων γραμμάτων. τὸ μὲν οὖν δοῦναι τὰς ἐπιστολάς, ἡμέτερον ἦν· τὸ δὲ εἰς ὄνησιν αὐτῷ γενέσθαι, παρ' ὑμῶν ἐπιζητεῖται.

*) Ἀναστασίῳ. 22.

Ἤχθην, ἀλλὰ πῶς οἴει; πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἤχθην μαθὼν τὰ χρυσᾶ παιδία τῇ τοῦ Βασιλέως φωνῇ νόμῳ σοὶ παιδία γενόμενα· μάλιστα μέν, ὅτι σὲ φιλῶ· τίνα γὰρ ἂν δικαιότερον; εἶθ' ὅτι πονηροὺς ἀνθρώπους μισῶ, ὧν τὰς ἐν σκότῳ καὶ γωνίαις ἐλπίδας ἡ χρηστὴ τύχη τῶν παιδίων ὑπετέμετο.

Διο-

(α) Φράσις ἀντὶ τοῦ εἰ μέμνησαι Θεοδ. (β) Ἴσως μέλλει, ἵν' ᾖ· πῶς δὲ οὐ μέλλει εἶναι μνήμη παρὰ τῇ - - - εἰμήτις εἴποι, ὡς ἔῤῥωται καὶ τὸ μέλλεις, πρὸς τὸ φυσικὸν τῆς συντάξεως οὐ πρὸς τὴν φράσιν ἀπονεῦον.

(γ) Τὸ ὡς, ἀντὶ τοῦ γάρ. (δ) Οἱ βουλευταί. ἐπλήθυνε δὲ τὸ ἑνικὸν κατὰ τὸν τῶν περιληπτικῶν λόγον.

(*) Ὁ τὰ λατινικὰ ἐρανισάμενος σημειώματα φησὶν ὡς ὁ Ἀναστάσιος οὗτος διδάσκαλος ἐγεγόνει τοῖς τοῦ βασιλέως παισίν, οὗ ἕνεκα συνήδεταί οἱ Συνέσιος διὰ τῆς παρούσης ἐπιστολῆς· τεκμαίρεται δὲ τοῦτο ἐκ τοῦ χρυσᾶ τὰ παιδία ὠνομάσθαι, βασιλικὴν ταύτην προσηγορίαν τυγχάνειν ἀποφαινόμενος· ἐμοὶ δέγε δοκεῖ ὡς τὰ παιδία ταῦτα βασιλέως μὲν οὐκ, ἀλλὰ τῶν τινος ἐν τέλει ὄντα, ἀπορφανισθέντα δὲ πατρὸς ἢ καὶ ἀμφοῖν τῶν γονέων, υἱοὶ θετοὶ αὐτῷ κατὰ νόμους τῇ τοῦ βασιλέως φωνῇ, εἴτ' οὖν προστάξει, ἐγένοντο· ἢ ὑπὸ τὴν ἐπιτροπὴν αὐτοῦ καὶ προστασίαν τελεῖν τετάχαται· τὸ δὲ χρυσᾶ οὐ μόνον βασιλέων παισὶν οἰκεῖον, ἀλλὰ καὶ τοῖς τῶν τυχόντων, καὶ δῆλον ἐκ τῆς ἑπομένης ἐπιστολῆς.

Διογένει. 23.

Τοιοῦτόν ἐστιν ἡ Σύρων τροφή! καὶ συγγενῶν καὶ φίλων ἐπιλήσμονας ἀποδείκνυσι· μὴν γὰρ οὑτοσὶ πέμπτος, ἀφ' οὗ γράμμασιν ἡμᾶς οὐκ ἠσπάσω, καὶ ταῦτα δούσης σοι τῆς φύσεως οὐ μόνον πρὸς χρείαν, ἀλλὰ καὶ πρὸς ἔνδειξιν καὶ φιλοτιμίαν ὑπαγορεύειν ἐπιστολάς· ἀλλ' ἂν αὐτὸς ὑγιαίνῃς, καὶ τὰ χρυσᾶ παιδία, καὶ ἡ καλλίπαις μήτηρ αὐτῶν, ἡμῖν καὶ τοῦτο ἅλις ἔχει.

Σιμπλικίῳ. 24.

Ἔδει μέν τοι ταῖς τύχαις τὰς γνώμας μὴ συνεξαίρεσθαι, μηδὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖσθαι τῆς παρούσης ἀξίας· σὺ δὲ ἡμῶν ἐπιλήσμων ἐγένου χρόνου συχνοῦ· χρῆν δὲ οὐχὶ, καίτοι (α) σφοδρᾶς διαθέσεως συναψάσης ἡμᾶς ἀλλήλοις.

Ἡλιοδώρῳ. 25.

Ἐμοὶ μὲν συμπρόεισι τοῖς ἐνιαυτοῖς καὶ ἡ τοῦ φίλτρου προσθήκη· σὺ δὲ εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄγεις χολὴν ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου, γράμμασι τιμᾶν ὡς εἰκὸς ἅπαξ ποτὲ, καὶ οὓς εἰκὸς, κλέψας σαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρκέσαι πρὸς μέτρον ἐπιστολῆς, αὐτὸ τοῦτο μήνυσον· εἰ δὲ ἐπιγινώσκεις ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθωσαι μετανοίᾳ, καὶ σαυτὸν ἡμῖν ἐπανάγαγε.

Τρωΐλῳ. 26.

Ἀλλ' εἰ μήτε Κυρηναῖοι, μήθ' αἱ πόλεις ἀστυγειτόνων ἀποτίσουσί σοι χάριν ἀξίαν, ἀνθ' ὧν ὁ θαυμάσιος Ἀναστάσιος αὐ-

ταῖς

(α) Ἐναντιωματικῆς σημασίας ὁ καίτοι ἐμφαντικὸς, ἀποτείνεται δὲ εἰς τὸ ἐπιλήσμων ἐγένου· τὸ δὲ χρῆν δὲ οὐχὶ, καθ' ὑστερολογίαν ἐτέθη ἐν τῷ μέσῳ.

ταῖς χάρισι, πάντως γε ἡ τοῦ θεοῦ σοι προσέςαι χάρις, ᾧ σαυτὸν οἰκειοῖς τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. εὐδαιμονοίης ἄριςε Φιλοσόφων· οὕτω γὰρ ἐμοί σε φίλον καλεῖν, ὥσπερ ὑπαγορεύει τὰ πράγματα.

Κώνςαντι. 27.

Εἰ δὲ Φιλοσοφίας τιμᾷς ἀρετὴν, οὐ μόνον ἐν τοῖς παροῦσι καὶ μεταχοῦσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς ἀποῦσι τιμήσεις. ὁ θεσπέσιος Ἀμμωνιανὸς ὁ παρ' ἡμῖν ποτε τυχὼν ἀμείνονος λήξεως, ἐμοὶ δοκεῖ, πάρεςι καὶ ἀπεῖναι δοκῶν· τούτου συγγενὴ σφόδρα, αὐτανέψιον, ὁ παρ' ὑμῖν Σωτήριχος ἀδικεῖ· δεῖξον ὅτι κήδῃ Διονυσίου, καὶ πεπαύσεται Σωτήριχος ἀδικῶν.

Σιμπλικίῳ. 28.

Ἀφιέναι φησὶ δεῖν ὁ Θεὸς τὰ ὀφειλήματα· ὀφείλει δὲ ὁ μέν τις δάνεισμα χρυσίου, ὁ δὲ, τὸ δοῦναι δίκην. καὶ ὁ τοῦ λαβεῖν οὖν δίκην ὑπεριδὼν, ὑπήκουσε τοῦ Θεοῦ.

Πενταδίῳ Αὐγουςαλίῳ. 29.

Τοῦ παρ' ἡμῶν ὄχλου καὶ τῶν πραγμάτων (α) αὐτὸς σὺ σαυτὸν αἰτιῶ· φιλοτιμηθεὶς γὰρ πᾶσι γενέσθαι καταφανὴς ὅτι με διὰ πάσης ἄγεις τιμῆς, ἅπασι τοῖς καταπονουμένοις ἐπ' ἐμὲ τὸν δρόμον ἀνέῳξας. οἶδ' οὖν ὅπως (β) ποιήσεις, εἰ δεῖ ποτε πεπαῦσθαι κἀμὲ κοπτόμενον ὑπὸ πολλῶν, καὶ σὲ περὶ πολλῶν ὑπ' ἐμοῦ; εἰ καὶ πάνυ δεῖται μετρίων καὶ φιλανθρώπων ὑπὲρ οὗ γράφω, καὶ τυχεῖν

δεῖν

(α) Ὄχλος καὶ πράγματα ἐκ παραλλήλου κεῖνται· δηλοῦσι δὲ ἐνόχλησιν, πείραξιν. (β) Τὸ ὅπως παραγγελματικὸν ἀντὶ τοῦ πῶς· ἡ δὲ ἔννοια· οἶδ' οὖν

ἐστὶν ἀξιώτατος, ὡς ἅπαντες ἴσασιν, ἀποτυγχανέτω σου μηδὲν ἧττον, ἢ εἰ παμπόνηρός τε ἦν, καὶ παμπονήρων ἐδεῖτο πραγμάτων· τοῦτό τε οὖν, καὶ ὅταν ἀφίκωμαι παρὰ σὲ δῆθεν αἰτιασόμενος, πρόσαττε τοῖς ὑπηρέταις ἀποζυγῶσαί μοι κατὰ τοῦ προσώπου τὰς θύρας. ἂν τοῦτο γινόμενον οἱ μὲν, ἴδωσιν, οἱ δὲ, τῶν ἰδόντων ἀκούσωσι, τοὐντεῦθεν ἐγώ τε καὶ σὺ βαθεῖαν εἰρήνην ἄξομεν· ὡς οὐδείς γε ἔτι τοῦ λοιποῦ προσδραμεῖταί μοι καὶ προσανακλαύσεται· εἰ δὲ ἀποδειλιάσεις, καὶ οὐκ ἐθελήσεις ταῦτά σοι τοὺς ἀνθρώπους συγγνῶναι (γ), ἀνέχου πολλάκις τῆς ἡμέρας ἀγαθόν τι ποιεῖν ἀνθρώπους, ἱκέτας σου γινομένους δι᾽ ἐμοῦ τε καὶ τοῦ Θεοῦ· ἀλλ᾽ εὖ οἶδ᾽ ὅτι οὐκ ἀπαγορεύσεις εὖ ποιῶν· οὔκουν οὐδὲ ἐγὼ (δ), προπάσας ὑποθέσεις τῇ φύσει (ε) σου ποριζόμενος.

Τῷ αὐτῷ 30.

Ἐγὼ καὶ σοῦ κήδομαι, καὶ τοῦδε· σοῦ μὲν ὡς μὴ ἀδικοίης· τοῦδε δὲ, ὡς μὴ ἀδικοῖτο· εἰ δὲ καὶ σοὶ δοκεῖ μετὰ τοῦ Πλάτωνος (α) τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακὸν, ἔοικα σοὶ (β) μᾶλλον, ἢ τῷδε χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ πραττομένου δίκας (γ) ὑπὲρ ὧν οὐκ ἐξήμαρτεν.

Αὐρηλιανῷ. 31.

Εἴ τινές εἰσι (α) ψυχαὶ τῶν πόλεων, ὥσπερ οὖν εἰσὶν, ἔφοροι, θεῖαί τε καὶ δαιμόνιοι, πάσας ἡγοῦ σοι χάριν εἰδέναι, καὶ ἀπο-

πῶς ποιήσεις εἰ δεῖ ποτε - - - ὁ περὶ οὗ γράφω, εἰ καὶ πάνυ δεῖται δικαίων - - -
καὶ τυχεῖν ἄξιος - - - ἀποτυγχανέτω σου ὅμως μηδὲν ἧττον - - - τοῦτό τε οὖν
(ποίησον) καὶ, - - - πρόσαττε τοῖς ὑπηρέταις ἐπικλεῖσαί μοι κτ.

(γ) Συνοιδέναι σοι. (δ) Ἀπαγορεύσω. (ε) Τῇ ἀρετῇ σου.

(α) Πλάτων ἐν Γοργίᾳ. (β) Τὸ σοὶ κατ᾽ ὀρθὴν τάσιν ἀναγνωστέον.

(γ) Τιμωρουμένου.

(α) Εἴ εἰσί τινες οὐσίαι ἄυλοι θεῖαί τε καὶ δαιμόνιοι τῶν πόλεων ἔφοροι ὡ

ἀπομεμνῆσθαι τῶν ἀγαθῶν, ὧν ἐπὶ τῆς μεγάλης ἀρχῆς (β) ἅπασιν ἔθνεσιν αἴτιος γέγονας. αὐτάς τε (γ) οὖν ταύτας παρὰ τοὺς καιροὺς ἑκάστους οἴου σοι παρεστάναι συνηγόρους τε καὶ συμμάχους, καὶ τοῦ κοινοῦ Θεοῦ δεῖσθαι, γενέσθαι σοι πρεπούσας ἀμοιβὰς τῆς ἐνδεχομένης ἐκείνου μιμήσεως· τὸ γὰρ εὖ ποιεῖν, ἓν τοῦτο μόνον ἔχουσι κοινὸν ἔργον ἄνθρωπος καὶ Θεός· ἡ δὲ μίμησις, οἰκείωσίς ἐστι, καὶ συνάπτει πρὸς ὃ μιμεῖται τὸ μιμούμενον. διάκεισο (δ) τοίνυν ὡς ἀπειργασμένος οἰκείως τῷ Θεῷ τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως, καὶ σύνεσο γλυκείαις ἐλπίσιν, ὁποῖαι τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει προσήκουσιν, ὦ μεγαλοπρεπέστατε, μόνος ἢ μετ᾽ ὀλίγων σὺ μόνος δικαίως καλούμενος! ἀσπάζομαι διὰ τῆς σεμνοτάτης φωνῆς τοῦ πατρὸς τὸν νέον Ταῦρον (ε), τὰς ἀγαθὰς Ῥωμαίων ἐλπίδας.

Τῷ

σπερ δήπου καὶ εἰσὶ, πάσας ἡγοῦ κτ. δόξα δὲ τοῦτο Ἑλληνικὴ οἰομένων ἑκάστης πόλεως καὶ χώρας δαίμονάς τινας ἢ Ἥρωας προστατεύειν· ὅπερ καὶ παρὰ τῶν Χριστιανῶν πιστεύεται μάλιστα τῶν κατὰ τὴν Εὐρώπην, πατρόνους ἁγίων τινὰς πόλεσί τε καὶ χώραις ὅλαις ἐφεστάναι δοξαζόντων. (β) Ὅτε ἦρχες τὴν μεγάλην ἀρχὴν, ἐννοεῖ δὲ τὴν ὑπατείαν· ἀπὸ ὑπάτων καὶ γὰρ ἦν, ὡς ἱστορεῖ Σωκράτης ἐν τῇ Ἐκκλ. Ἱστορ. βιβλ. 6. κεφ. 6. (γ) Ὁ τὲ σύνδεσμος τὸ, αὐτὰς ταύτας σοὶ παρεστάναι πρὸς τὸ, καὶ τοῦ κοινοῦ Θεοῦ δεῖσθαι συμπλέκει· ὁ δὲ νοῦς τοιοῦτος· οἴου γοῦν αὐτὰς ταύτας σοι παρεστάναι - - - ἐπὶ τῶν τῆς σφετέρας δυνάμεως, καὶ (εἴ τις χρεία μείζονος βοηθείας) τοῦ κοινοῦ Θεοῦ δέεσθαι - - κοινὸν δὲ εἴρηκε τὸν Θεὸν, ὡς καὶ ἀνθρώπων καὶ τῶν τοιούτων ψυχῶν ὄντα Θεόν. (δ) Διάκεισο τοίνυν (τὴν γνώμην, ἐννοεῖται γὰρ τοῦτο) τοῦτ᾽ ἔστι φρόνει· νόμιζε ὡς ἀπειργάσθης οἰκείως, εἴτ᾽ οὖν ᾠκειώθης Θεῷ κτ. ἐν ᾧ τὸ ὡς, πρὸς τὸ διάκεισο ἀναφερόμενον, βεβαιωτικόν ἐστιν ἀντὶ τοῦ ὅτι· ὅθεν ἐν τῷ ἀπειργασμένος ληπτέον ἔξωθεν ὑπαρκτικὸν τὸ εἶ, ἢ ὑπάρχεις ἤ τι τοιοῦτον, ἵν᾽ ᾖ ἀνάλυσις ὁριστικῆς πρὸς ἣν πέφυκε φέρεσθαι τὸ τοιοῦτον ὡς, ἢ λεκτέον περὶ αὐτοῦ ἅττα περὶ τοῦ Ἰσοκρατικοῦ εἴρηκε Νεόφυτος ὁ διδ. ἐν τῷ τέλει τοῦ πίνακος τῆς κατ᾽ αὐτὸν γραμματικῆς. (ε) Ταύρους, ὡς ἔοικεν, ὠνόμαζον τοὺς τῶν ὑπάτων υἱούς,

Τῷ Ἀδελφῷ. 32.

Ὁ καὶ τοὔνομα δοῦλος καὶ τὴν προαίρεσιν, ὃν ἀγνοήσας, ὡς παιδοτρίβην παρὰ τῶν Θεοδώρου κληρονόμων ἐώνημαι, πάλαι (α) μὲν ἐστι πονηρός· καὶ γὰρ ἔφυ καὶ τέθραπται κακῶς, καὶ ἀγωγῆς οὐκ ἀπέτυχεν ἀξίας τῆς φύσεως (β), ἐκ παιδὸς ἐν τηλίᾳ (γ) καὶ κύβοις καὶ καπηλείοις καλινδηθείς· ἀλλὰ νῦν, Λυσίας ἂν εἶπεν, ἐξείργασαι καὶ τέλος ἔχει, καὶ πέρας ἀηδίας ἐστίν· Ἑρμῇ μὲν γὰρ καὶ Ἡρακλεῖ τοῖς Παλαίστρας ἐφόροις, οὐδὲ κατὰ μικρὸν πρέπει, Κοτυττοῖ (δ) δὲ καὶ τοῖς ἄλλοις Ἀττικοῖς Κονισάλοις νεωκορεῖ (ε), καὶ εἰ δή τινές εἰσι τούτου τοῦ κόμματος ἕτεροι δαίμονες, ἅπασιν αὐτοῦ μέλει, καὶ πάντων αὐτῷ. δίκην μὲν οὖν ἑτέραν οὐκ ἂν λάβοιμι παρ᾽ αὐτοῦ· ἀποχρῶσα γὰρ ἡ πονηρία δίκη τῷ πονηρῷ· δοκιμασθεὶς δὲ ἀνεπιτήδειος εἶναι συμβιοτεύειν Φιλοσόφοις δεσπόταις, ὧν οἰκούντων αἰσχύνη περινοστεῖ, ἐχέτω τὴν ἔχουσαν αὐτὸν πόλιν (ζ)· ὁ γὰρ ἰδὼν τὸν πορνότριβα σοβοῦντα διὰ τῆς ἀγορᾶς ἐν στεφάνῳ καὶ μύροις, μεθύοντα καὶ κωμάζοντα, καὶ πάσης ἀκολασίας ἐμπιπλάμενον, καὶ ᾠδὰς ᾄδοντα πρεπούσας τῷ βίῳ, ἐπὶ σοῦ ἔχοντας αὐτὸν τὴν αἰτίαν ἀνήγαγεν. ὅπως (η) οὖν αὐτὸν

τὸν

(α) Παλαιόθεν, ἐξ ἀρχῆς, (β) Τῆς ἑαυτοῦ κακίας. (γ) Τηλία καὶ κύβος ἐκ παραλλήλου ἐστί· τηλία μὲν γὰρ ἡ σανὶς, κύβοι δὲ τὰ βόλια ἅπερ ἐν τῇ σανίδι ῥίπτουσιν οἱ παίζοντες· δηλοῦσι δ᾽ ἐνταῦθα ἄμφω αὐτὸ τὸ ἔργον τοῦτ᾽ ἐστι τὴν παιδιὰν τῆς κυβείας. (δ) Κοτυττὼ, Θεὰ παρ᾽ Ἕλλησιν αἰσχρουργίας ποιητική. Κονίσαλοι δὲ, Θεοὶ καὶ αὐτοὶ Πριαπώδεις εἴτ᾽ οὖν αἰσχρουργοί. (ε) Δουλεύει· Νεωκόρος γὰρ ὁ τὸν νεὼν κοσμῶν καὶ εὐτρεπίζων. (ζ) Τὸ χωρίον τόδε τισὶ μὲν δοκεῖ διαφθοράν τινα πεπονθέναι, δι᾽ οἳ καὶ διορθοῦν πειρώμενοι γράφουσιν οἱ μὲν, φευγέτω ἀντὶ ἐχέτω, οἱ δὲ, ...εγκοῦσαν ἀντὶ ἔχουσαν, οἱ δὲ, ἐχέτω τιμωρίαν ἐᾶν τὴν ἔχουσαν αὐτὸν πόλιν, ἀδιανόητον λέγοντες εἶναι τὸ ἔχειν τὴν ἔχουσαν τὸν μετ᾽ οὐ πολὺ δεηθησόμενον καὶ εὐθὺ τῆς ἐνεγκούσης πλεῖν ἀναγκασθησόμενον· ἐμοὶ δὲ δοκεῖ καλῶς ἔχειν, καὶ ᾗ ἔχει· ὁ γάρ τοι Συνέσιος παίζων ἐν ταῖς λέξεσιν, ἐχέτω τὴν ἔχουσαν, εἴρηκεν, ὡς εἰ ἔλεγεν· οἰκείτω τὴν πόλιν, ἥτις ἔχει αὐτὸν πολίτην, τοῦτο δέ ἐστι ταυτὸν τῷ

τὸν παραδοὺς τῷ ναυκλήρῳ πλεῖν ἀναγκάσεις εὐθὺ τῆς ἐνεγκούσης αὐτόν· ἐκείνη γὰρ ἂν αὐτοῦ καὶ ἀνάσχοιτο δικαιότερον. πλείτω δὲ δεδεμένος ἐπὶ τοῦ καταστρώματος· μὴ γὰρ εἰς κοίλην ναῦν (θ) καταβαίη· ἐπεὶ (ι) μὴ θαυμάσῃς, εἰ συχνὰ τῶν κεραμίων ἡμιδεῆ σοι ποιήσειεν· εἰ δὲ ὁ πλοῦς παρατείνοιτο, καὶ μέχρι τρυγὸς ἂν ἐκροφοῖτο τὴν ἀνθοσμίαν. καὶ τοὺς ναύτας δὲ ἂν αὐτὰ ταῦτα ποιεῖν ἀναπείσειε· πρὸς γὰρ τοῖς ἄλλοις καὶ πιθανώτατον (κ) τὸ κακὸν, εἰς ἀπολαύσεις ἡγήσασθαι (λ)· καὶ τίς οὕτως ἐμβριθὴς ἐστι τῶν μισθῷ πλεόντων τὴν θάλατταν, ὡς μὴ διαχυθῆναι τοῦ καθάρματος κορδακίσαντος (μ) ἐν τῇ τοῦ ποτηρίου περιφορᾷ; καὶ ἄλλα βωμολοχεύεται (ν), πρὸς ἃ δεῖ πεφράχθαι τὸν ναύκληρον. ὁ μὲν οὖν Ὀδυσσεὺς, ἵνα μὴ ὑφ' ἡδονῆς διαφθαρείη, τὴν Σειρήνων ἀκτὴν δεδεμένος παρήμειβεν (ξ)· οὑτοσὶ δὲ, ἵνα μὴ τοὺς πλέοντας ἡδονῇ διαφθείρειεν (ο), ἂν ἐκεῖνοι σωφρονῶσι, δεθήσεται.

Τῇ Φιλοσόφῳ. 33.

Ἠχοῦς ἔοικα πρᾶγμα ποιεῖν. ἃς παρείληφα φωνὰς, ἀντιδίδωμι, τὸν θαυμαστὸν Ἀλέξανδρον ἐπαινῶν παρὰ σοί.

*) Αὐρηλιανῷ. 34.

Οὔπω τῇ προνοίᾳ μέλει Ῥωμαίων, ἀλλὰ μελήσει ποτὲ, καὶ οὐκ εἰς ἅπαν οἰκουρήσουσιν οἱ τὰ κοινὰ σώζειν δυνάμενοι. ἀλλὰ

τῷ

ἐνεγκοῦσαν. (η) Ἐννοεῖται ἔξωθεν τὸ ὅρα, ἢ πρόσεχε· τὸ δὲ ὡς παραγγελματικὸν, δι' ὃ καὶ πρὸς ὁριστικὸν μέλλοντα. (θ) Ἀντὶ τοῦ ἐς τὰ κοῖλα τῆς νεώς. (ι) Ἐπεὶ, εἰ καταβαίη (συνεξακούεται γὰρ τοῦτο) μὴ θαυμ. κτ. (κ) Πεισικώτατον. (λ) Ὁδηγῆσαι, παρακινῆσαι. (μ) Αἰσχρῶς ὀρχισαμένου.

(ν) Γελωτοποιεῖ. (ξ) Γ[illegible]μα τὰ τῆς μυθολογίας· εἰ δέ τις ἀγνοεῖ, μετελθέτω τὴν Μ. ῥαψῳδίαν τῆς Ὀδυσσείας. (ο) Ἴσως διαφθείρῃ.

*) Ἡ παροῦσα ἐπιστολὴ προτέρα ἐπεστάλη Αὐρηλιανῷ τῆς 31. ἐκείνη μὲν γὰρ ὅτε πεπαυμένος τῆς ὑπατείας ἦν, ἡ δὲ παροῦσα πρὶν ὑπατεῦσαι.

τῷ γε ῥήτορι τῷ συντρόφῳ, καὶ ἡ παροῦσά σοι δύναμις ἀρκεῖ πρὸς ὃ τυγχάνει δεόμενος. ἀπολαυέτω δὴ νῦν μὲν αὐτὸς μόνος ταύτης, ἔπειτα (δὲ) μετὰ τῶν ἐθνῶν κἀκείνης.

Τῷ Ἀδελφῷ. 35.

Ἐπιτομωτάτην ὁδὸν ἐπὶ τὸ πλουτεῖν ἐβάδισεν Ἀθανάσιος. ἔγνωκεν ὁμόσε ἰτέον εἶναι τοῖς ἀποθνήσκουσι, καὶ πρακτέον αὐτῷ πειθοῖ καὶ βίᾳ πᾶν ὅ,τι ἂν δύναιτο. οὐκ ἂν οὖν αὐτὸν λάθοι δημόσιος, ἐπὶ διαθήκῃ καλούμενος, ἀλλὰ συνεὶς ἅλλεται.

Τῷ αὐτῷ. 36.

Ἑκκαιδεκάτῃ μηνὸς Ἀθὺρ (α), ὁ μακαρίτης Καστρίκιος αὐτὸ τοῦτο (β) ἐγένετο, φάσμα χαλεπὸν ἰδών τε καὶ διηγησάμενος.

Ἀνυσίῳ. 37.

Ἰωάννης, ὃν ὅτι σε φιλεῖ δι᾽ αὐτὸ τοῦτο φιλῶ, νόσῳ χαλεπῇ προσεπάλαισεν. ἦν δὲ αὐτῷ δεινὸν, οὐχ ἡ νόσος, ἀλλὰ τὸ σοῦ τῆς ἱερᾶς ἀπεῖναι κεφαλῆς· ἐπεὶ καὶ νῦν ἐν τοῖς ὁμοίοις ἐστί. τούτῳ δέ τι καὶ τρίτον προσὸν, χαλεπωτέραν τὴν νόσον ποιεῖ· ἐρᾷ οὔ τι ποιεῖν στρατιώτῃ πρέπον, καὶ δυσκόλως ἔχει πρὸς τὴν ἐξ ἀνάγκης ἀργίαν.

Αὐρηλιανῷ. 38.

Οἶμαί σου τὴν θεσπεσίαν ψυχὴν ἐπ᾽ αὐτὸ τοῦτο καταπεμφθεῖσαν (α), ἐφ᾽ ᾧ κοινὸν ἀγαθὸν ἀνθρώπων εἶναι, καὶ χάριν εἰδέναι τοῖς

ὅπερ ὑπαινίττεται προφητικῶς πως διὰ τοῦ, οὔπω τῇ προνοίᾳ μέλει Ῥωμαίων, καὶ τοῦ, ἀλλὰ μελήσει ποτὲ, καὶ οὐκ ἐ[illegible]ἅπαν οἰκουρήσουσιν κτ. ἐτέθη γε μὴν ὧδε ἀτάκτως ὥσπερ καὶ ἄλλαι πολλαί.

(α) Νοεμβρίου. (β) Μακαρίτης δηλ:

(α) Ἡ μετοχὴ αἰτιώδης, ὁ δὲ νοῦς τοιοῦτος· οἶμαι ὡς ἡ θεσπεσία σου

τοῖς συνιστᾶσι ἐστὶ δεομένοις δικαίων, ὅτι σοι περιπεσούσας ὑποθέσεις τῇ φύσει πορίζονται. οὐ γὰρ ὅτι συγγενής ἐστιν Ἡρώδης ἐμὸς, ἀλλ᾽ ὅτι δεῖται δικαίων, διὰ τοῦτό σοι τὸν νεανίσκον συνίστημι. ὅς τις ἐκ προγόνων λαμπρότατος ὢν, καὶ τὴν πατρῴαν βουλὴν ὑποτελῇ τῇ συγκλήτῳ διαδεξάμενος, ἐπειδὴ γέγονεν Ἡγεμὼν, ἀξιοῦται συντελεῖν ὥσπερ οἱ νεόβουλοι, καὶ γενέσθαι διπλοῦς λειτουργός· τὸ μέν τι διὰ τὴν οὐσίαν, τὸ δὲ, δι᾽ ἣν ἦρξεν ἀρχὴν (β).

Τῷ Ἀδελφῷ. 39.

Ἕλκει με παρὰ σὲ πόθος καὶ χρεία. πυνθάνομαι τοίνυν εἰ περιμένεις ἥξοντα.

Οὐρανίῳ. 40.

Ἔπεμψά σοι δῶρον ἵππον ἀκροφυέστατον (α) εἰς ἅπασαν ἀρετὴν ἵππῳ προσήκουσαν, ᾧ χρήσῃ μὲν ἐν ἁμίλλαις δρόμων, χρήσῃ δὲ ὅταν ἐπὶ θήραν ἐξάγῃς, καὶ ἐν ἀγῶσι πολεμικοῖς, καὶ ὅταν κατάγῃς ἐπὶ τῷ Λιβυκῷ τροπαίῳ πομπὴν ἐπινίκιον· οὐ γὰρ οἶδα ὅ,τι (β) μᾶλλόν ἐστι, κυνηγέτης, ἢ κέλης ἐναγώνιος, ἢ πομπεὺς,

ἢ

ψυχὴ ἐπεὶ κατεπέμφθη (θεόθεν τῷ κόσμῳ) ἐπ᾽ αὐτὸ τοῦτο, ἐφ᾽ ᾧ --- οὐ μόνον οὐκ ἀγανακτεῖ ἀλλὰ καὶ χάριν οἶδε κτ. (β) Νόμος ἦν, ὡς ἔοικε, τοὺς μὲν ἐκ προγόνων εὐγενεῖς, ἐπειδὰν τύχωσιν ἀρχὴν οἱανδήποτε ἠρχότες μηδένα φόρον ὑπὲρ τῆς ἑαυτῶν οὐσίας τελεῖν, ἓν τοῦτο τέλος καὶ μόνον τὴν ἑαυτῶν λειτουργίαν εἰσφέροντας τῷ κοινῷ· τοὺς δὲ νεοβούλους ἤτοι τοὺς νεωστὶ ἐς τὴν βουλὴν παραδεχθέντας μὴ ὄντας προγόνων τοιούτων, διττῶς ξυντελεῖν, καὶ δι᾽ ἑαυτῶν, καὶ φόρον ὑπὲρ τῆς οὐσίας τελοῦντας. τὸν γοῦν Ἡρώδην ἐκ προγόνων μὲν ὄντα λαμπρότατον, μὴ ἀπαλλαχθέντα δὲ, ὅτε γέγονεν ἡγεμὼν, τοῦ καὶ ὑπὲρ τῆς πατρῴας βουλῆς (εἴτ᾽ οὖν γῆς, οὐσίας) φόρον τελεῖν, συνίστησι πρὸς Αὐρηλιανὸν, ἀτέλειαν αὐτῷ, κατὰ τοὺς κειμένους νόμους, παρ᾽ αὐτοῦ μνώμενος.

(α) Ἀκρότατον, ἐντελέστατον· ἡ δὲ εἰς πρόθεσις ἀντὶ τῆς κατά.

(β) Ἀντὶ τοῦ τί ἐστι μᾶλλον, κυνηγέτης ἢ κέλης κτ. (γ) Εἰ δέ ἐστι κατὰ

ἢ πολεμιστήριος. εἰ δὲ (γ) Νισαίων ἵππων ἰδεῖν ἐστιν ἀειδέστερος, ὀχθώδης τε ὢν τὸ κρανίον, καὶ λειπόσαρκος τὴν ὀσφῦν, τάχα μὲν οὐδὲ τοῖς ἵπποις, ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις, ἅμα πάντα δίδωσιν ὁ θεός· μή ποτε δὲ τοῦτο καὶ πρὸς ἐκείνας αὐτῷ τὰς ἀρετὰς (δ) συντελεῖ, εἰ τὰ μαλακὰ τῶν σκληρῶν ἐλάττω παρὰ τῆς φύσεως ἐκληρώσατο (ε). πρὸς μέντοι (ζ) γοῦν πόνους ὀξέα σαρκῶν οἶδα διαρκέστερα. οἱ μὲν οὖν παρ' ὑμῖν ἵπποι ταῖς σαρξὶ πλείους εἰσὶν, οἱ δὲ ἡμέτεροι τοῖς ὀστέοις.

Ἑταίρῳ. 41.

Ἐμισθωσάμην σοι ναῦν ἀνθρώπων εὐγνωμόνων, καὶ πλεόντων τὴν θάλατταν μετὰ πλείονος τέχνης, ἢ τύχης. ὡς αἵγε Καρπαθίων (α) ὁλκάδες φήμην ἔχουσι διανοίᾳ (β) κεχρῆσθαι, καθάπερ αἱ Φαιάκων τῶν πάλαι, πρὶν ἐπὶ τὴν νῆσον ἥκειν τὸ δαιμόνιον μήνιμα (γ).

Κληδονίῳ. 42.

Συγγενὴς ἐμὸς ἀδικεῖται· σὺ δὲ καὶ φίλος εἶ, καὶ δικάζειν ἔλαχες· ἐκ μιᾶς οὖν προσοχῆς, ὑπάρξει σοι, κἀμοὶ καὶ τοῖς νόμοις χαρίσασθαι. ἐπανίτω τοίνυν Ἀσφάλιος εἰς τὸ δεσπότης εἶναι τῶν κεραμίων τῇ τοῦ πατρὸς διαθήκῃ προσλαβὼν τὴν ἀπόφασιν,

---

τὸ εἶδος ἀειδέστερος τῶν Νισσαίων ἵππων, τοῦτο συμβαίνει ἴσως μὲν διότι οὐδὲ τοῖς ἵπποις - - - ἅμα πάντα δίδωσιν ὁ Θεός, ἀλλὰ σκεπτέον μήποτε τοῦτο κτ. (δ) Τὰς ἀνωτέρω εἰρημένας τὸ εἶναι δηλ: ἅμα καὶ κυνηγέτην, καὶ κέλητα καὶ πομπέα κτ. (ε) Τὸ τὰ κρέα τῶν ὀστέων ἐλάττω παρὰ τῆς φύσεως κεκληρῶσθαι· μετάληψις γάρτοι ἀπεμφάτου ὀνοματικοῦ τοῦτο, καὶ ἐξηγηματικόν ἐστι τοῦ, τοῦτο. (ζ) Ὁ μέντοι ἀντὶ τοῦ γάρ.

(α) Κάρπαθος μία τῶν σποράδων νήσων μεταξὺ Ῥόδου καὶ Κρήτης κειμένη, ἥτις νῦν λέγεται Σκάρπανθος. (β) Νοῦ κεχρῆσθαι ἐν τῷ πλεῖν ὥσπερ οἱ ἄνθρωποι, νοεῖν δηλ. (γ) Οἷον καὶ ὅτε ἧκεν ἐπὶ τὴν νῆσον τῶν Φαιάκων τὸ δαιμόνιον τουτὶ μήνιμα τέως οὐκ ἔχον εὑρεῖν.

σιν, τῆς κατηγορίας οὐκ ἑσομένης (α) ἐμποδὼν τῷ παραυτίκα τῆς ἀκροάσεως· πότε γὰρ δεῖ δικαιοδοτεῖν; ἢ τὸν χρόνον, ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ Θεοῦ.

Ἀναςασίῳ. 43.

Σωσιανᾶν τις ἔπεισεν ἢ Θεός, ἢ λόγος, ἢ δαίμων, ὅτι καὶ παρὰ τὰ χωρία τὶ γίνεται τοῖς ἀνθρώποις, εἰς τὸ τυγχάνειν τε καὶ ἀποτυγχάνειν εὐμενοῦς τοῦ Θεοῦ. πράττων οὖν πονήρως παρ᾽ ἡμῖν, καὶ τὴν πατρῴων ἀκριβῶς ἐκκοπείς, ἔγνωκε πλεῖν εἰς τά πι Θράκης χωρία ἐκεῖ διαλλαγησόμενος πρὸς τὴν τύχην. εἰ δή σοι φίλα (τὰ) πρὸς τὴν δαίμονα, σύςησον αὐτῇ τὸν νεανίσκον, καὶ ἐξευρέτω τινὰ πόρον αὐτῷ χρημάτων. ῥᾴδιον δὲ βουλομένῃ· καὶ γὰρ τὰ Νόννου τοῦ Σωσιανᾶν φύσαντος οὐ χαλεπῶς εἰς ἑτέρους μετέθηκεν. ἀποφηνάτω δὴ καὶ Σωσιανᾶν κληρονόμον ἀλλοτρίου πατρός· γένοιτο γὰρ ἂν οὕτως ἐξ ἀδικίας τὸ δίκαιον.

Ἰωάννῃ. 44.

Ὥσπερ ἄλλοτε πολλάκις ἐπὶ τῶν καιρῶν ἐγενόμην σοι χρήσιμος, καὶ παρεμυθησάμην δυσχέρειαν τύχης, τὰ μέν, λέγων, τὰ δέ, ποιῶν, ὡς ἑκάςοτε ἡ δύναμις ὑπηγόρευσε, καὶ νῦν περὶ τῶν καταλαβόντων σε πραγμάτων δοκεῖ μοι συνεισενέγκαι τινὰ γνώμην, ἐπειδὰν μὴ ἔργον δύναμαι· Συνέσιον γὰρ οὐ θέμις, ἕως ἐμπνεῖτε καὶ δύναται, μὴ οὐχὶ παντὶ τρόπῳ πρόθυμον εἶναι τοὺς φίλους ἀγαθόν τι ποιεῖν. ἄκουε τοίνυν ἅ μοι καλῶς ἔχει διαλεχθῆναι πρὸς σέ. Εἰ μὲν θεός ἐστιν ἡ φήμη κατά τινα (α) τῶν παρ᾽ ἡμῖν

(α) Εἰς προςακτικὴν ἔγκλισιν μεταληπτέον ἐν τῇ ἑρμηνείᾳ τὴν ἀπόλυτον τὴν δὲ μετοχὴν κατὰ τὸ ἐπανίτω. ὁ δὲ νοῦς· ἐπανίτω τοίνυν Ἀσφάλιος.. καὶ ἡ κατηγορία μὴ ἐμποδισάτω σε βραχύ τι ἀκοῦσαι αὐτοῦ.

(α) Ἡσίοδον λέγει τὸν ποιητήν, ὃς περὶ τῆς φήμης ἐποίησε·

Φήμη δ᾽ οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
Λαοὶ φημίζουσι· θεός νύ τοι ἐστι καὶ αὐτή.

ῥῆμιν ποιητῶν, σὺ διεχρήσω τὸν μακαρίτην Αἰμύλιον, οὐ πράξας, ἀλλὰ βουλεύσας τὸν φόνον· καὶ βαρβαρικὸν μὲν δρᾶμα συνθείς, τὸν σφαγέα δὲ καθεὶς ἐκ τοῦ σαυτοῦ λοχιτῶν τὸν ὠμότατον. λέγει μὲν γὰρ ἡ φήμη ταῦτα, ψεύδεσθαι δὲ οὐ θέμις, οὖσαν θεόν. εἰ δὲ Ἡσίοδος μὲν οὐδὲν λέγει, πολλὰ δὲ λέγεται μάτην, καὶ τοῦτο περὶ σοῦ τῶν πολλῶν ἐστιν ἕν, ὡς ἔγωγε βουλοίμην ἂν (περὶ ἐλάττονος γὰρ ποιοῦμαι τὴν ἐν ἀργυρίῳ ζημίαν, ἢ τὴν ἐν φίλῳ) καὶ νῦν ἂν οὐχ ὑπαίτιος ὢν ἀκούῃς κακῶς, ἀτυχεῖς μὲν ἄρα, ἀλλ' οὐκ ἀδικεῖς· ὡς ὤφελες μηδὲ ἀτυχεῖν. ἀλλ' ἐκείνως μὲν ἄν σοι μῖσος ὠφείλετο δίκαιον. οὕτω δὲ καὶ ἔλεος. ἐγὼ δέ μοι δοκῶ λίαν ὑπὸ συνηθείας ἁλώσιμος ὤν, κἀκείνως ἂν τὴν μὲν πρᾶξιν μισεῖν, σὲ δὲ ὅμως ἐλεεῖν, τοῦ δὲ ἐλεοῦντός ἐστι, βοηθεῖν ὅση δύναμις, καὶ ἐξευρίσκειν, ὅθεν ἂν οἴηται ὀνῆσαί τι. οὐκοῦν καθ' ἑκάτερόν μοι προσήκει συμβουλεῦσαί σοι τὸ φαινόμενον βέλτιστον· ἔοικε δὲ ταὐτὸν εἶναι συμφέρον αἰτίῳ (τε ὄντι καὶ ἀναιτίῳ). ἴθι παρὰ τοὺς νόμους, καὶ σαυτὸν ἐπίδος τῷ δικαστῇ μετὰ ἀθρόων τῶν λοχιτῶν, εἴτι κήδῃ κἀκείνων. καὶ εἰ μὲν ἐπράχθη τὸ δεινόν, δεήθητι, καθικέτευσον, ἀντιβόλησον, μὴ ἀνῇς προκαλινδούμενος, πρὶν ἂν διαπράξῃ τὸ παρὰ τὴν ψῆφον συστῆναι δημίῳ, καὶ δοῦναι τὴν δίκην. ἐν καλῷ σοι κείσεται παρὰ τοῖς κάτω δικαστηρίοις, τὸ προκαθηράμενον ἀπελθεῖν, ἑταῖρε Ἰωάννη· μὴ λόγον ἄλλως οἰηθῇς τὴν παραίνεσιν, μηδὲ προσπαίζειν με νομίσῃς σαυτῷ. οὕτω τῆς ἱερᾶς Φιλοσοφίας ὀναίμην, καὶ προσέτι τῶν παιδίων τῶν ἐμαυτοῦ, ὡς οὐκ ἂν μὴ φιλτάτῳ σοι τυγχάνοντι, συνεβούλευσά τι τοιοῦτον, ὅγε ἀπεύχομαι τοῖς ἐχθροῖς τοῖς ἐμοῖς. καὶ μήποτε αὐτῶν ἐπὶ νοῦν ἀναβαίη τό, κάλλιον εἶναι τὸν ἀδικοῦντα δοῦναι τιμωρίαν αὐθαίρετον· ἀλλὰ μηδὲ παύσαιντο εὐτυχοῦντες ἐν οἷς ἀδικοῦσιν, ἵνα πλείω τε χρόνον εἶεν κακοί, καὶ πάσας ἐκεῖ τὰς δίκας ὀφείλοιεν. πρὸς σὲ διὰ φιλίαν κινδυνεύω τι καὶ τῶν ἀπορρήτων εἰπεῖν, ὡς ἀνόμοιόν ἐστιν ἐν παχεῖ σώματι, καὶ ἐν εἰδώλῳ δοῦναι τὴν δίκην· ἰσχυρότερον μὲν γὰρ ἀνθρώπου θεός· τοῦ δὲ θείου παντὸς διακόσμου, σκιὰ τὸ ἄν-

θρώ-

θρώπινον (β)· ἀλλ' ὅπερ εἰσὶν ἐν ταῖς πολιτείαις οἱ δήμιοι, χεῖρες τῶν νόμων, τὴν αὐτὴν αἱ ποιναὶ χρείαν τῇ φύσει τοῦ κόσμου παρέχονται. δαίμονές εἰσι καθαρτήριοι, τέχνην ἔχοντες ἐπὶ ταῖς ψυχαῖς, ἣν οἱ κναφεῖς ἐπὶ τοῖς ἱματίοις τοῖς πιναροῖς. ἀλλ' εἴ τις ἱματίοις αἴσθησις ἦν, τί ἂν οἴει πάσχειν αὐτὰ λακτιζόμενα, καὶ νιτρούμενα, καὶ πάντα τρόπον κναπτόμενα; διὰ πόσων δ' ἂν ὀδυνῶν ἐκπεπλῦσθαι κηλῖδας ἀρχαίας καὶ προσετηκότα ὀμόργματα; ἐῶ γὰρ λέγειν ὅτι πολλοῖς ὁ ῥύπος οὕτως ἐνέφυ σφόδρα διὰ τοῦ βάθους, ὡς ἀναπάλλακτος εἶναι, καὶ φθάνει διαφθαρέντα, πρὶν εἰς τὴν φύσιν ἐπανελθεῖν, ὅτι τὸ πάθος αὐτοῖς γέγονε φύσις, ἢ διὰ χρόνου πλῆθος, ἢ διὰ μέγεθος. οὕτω δὲ ἐχούσῃ ψυχῇ καλῶς ἂν εἶχεν εἶναι φθαρτῇ· νῦν δὲ τὰ μὲν ἁμαρτήματα λόγον ἔχει πρὸς τὰς ἀνεκπλύτους κηλῖδας· ἡ ψυχὴ δὲ

οὐκ

(β) Διάκοσμος διαφέρει Κόσμου, ὡς καὶ ὁ Συνέσιος ταῦτα ἀπ' ἀλλήλων διέστειλεν. ὡς γοῦν ἁπλῶς εἰπεῖν, Κόσμος μέν ἐστι κατά τε τὸν Ἀριστοτέλη, καὶ τὸν Θεολόγον Γρηγόριον (εἰς τὸ Χριστὸς γεννᾶται) τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα. Διάκοσμος δὲ αὐτοῦ κατὰ τὸν Βαρῖνον ἡ τούτου διάθεσις εἴτ' οὖν διάταξις, καθ' ἣν ἐν μέσῳ μὲν ἡ γῆ, κέντρου λόγον ἔχουσα, περὶ δὲ αὐτὴν τὸ ὕδωρ, περὶ δὲ τὸ ὕδωρ ὁ ἀήρ, καὶ ἑξῆς ὁ αἰθήρ, καὶ μετ' αὐτὸν ὁ οὐρανὸς μετὰ τῶν ἐν αὐτῷ πέντε κύκλων. οὐ μὴν ἀλλὰ καὶ ἡ τῶν τεσσάρων στοιχείων ἐκ τῶν πρὸς ἄλληλα κοινωνιῶν καὶ ἐναντιοτήτων συμπληρουμένη ἀλληλουχία κατὰ τὸν Βλεμίδην (φυσικ. κεφ'. ιά. περὶ στοιχείων). Κόσμος δεύτερος ἐν τῷ πρώτῳ, δι' ὃν καὶ ὁ πρῶτος, οὗ φῶς ὅ,τε Χριστὸς καὶ οἱ ἀπόστολοι (Ἰω. 8, 12. Ματ'. 5, 14.) τὰ τῶν ἀνθρώπων κατά τε ἔθνη καὶ πόλεις συστήματα καὶ ἁπλῶς τὸ τῶν ἀνθρώπων ἐπὶ γῆς πλήρωμα· Διάκοσμος δὲ αὐτοῦ, ἀνθρώπινος μέν, ἡ τοῦ πολιούχου τῶν ἀνθρώπων πληρώματος κατὰ τοὺς κειμένους νόμους ἰδίᾳ τε καὶ κοινῇ οἰκονομία, συνεισαγομένην ἀναγκαίως ἔχουσα καὶ τὴν δίκην, δι' ἧς τὴν ἐπισυμβαίνουσαν ταῖς πόλεσιν ἀκοσμίαν ταῖς δικαστικαῖς ποιναῖς ἀνακαθαίρει· θεῖος δέ, ἁπλῶς μέν, ἡ τοῦ Θεοῦ πρὸς ἀνθρώπους διὰ τῆς ὁρωμένης κτίσεως πρόνοια, δι' ὧν οὐρανόθεν δίδωσιν ὑετῶν καὶ καιρῶν καρποφόρων διδόντος τροφὴν πάσῃ σαρκί, καὶ ἐμπιπλῶντος χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας τῶν ἀνθρώπων (Πράξ. 14, 17.) ἰδίως δέ, ἔνθεν μέν, οἱ ἀγαθοὶ ἄγγελοι, ὧν τοὺς μέν, ἔστησεν ὁ Θεὸς ὅρια ἐθνῶν κατὰ ἀριθμὸν (Δευτερ. 32, 8.) τοὺς δέ, ἐντέλλεται παρεμβάλλειν κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύεσθαι αὐτούς (Ψαλμ.

οὐκ ἔτι πρὸς θοιμάτιον ἐκεῖνο τὸ πιναρόν τε καὶ οὐκ ἀντέχον, ἀλλ' ἀθάνατος οὖσα, τίνει δίκην ἀθάνατον, ὅταν ἁμάρτῃ δυσοποιά τε καὶ ἀναπόνιπτα. ἀλλ' ἐν ᾧ γάρ τις ἥμαρτε βίῳ δίκας διδοὺς, οὐ πάνυ προσεκτικὸς ἔχει καὶ προσιζῆσαι τὸ πάθος, ἀλλ' ὡς ἂν εἴποι τις, ἀρτιβαφὴς οὖσα ψυχὴ, τάχιστα πλύεται. διὸ δοτέον ἐστὶν ὡς ἔνι διὰ τάχους τὴν δίκην, καὶ τιμωροῖς ἀνθρώποις, ἀλλὰ μὴ δαίμοσι. λέγεται δέ τις λόγος, ὅς με πείθει, τοὺς ἠδικημένους κυρίους εἶναι, μακροτέρας τε ποιεῖν, καὶ ἐπιτέμνειν τὰς τιμωρίας. διὸ παραπλήσιόν ἐστιν ἕνα κακόν τι μέγα ἐργάσασθαι, καὶ πολλοὺς κατὰ μικρὸν ἀδικῆσαι· ἐπέξεισι γὰρ ἕκαστος ἐν τῷ μέρει, καὶ δεῖ πᾶσιν ὑπηρετῆσαι τὴν δίκην. ὅταν δέ τις ἰάσιμος ᾖ, μέγα παρὰ τῷ δικαστῇ δύναται τὸ τοιαῦτα προπε-

33, 7. καὶ 90, 11.) οἱ δὲ, εἰς διακονίαν ἀποστέλλονται διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν (πρὸς Ἑβρ. 1, 14. Πραξ. 12, 7.) ἔνθεν δὲ, οἱ πονηροὶ δαίμονες (Ψαλμ. 17, 49. ά, Βασιλ: 16, 14.) καὶ κατὰ Συνέσιον (ἐπιστ. 57.) δι' ὧν καὶ αὐτῶν χρηστόντι τέλος ἀποτελεῖ, χρώμενος αὐτοῖς ἐν δέοντι, νῦν μὲν, ἀγελάρχαις ἀκρίδων, νῦν δὲ, ὧν ἔργα λοιμοί· οὐμὴν ἀλλὰ καὶ ἔθνος βαρβάρων ἐπεγειρομένων (Ἠσαΐας 13, 3. Ἱερεμ. 25, 9. Ἀβακ. 1, 6.) καὶ ἄρχοντες πονηροὶ (Ἠσαΐ: 3, 4.) καὶ ἁπλῶς εἰπεῖν, αἱ ἐπιτήδειοι εἰς τὸ ποιῆσαι κακὰ δημόσιαι φύσεις. Κόσμος ἄλλος ὑπερκόσμιος, περὶ οὗ ἔλεγον καὶ οἱ Μακκαβαῖοι πρὸς τὸν Ἀντίοχον, Κόσμος ἄλλος ἡμᾶς ἀναμένει πολὺ τοῦ ὁρωμένου ὑψηλότερός τε καὶ μονιμώτερος, καὶ ὁ Κύριος πρὸς τὸν Πιλάτον· ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· (Ἰωάν. 18, 36.) ἡ ἐπουράνιος Ἱερουσαλὴμ, μυριάσιν ἀγγέλων συγκροτουμένη πανηγύρει καὶ ἐκκλησίᾳ τῶν πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων. (πρὸς Ἑβρ. 12, 22. 23.) Διάκοσμος δὲ καὶ τούτου τοῦ Κόσμου, τῶν μὲν ἀγγελικῶν ἐστιῶν αἱ τρεῖς τριαδικαὶ τάξεις. πρώτη, Θρόνοι, Χερουβὶμ, Σεραφὶμ. μέση, Ἐξουσίαι, Κυριότητες, Δυνάμεις· τελευταία, Ἀρχαὶ, Ἀρχάγγελοι, Ἄγγελοι· καὶ τὸ, τὰς μὲν ὑφειμένας τούτων διακοσμήσεις πρὸς τῶν ὑπερβεβηκυιῶν εὐκόσμως ἐκδιδάσκεσθαι τὰς θεουργικὰς ἐπιστήμας, τὰς δὲ πασῶν ὑψηλοτέρας ὑπ' αὐτῆς Θεαρχίας ὡς θεμιτὸν τὰς μυήσεις ἐλλάμπεσθαι· (Διονύσ. Ἀρεοπ. οὐραν. ἱεραρχ. κεφ. ς'. καὶ ζ'.) τῆς δὲ τῶν πρωτοτόκων ἐκκλησίας Διάκοσμος, οἷος καὶ ὁ τῶν κατ' οὐρανὸν φωστήρων. (ά. πρὸς Κορ. 15, 1. 4.) Ἔστι δέ τις καὶ τοῦ κοσμοκράτορος τοῦ

πεπονθέναι τὴν ψυχὴν, ὡς ἤδη παρ' αὐτῶν τῶν ἠδικημένων ἔλεον εὑρέσθαι. πότε τοίνυν εἰκός ἐστι τῆς μακαρίτιδος Αἰμυλίου ψυχῆς συγγνωμονεστέρας τυχεῖν; ἐγὼ μὲν οὖν οἶμαι, μᾶλλον δὲ οἶδα σαφῶς, ὡς ἅπας ἱκέτης αἰδέσιμος, ὅστις ἑαυτὸν τετιμώρηται· καί τις ἤδη παρ' ἡμῖν εἰς ἀπολογίαν ἁμαρτήματος καταστὰς, αὐτῷ τῷ φθάσαι τὴν αἰτίαν ὁμολογῆσαι, καὶ φῆσαι κολάσεως ἄξιος εἶναι, τὴν κόλασιν ἐξωνήσατο. τὸ δὲ ἐνευωχηθῆναι τοῖς δι' ἅ τις ἠδίκησεν, εἴτε χρήμασιν, εἴτε σώμασι, βαρυθυμότερον τὸν ἠδικημένον καθίστησι. καὶ τίς ἂν γένοιο τοῦ σώματος ἐξελθὼν, εἴθ' ὑπὸ βιαίας δίκης, εἴτε ἕτερον τρόπον, κἄπειτα αὐτὴν τὴν ψυχὴν αὐτῇ τῇ ψυχῇ θεασάμενος, οὐκ οὔσης ἀρνεῖσθαί σοι γλώττης, ἀλλ' ἐγκεκολαμμένον ἔχων τοῦ πί-

---

σκότους τοῦ αἰῶνος τούτου Κόσμου. (Ἰω. 14, 30. 16, 11.) ὁ μισῶν τὸν Χριστὸν καὶ τοὺς ἀποστόλους. (§. 15, 18.) ἀλλὰ τοῦτον οὐδὲ λόγου ἀξιωτέον ἐν τῇ προκειμένῃ κοσμολογίᾳ, ὡς ἀκοσμίας ἁπάσης ἀνάπλεων, φημὶ δὴ τοὺς κατὰ τὸν Δαβὶδ βαρυκαρδίους καὶ ἀγαπῶντας ματαιότητα (ψαλμ. δ'.) καὶ κατὰ σάρκα ζῶντας, ὧν ὁ Θεὸς ἡ κοιλία κατὰ τὸν ἀπόστολον (πρὸς Ῥωμ. 8, 13. καὶ 16. 18. πρὸς Φιλ. 3, 19.) Οὕτως οὖν ἔχοντος τοῦ Κόσμου πρὸς τὸν Διάκοσμον φυσικῶς τε καὶ ἀνθρωπίνως καὶ θείως, ὁ Συνέσιος Ἕλλην, ὡς ἔοικεν, ἔτι ὢν, καὶ τὰς ἐν ᾅδου ψυχὰς, (ταύτας γὰρ ἔοικε λέγειν φύσιν τοῦ ἀνθρωπίνου κόσμου) διὰ τῶν πονηρῶν δαιμόνων τιμωρεῖσθαι ἐδόξαζεν· οἳ καὶ αὐτοὶ μέρος τοῦ ἐν τῷδε τῷ βίῳ θείου Διακόσμου ἐδείχθησαν. Ὅθεν καὶ ὡς ἔχει φησὶ, σκιὰ πρὸς σῶμα· τὸ μὲν γάρ ἐστιν ὑφεστὼς, ἡ δὲ, ἀνυπόστατος, οὕτως ἔχει καὶ τὰ ἐπὶ γῆς ἀνθρώπινα κολαστήρια, πρὸς τὰ ἐν ᾅδου θεῖα· μᾶλλον δὲ ὅσον ὑπερέχει τῇ ἰσχύι τοῦ ἀνθρώπου Θεὸς, ὑπερέχει δὲ ἀσυγκρίτως, τοσοῦτον ὑπερέχουσι τῇ κολάσει καὶ αἱ θεῖαι ἐν ᾅδου ποιναὶ, τοῦτ' ἔστι τιμωρητικαὶ δυνάμεις, τῶν ἐπὶ γῆς ἀνθρωπίνων. εἴγε τῶν μὲν, εἰσὶν ὑπουργοὶ πρὸς κόλασιν ἐπιχθόνιοι δήμιοι, τοῦ δὲ, ἐριννύες (ταύτας γὰρ λέγει ποινὰς) τουτέστι καταχθόνιοι δαίμονες, κολάζοντες οἱ μὲν, θνητὰ σώματα καὶ προσκαίρως, ὧν καὶ ἡ σύστασις καὶ ἡ κόλασις σκιᾶς δίκην παρέρχεται, οἱ δὲ, ψυχὰς ἀθανάτους καὶ αἰωνίως. Ἀπόρρητον δὲ τοῖς Ἕλλησι λέγει οὐχὶ τὸ, ὅτι ἀνθρώπου Θεὸς ἰσχυρότερον· ῥητὸν γὰρ τοῦτο τοῖς πᾶσιν· ἀλλὰ τὴν ἐν ᾅδου ψυχῶν, ἣν αὐτὸς διαγράφει κόλασιν, τῶν πολλῶν δικαστὰς μὲν εἰδότων, Ῥαδαμάνθεις, καὶ Μίνως, καὶ Πλούτωνας, οὐ μὴν τὸ θεῖον· κολαστήρια δὲ,

πίσημον τὸ τ̃ πράξεως; οὐκ ἰλιγγιάσεις; οὐκ ἀπορήσεις; ἔλξῃ σιγῶν, καὶ ἐκκείσῃ τῇ δίκῃ, καὶ σὺ κἀγὼ, καὶ πᾶς ὃν ἐ προκαθαίρει μετάνοια δημοσιευθεῖσα. ἀλλ' ἀνδριστέον ὦ γύναιε· γύναιος γὰρ εἶης· καὶ τὰς μὲν ἡδονῶν ὑφοπτέον, ἃς ἀδικοῦντες ἐποριστάμεθα· οὐδ δὲ ἀνθρώπους οὐκ αἰχυντέον, ἀλλὰ τῷ δικαστῇ μὲν ὁμολογητέον τὴν πρᾶξιν, ἐξιλαστέον δὲ τῇ παραυτίκα τίσει τὰς κάτω ποινάς· μεγίστου γὰρ ὄντος ἀγαθοῦ τοῦ μὴ ἁμαρτεῖν, δεύτερον ἀγαθὸν τὸ δικαιωθῆναι. ὅστις δὲ χρόνον πολὺν ἀδικῶν, ἀκόλαστος μένει, τοῦτον δεῖ νομίζειν τὸν ἀτυχέστατον, ὃ μήτε Θεὸς, μήτ' ἄνθρωπος κήδεται. σκόπει γὰρ καὶ ταύτῃ. τὸ ἀκόλαστον εἶναι, πρὸς κακοῦ καὶ λέγεται καὶ ἀκούεται. οὐκοῦν τὸ κεκολάσθαι πρὸς ἀγαθοῦ· τῷ γὰρ ἐναντίῳ τὸ ἐναντίον ὁ λό-

---

Στύγας καὶ ποταμοὺς Πυριφλεγέθοντας, καὶ Κωκυτοὺς, οὐ μὴν δαίμονας· οὐ δὲ τὰς ψυχὰς ὑπ' αὐτῶν πιναρῶν ἱματίων δίκην λακτιζομένας καὶ νιτρουμένας καὶ κναπτομένας, ἔστι δὲ ἃς καὶ ἐκπλυνομένας· καίτοι τὰ παρ' Ἕλλησι ῥητὰ τῶν ἀπορρήτων δοκεῖ φοβερώτερα, ὡς μὴ κατὰ τοὺς καθαρτηρίους δαίμονας ἔστιν ἃς τῶν ψυχῶν κἀκεῖνα ἀνακαθαίροντα, ὡς καὶ εἰς τὴν πρώτην φύσιν ἐπαναγαγεῖν. ἀλλὰ καὶ τὸ φλεγέθεσθαι ἐν πυρίνῳ ποταμῷ, πολλῷ δειμύτερον τοῦ λακτίζεσθαι καὶ νιτροῦσθαι καὶ κνάπτεσθαι.

Ὅτι δὲ ὁ Συνέσιος Ἕλλην ἔτι ὢν, ἔγραψε τὴν ἐπιστολὴν ταύτην πρὸς Ἰωάννην, τὸν καὶ αὐτὸν, οἶμαι, Ἕλληνα, δῆλον ἐντεῦθεν.

Πρῶτον μὲν γὰρ εἰσάγει τὰς ψυχὰς γυμνὰς σωμάτων, ἀνθ' ὧν μετὰ σώματος ἥμαρτον, ἐν ᾅδῃ κολαζομένας, καὶ οὐ δὲ ἐν τῷ αἰωνίῳ πυρὶ τῷ ἡτοιμασμένῳ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἀλλ' ὑπὸ τῶν δαιμόνων (οἳ καὶ αὐτοὶ ἐνταῦθα κολαστήριοι ὄντες ὡς εἴρηται (Λουκ. 13, 16. ά. πρὸς Κορ. 5, 5. ά. πρὸς Τιμ. 1, 20. Ἰώβ. 2, 7. ψαλμ. 77, 59. Πραξ. 19, 15. 16.) τῶν κολαζομένων εἰσὶν ἐν ᾅδῃ, οὐ τῶν κολαζόντων (Ματ. 8, 29. καὶ 25, 41. Λουκ. 8, 31.) δαίμονες γάρ εἰσι, φησὶ, καθαρτήριοι, τέχνην ἔχοντες ἐπὶ ταῖς ψυχαῖς, δῆλον δὲ ὅτι ταῖς ἐν ᾅδῃ, ἣν οἱ κναφεῖς ἐπὶ τοῖς πιναροῖς ἱματίοις. καὶ πάλιν, τίς ἂν γένοιο τοῦ σώματος ἐξελθὼν, κἄπειτα αὐτὴν τὴν ψυχὴν, (οὗ ἐφόνευσας Αἰμυλίου) αὐτῇ τῇ (σῇ) ψυχῇ θεασάμενος, οὐκ οὔσης ἀρνεῖσθαί σοι γλώσσης, ἀλλ' ἐγκεκολαμμένον ἔχων τοὐπίσημον τὸ τῆς πράξεως; ἕλξῃ σιγῶν καὶ ἐκκείσῃ τῇ δίκῃ. Ὅτι μὲν γὰρ ψυχὴ τοῦ μὴ πάντα τρόπον ἐντεῦθεν προκαθαρθέντος ἐγκεκολαμμένον ἔχει τοὐπίση-

λόγος νέμει. εἰ μὲν οὖν ἐγὼ παρὼν ἐτύγχανον, οὐδὲν ἂν ἔδει σε πράγματα ἔχειν ἀπερυθριῶντα, καὶ σαυτὸν καταγγέλλοντα, ἀλλ' ἐμαυτὸν ἂν ἔταξα συνηγορήσοντά σοι· καὶ προσήγαγον ἄν σε καθάπερ ἰατροῖς τοῖς νόμοις. ἀνόητος μὲν γὰρ ἄν τις εἶπεν, ὡς Συνέσιος Γωάννου κατηγορεῖ· σὺ δ' ἂν ἠπίστασο τἀληθές, ὅτι φειδοῖ καὶ κηδεμονίᾳ τῇ σῇ τὴν κατηγορίαν εἱλόμην, ἵν' οὕτως ἐν κακοῖς ἄμεινον πράξειας. ἀλλὰ ταῦτα μέν, εἰ τἀδίκημα γέγονεν, ὃ μὴ γένοιτο, σοῦ τε ἕνεκα καὶ τῆς πόλεως· ἅπασα γὰρ ἂν εἴη μιαρὰ τῷ φόνῳ, τολμηθέντος αἵματος ὁμογνίου· εἰ δὲ σὺ καθαρὸς καὶ χεῖρα καὶ γνώμην· εἴη δὲ οὕτως· ἐπάρατοι μὲν οἱ ταῦτα συνθέντες ἐπὶ σοί, κἀκείνους δὲ περιμένει τὰ κατὰ γῆς κολαστήρια. ὡς οὐχ ἕτερος οὕτω τρόπος θεομισής, ὡς ὁ λο-

μον τὸ τῆς πράξεως, πολλαχοῦ ἥ τε θεία Γραφὴ καὶ οἱ θεῖοι παριστῶσι Πατέρες, τὸ δὲ τὴν ψυχὴν αὐτὴν καθ' ἑαυτήν, γυμνὴν λέγω σώματος, ἕλκεσθαι σιγῶσαν καὶ ἐκκεῖσθαι τῇ δικαστικῇ ποινῇ, καὶ ταῦτα πρὸ τῆς παγκοσμίου δίκης, ἧς οὐδεὶς λόγος ἐνταῦθα τῷ Συνεσίῳ, τοῦ ἑλληνικοῦ τυγχάνει δόγματος, τῶν μὴ ὁμολογούντων νεκρῶν ἀνάστασιν· οὕτινος ὁ Συνέσιος, καὶ πιστεύσας, μέχρι τινὸς περιείχετο (ἐπιστ. 105.)

Δεύτερον, ὅτι ψυχὴ κατ' αὐτὸν ἡ μὴ δευσοποιὰ μὴ δ' ἀναπόνιπτα, καὶ ὡς ἂν εἴποιεν οἱ πολλοί, μὴ θανάσιμα, ἀλλ' ἰάσιμα ἁμαρτοῦσα, τῶν πιναρῶν δίκην ἱματίων λακτιζομένη καὶ νιτρουμένη καὶ πάντα τρόπον τοῖς δαίμοσι κναπτομένη, ἐκπλύνεται τὰς κηλῖδας· τοὺς γὰρ δαίμονας ἐν ᾅδου, οὐ μόνον τιμωροὺς ἀλλὰ καὶ καθαρτηρίους εἶναί φησι τῶν, οἷς ὁ ῥύπος οὐχ οὕτω σφόδρα ἐνέφυ διὰ βάθους, ὥστε καὶ ἀναπάλλακτος εἶναι· ἄλλο τοῦτο παρ' Ἕλλησι Λατινικὸν πουργατόριον, εἰ καὶ διάφορα ἑκατέρων τὰ ἐν ᾅδου μυθολογούμενα καθαρτήρια, τῶν μέν, λέγω, φλόγες πυρὸς προσκαίρου, τῶν δέ, δαίμονες.

Τρίτον, τῶν ψυχῶν καὶ αὐτὰς τὰς ἐντεῦθεν προκεκαθαρμένας, εἰς ᾅδου φησὶν ἀπέρχεσθαι. Ἐν καλῷ γάρ σοι, φησί, κείσεται παρὰ τοῖς κάτω δικαστηρίοις τὸ προκαθηρμένον ἀπελθεῖν. τῶν δὲ κατά τε τὸν πτωχὸν Λάζαρον καὶ τὸν Λῃστὴν ἐντεῦθεν προκαθαρθέντων αἱ ψυχαὶ οὐκ εἰς ᾅδου κατὰ τὴν τοῦ πλουσίου ἐκείνου χωροῦσιν, ἀλλ' εἰς ὃν καὶ ὁ Παῦλος ἡρπάγη παράδεισον, ἐν κόλποις τοῦ Ἀβραάμ (Λουκ. 16, 22. 23· καὶ 23, 443)· οἵτινές ποτέ εἰσιν ὅ,τε παράδεισος καὶ οἱ κόλποι τοῦ Ἀβραάμ· μᾶλλον δὲ ὅπου ἐστὶ σωματικῶς ὁ τὸν ᾅδην σκυλεύσας· (Ἰω. 12, 26· καὶ 27, 24).

λογοποιὸς ὁ τιτρώσκων διὰ ἀφανοῦς· ἀγνοεῖσθαι γὰρ ὤν, μέγιστα κακὰ διαπράττεται· καὶ λέγεταί τις αὐτοῖς μοῖρα κιναίδοις (γ) προσκεῖσθαι, καὶ τὴν ἐν τῇ τέχνῃ τοῦτ' εἶναι τὸ κράτιστον· ἐπεὶ καὶ πρὸς ἄλλα πολλὰ σοφισταὶ γίνονται καὶ εὐμήχανοι. ὥστε ἄντις ἀλῷ φήμας ἐπὶ τοῖς οὐκ οὖσι ποιῶν, τοῦτο ἐκεῖνο, μηδὲ ἐπανέρῃ, μηδὲ διστάσῃς, ἀλλὰ κἂν στερεώτατος εἶναι δοκῇ, θαρρῶν ἀποφαίνου τὸν ἄνδρα ἡμίγυνον, αὐτόχρημα θιασώτην τῆς Κότυος. σοὶ δὲ ἔξεστιν ἀπὸ τῶν λόγων τούτων ἀποφῆναι συκοφαντοῦσαν τὴν δόξαν, εἰ σαυτόν τε καὶ τοὺς σοὺς ἐπιδοίης τῇ δίκῃ· εἰπὲ γὰρ εἰσελθών, ὡς ἐμοῦ κατήγοροί τινές εἰσιν ἀφανεῖς, οἱ προκατεγνωκότες αὐτῶν, ἀξιοῦσι λανθάνειν· κατηγοροῦσι δὲ ὅμως πολλὰ καὶ χαλεπά, καὶ κινδυνεύουσι πείθειν ἐνίους· οὕτως εἰσὶν ἐπίβουλοι, καὶ δεινοὶ παραδοῦναι λόγον τῇ φήμῃ! κἆτα διελθὼν τὰς αἰτίας, ἐφ' αἷς ἀκούεις κακῶς, γάμον καὶ φόνον ἀνόσιον, ἐπειδὴ Σπάταλον, οἶμαι, τινά φασι παρὰ σοῦ κάθετον διεργάσασθαι τὸν φόνον, τοῦτον ἅμα προσάγων, δεήθητι τοῦ δικαστηρίου λιπαρῶν καὶ προσπίπτων, μὴ ἀνεξέταστος ἀπελθεῖν, μηδὲ ἐρήμην ἁλῶναι. οὐ γὰρ δὴ κράτιστε τῶν ἡγεμόνων ἐρεῖς, δι' ὅ,τι χρὴ καὶ

φιλὼ

Τέταρτον, τοῦ Γωάννου τινὲς οὐ φανερῶς ἐπὶ δικαστηρίου, ἀλλ' ἀφανῶς, φησί, κατηγόρουν τὸν φόνον, ὡς προκατεγνωκότες ἑαυτῶν, ὃν δηλ: ἐκείνου κατηγόρουν φόνον, ὅ ἐστιν αὐτοὶ δεδρακότες τὸν φόνον, ἠξίουν λανθάνειν, ἐκ τοῦ ἀφανοῦς τιτρώσκοντες· τῶν δὲ δυσσοποιῶν ἁμαρτημάτων τὰ ἀμάρτυρα εἴτ' οὖν ἀνεξέλεγκτα, ἡ μὲν Ἐκκλησία ἀδημοσιεύτῳ μετανοίᾳ μᾶλλον ἐπὶ ῥητοῖς ἔτεσιν οἶδε διωρισμένως καθαίρειν, ὁ δὲ Συνέσιος οὐκ ἄλλως, ὅτι μὴ δημοσίῳ, φησί, μετανοίᾳ, καὶ ἑπομένως δικαστικῷ τοῦ δημίου ξίφει ἀξιοῖ τὰ τοιαῦτα καθαίρεσθαι· καὶ τοὺς μὲν Ἐκκλησίας τὸ ῥύεσθαι ἀγομένους εἰς θάνατον, καὶ ἐκπριοῦν κτεινομένους μὴ φείδεσθαι (Παρμ. 24, 22)· οὐδέ, τῷ ἐρυθριῶντι ἑαυτὸν καταγγέλλειν τοῖς δικασταῖς φονέα, ἵνα θανατωθῇ, ἑαυτὸν ἂν ἔταξεν, εἰ παρῆν, συνηγορήσοντα καὶ προσήγαγεν ἂν αὐτὸν τοῖς νόμοις, λαβόμενος τῆς ἐκείνου χειρός.

Ἐκ δὴ τούτων ἁπάντων φαίνεται ἐν Ἑλληνισμῷ γράψας τὴν ἐπιστολήν· ὁπότε καὶ πιστεύσας, ὡς εἴρηται, τὰ τῆς Ἑλληνικῆς φιλοσοφίας δόγματα μέχρι πόῤῥω τῶν χρόνων ἀσάλευτα διετήρησεν. (ἐπιστ. 105.) (γ) Ἴσ. κιναίδων.

φίω ἐκ τῆ ἐμφανὲς ὐδεὶς ἀπωήνεγκατο, παρὰ τῦτό σε δεῖ ποιήσασθαι, τὸ μὴ διὰ πάσης ἐλθεῖν βασάνυ, μετιόντα καὶ θηρώμενον τὴν ἀλήθειαν· ὁ διαβεβοημένος Σπάταλος, ὗτός ἐστιν· ἔχεις τὸν ἄνδρα· χρῶ τῷ σώματι· τῦτον ἔτι γέγονε, τήμερον ἀναφανῆναί γε δεῖ κατήγορον αὐτῦ τε κἀμῦ. κἂν μὲν ὕτω σῦ λέγοντος μὴ πείθηταί σοι, καὶ τῦ θ' ἅλις ἔχει πρός γε ἡμᾶς τῦ ἀνθρώπυς· εἰ δὲ φιλάνθρωπός τε εἴη καὶ χαρίσαιτό σοι τὴν περὶ τύτων ἀκρόασιν, ἅπαν ἐνταῦθά ἐστι τὸ λαμπρῶς ἀπολογήσασθαι, καὶ τῦ λογοποιῦς καταισχῦναί τε καὶ κατασιγάσαι. τὸν γὰρ δὴ Σπάταλον τῦτον, ὐ δεήσει τρυφᾷν, ἀλλὰ καὶ δεθήσεται καὶ κρεμήσεται, καὶ τὼ πλευρὼ διορυγήσεται· δεινοὶ γὰρ ἐξελέγξαι προσποίησιν οἱ βασανισαί· καίτινες αὐτοῖς ὄνυχές εἰσιν ἐξευρημένοι, συλλογισμῶν ἐπιστημονικῶν ἔχοντες δύναμιν· ὥσθ' ὅ,τι ἂν ἐκείνων κρατύντων ἀναφανῇ, τῦτ' ἔσιν αὐτὸ τἀληθές. ἂν ὕτως ἀπολυθῇς μηδὲν ἀδικῶν, ἄπει τῦ δικασηρίυ νενικηκὼς καὶ γαῦρος, εὐαγής τε ὢν καὶ δοκῶν· εἰ δὲ ἐγὼ μὲν εἰσηγησάμην ἄττα σοι λυσιτελεῖν οἶμαι, σὺ δὲ ὐ ποιήσεις, ὐδὲ πρὸς τὸν δικασὴν πρόσει, τὸ μὲν ἀληθὲς εἶδέ τε, καὶ οἶδεν ἡ δίκη· πάντως ὁ διὰ πάντων ἥκων ὀφθαλμὸς τῦ Θεῦ, καὶ Λιβύην ἑώρα, καὶ φάραγγα ἐκείνην, καὶ θρῦν ἐκεῖνον, εἴτε τὸν ὄντως, εἴτε τὸν ἐπιποίητον, καὶ τὸν Αἰμυλίυ δρόμον, καὶ ὅ,τι πέπονθε, καὶ ὑφ' ὗ, καὶ ὅ,τι εἶπε, καὶ ὅ,τι ἤκυσεν, εἰδή τι καὶ εἶπε καὶ ἤκυσεν. εἰδὲ ἀναίτιος σὺ καὶ καθαρὸς τῷ θεῷ, μήτε πράξας, μήτε βυλεύσας ἔργον ἐξάγισον, ἀλλὰ ἡμῖν γε τοῖς ἀνθρώποις ὔπω καθαρὸς, ἕως ἀναπολόγητος ἦς, ὐδὲ ἐμβαλῦμέν σοι δεξιὰν, ὐδὲ ἀπὸ τῆς αὐτῆς σιτησόμεθα· τῦ Αἰμυλίυ γὰρ ἀλάσορας δέδιμεν, εἰ θιγγάνων ἡμῶν, ἐναπομόρξῃ τὴν προστροπήν· εἰσὶ καὶ ἡμῖν οἰκεῖαι κηλῖδες· ὐδεῖ καὶ προσερανίζεσθαι.

Ὀλυμπίῳ, 45.

Λυπῦσι τὴν Ἐκκλησίαν ἀλλότριοι· διάβηθι κατ' αὐτῶν· οἱ πάτταλοι γὰρ παττάλοις ἐκκρύονται.

*) Ἀναςασίῳ. 46.

Οὐδὲ Ἄμασις μὲν καλὸς, φυλαξάμενος ἐπιδακρῦσαι τὰς Πολυκράτους τῶς συμφορᾶς, ἃς ἐσομένας προείδετο· ἀλλ' οἷς εὐτυχοῦντι κήρυκα πέμψας τὴν φιλίαν ἀπείπατο, δῆλον ἐποίησεν

*) Ἄμασις Αἰγύπτου βασιλεὺς φίλος ὢν Πολυκράτει τῷ Σαμίων τυράννῳ, ἐπεὶ μάθοι ὡς εἴη τὰ πάντα εὐτυχῶς προχωρῶν, οἷς ἂν ἐπιςρατεύσῃ, τὸ σφαλερὸν τῆς ἐς ἄκρον εὐτυχίας ὑφορώμενος, ἐπέςειλέ οἱ τὸ πλεῖςου παρ' αὐτῷ ἄξιον κειμήλιον, ἐφ' ᾧ ἂν ἀπολλομένῳ μάλιςα τὴν ψυχὴν ἀλγήσειεν, ἀποβαλεῖν οὕτως, ὡς μηκέτι ἥξαι ἐν ἀνθρώποις, ἵνα ᾖ καίτι προσπταίων ἐν τῷ εὐτυχεῖν· ὁ δὲ Πολυκράτης συνεὶς ὡς ξυμφέροντά οἱ ὁ Ἄμασις εἴη ὑποτιθέμενος, ἣν ἐφόρει χρυσένδετον καὶ ἀριςότευκτον σφραγῖδα λίθου Σμαράγδου εἰς πέλαγος ἐν πεντηκοντόρῳ ἀναχθεὶς πόῤῥω τῆς νήσου, καθῆκεν εἰς τὸ πέλαγος ἐπ' ὄψεσι πάντων τῶν συμπλεόντων, καὶ ἐπανῆλθεν οἴκαδε περιαλγής· πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρᾳ ἁλιέως τινὸς, ὃν ἡλίευσε μέγαντε καὶ καλὸν ἰχθῦν δῶρον αὐτῷ προσκομίσαντος, ἐκεῖνον μὲν, δώροις ἠμείψατο, ὡς καὶ ἐπὶ δεῖπνον καλέσαι, τὸν δὲ ἰχθῦν διὰ τῶν θεραπόντων ἀνατεμὼν, εὗρεν ἐν αὐτῷ, ἣν ἀπέβαλε σφραγῖδα. συνιδὼν δὲ ὡς θεῖον εἴη τὸ πρᾶγμα, ἀναγγέλλει τὰ πάντα δι' ἐπιςολῆς τῷ Ἀμάσιδι. Ὁ δὲ, γνοὺς ἐξ ὧν ἀνέγνω, ὡς ἀδυνάτως ἔχει ἄνθρωπος ῥύσασθαι ἄνθρωπον, ἐξ ὧν θεόθεν μέλλει πάσχειν, καὶ ὡς οὐκ εὖ μέλλει τελευτήσειν Πολυκράτης ἄκρως εὐτυχῶν, κήρυκά οἱ πέμψας ἐς Σάμον, τὴν φιλίαν διέλυσεν, ἵνα μὴ, φησὶ, μεγάλων τινῶν δεινῶν Πολυκράτη καταλαβόντων, ὥσπερ οὖν καὶ κατέλαβεν, αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς ἐπὶ φίλῳ. Ὀροίτης γάρ τις ἀνὴρ Πέρσης, Σαρδίων Ὕπαρχος ὑπὸ Κύρου καταςαθεὶς, οὐδέν τι παθὼν, ἢ ἀκούσας πρὸς Πολυκράτους, οὔτε ἰδὼν πρότερον, ἐπεθύμησε λαβὼν αὐτὸν ἀπολέσαι, κατὰ μέν τινας, ἀνθ' ὧν ὠνειδίσθη ὑπὸ Μιθριδάτου, ὡς δι' ἀνανδρίαν μὴ προσκτησάμενος τῷ βασιλεῖ τὴν πρὸς τῷ ἰδίῳ νομῷ εὐχείρωτον νῆσον Σάμον, ἧς τῶν τις ἐπιχωρίων πεντεκαίδεκα ὁπλίταις ἐπαναςὰς, νῦν τυραννεύει (ἐφ' οἷς δέον τίσασθαι, εἴπερ ἄρα, τὸν ὀνειδίσαντα, ὁ δὲ, τῷ Πολυκράτει ἐνεκότησε)· κατὰ δὲ ἄλλους, ἐφ' οἷς ὁ Πολυκράτης, ὃν εἰς Σάμον ἔπεμψεν ὁ Ὀροίτης κατά τινα χρείαν κήρυκα, οὐδενὸς λόγου ἠξίωσε. καὶ δῆτα ὑποσχόμενος αὐτῷ δι' ἀγγέλου, παραγενομένῳ δώσειν χρήματα δι' ὧν ἄρξει πάσης τῆς Ἑλλάδος (ἦν γὰρ ἄκρως ἐρασιχρήματος) ἀφικόμενον εἰς Μαγνησίαν ἀπέκτεινέ τε καὶ ἀνεςαύρωσε. παρ' Ἡροδότῳ.

σεν ὅτι κἂν ἐδάκρυσεν, εἰ προὔλαβεν ἡ συμφορὰ τὴν ἀπόρρησιν. σὺ δὲ ἡμῖν ἕως μὲν οὐ προσεκόπτομεν τῇ τύχῃ, συνέμεινας· ἔπειτα συναπῆρας αὐτῇ· λέγει γὰρ ἡ φήμη διὰ τῶν ἀπὸ Θρᾴκης ἡκόντων, οὐδὲν οὔτε φρονεῖν σε περὶ ἡμῶν οὔτε λέγειν ἐπιεικές. τοῦτο μὲν οὖν οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν, ἀλλ' ἔχθραν ἀνειπεῖν· ἤρκει δὲ, εἴπερ ἄρα, τὸ μὴ συνανιᾶσθαι, τὸ δὲ καὶ προσανιάσαι, πόρρω δεινῶν, καὶ οὔτε Ἀμάσιδος, οὔτε ὅλως ἀνθρώπινον. ἀλλὰ σοὶ γὰρ ἴσως ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων ἔσκεπται κάλλιον. ποίει τὸ ποιητέον· μόνον εἰ χαίρων ποιεῖς· ἥμισυ γὰρ ἂν εἴη κακὸν, εἰ καὶ οἷς πάσχω κακῶς, ἡδὺς εἴην τοῖς φίλοις.

Θεοτίμῳ. 47.

Ἀρίθμει καὶ Πέτρον ὀργὴν Πενταπόλεως, ἄνθρωπον οὐ τέχνῃ μετιόντα τὸ λύειν τοὺς νόμους, καίτοι καὶ τὸν οὕτω μετιόντα μισῶ· καὶ ὁ Θεὸς σύνοιδε καὶ ὁ Διοσκουρίδης. ἀλλ' οὗτός ἐστι νεανικώτερος ἐκείνου τἀνδρός· ὅτου γὰρ ἐπιθυμήσει χρήματος, πρῶτον ἁρπάσας, καὶ ὑφ' ἑαυτὸν ποιησάμενος, ἔπειτα πράττει τὴν δίκην· κἂν ἁλῷ τῇ ψήφῳ, κρατεῖ τῇ χειρί. οὕτως ἐποίησε. πρῶτον ἥρπασε κεράμιον· ἐγράψατό τις αὐτόν· ὁ μὲν, ἤλεγξεν, ὁ δὲ, οὐκ ἀπέδωκεν, ἀλλὰ καὶ προσηπείλησε τοῖς δημίοις πληγάς. πρὸς ὃν νεμεσήσας ἐγὼ, καὶ νομίσας οὐκ εἶναι βιώσιμον, ὅπου τινὲς ἰδιῶται χεῖρας ἔχουσι μείζους τῶν νόμων, παρεσκεύασα λαμπροτάτους ἄνδρας εἴξαντας ἀποφάσει, βοηθῆσαι τῇ καταστάσει τῆς πολιτείας· εἰ γὰρ προὐχώρησεν αὐτῷ, πολλοὺς ἂν ἐντὸς ὀλίγου Πέτρους ἐθεασάμεθα. ἐν ᾧ χάριν ἔχω τῷ θαυμαστῷ Μαρτυρίῳ, καὶ συνηγανακτηκότι μάλιστα, καὶ προθυμότατα πάντων ὑπηρετήσαντι. ἀνθ' ὧν ἀγαθὸν αὐτῷ τι γένοιτο παρὰ τοῦ Θεοῦ, παρὰ δὲ Ἀνθεμίου καλῶς ἂν ἔχοι τὸ μὴ κακόν τι λαβεῖν, εἰ Πέτρος αὐτὸν, ὥσπερ ἠπείλησεν, ἀπαιτήσειεν. ἀλλ' ἵνα μὴ γένηται τοῦτο, δέομαι, πάνυ δέομαι σοῦ τε αὐτοῦ, καὶ διὰ σοῦ τοῦ θαυμασίου ἀνδρὸς καὶ Φιλοσόφου Τρωΐλου,

κωλύσατε τὸν ἀλιτήριον ἄνθρωπον τὴν διὰ τῶν νόμων ἐπὶ τοὺς νόμους ἐλθεῖν (α). ἐμοὶ καὶ Πενταπόλεως μέλει, καὶ τοῦ μὴ γεγονέναι φίλῳ συμφορᾶς αἴτιον. τὸ δὲ πῶς ἂν συκοφάντης ἀνακοπείη, οὐκ ἐμὸν εὑρεῖν, ἀλλὰ σόν, ὦ πρὸς τὰ καλὰ πάντων σὺ ποριμώτατε.

Πυλαιμένει. 48.

Καλῶς ποιεῖς εἰς τὴν ἔχουσαν τὸν βασιλέα πόλιν ἐπανελθών· εἰ γὰρ κἂν τοῖς Ἰσαύρων ὄρεσιν ἡ ἀγαθή σοι τύχη συνῆν, ἀλλ᾽ ἔστιν εὐτυχία παρὰ τὸν τόπον ἀτυχεστέρα. ἐμοὶ δέ τι καὶ ἰδίᾳ διαφέρει τὸ παρ᾽ αὐτά σε πράττειν εὖ τὰ βασίλεια· οὗ διατρίβων, καὶ λήψῃ καὶ πέμψεις ἐπιστολάς, τὸ τιμαλφέστατον ἐμοὶ τῶν ἀπὸ Θρᾴκης ἀγωγίμων.

Θεοτίμῳ. 49.

Πλείω καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν, ἢ Σιμωνίδης Ἱέρωνος· καὶ ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, οὔτε

σὲ

(α) Νόμοι, δι᾽ ὧν τις ἐπὶ τοὺς νόμους ἔρχεται, ἡ Ἐγγραφή ἐστι. πρότερον γὰρ ἐλθὼν ὁ ἐνάγων ἐπὶ τὸ δικαστήριον, λέγει τὸν ὑπεύθυνον, καὶ ἐγγράφεται, ἤτοι ἀσφαλίζεται μέχρι ψήφου παραμένειν, ὥσθ᾽ ὑπὸ μίαν παραφυλακὴν εἶναι αὐτόν τε καὶ τὸν ἐναγόμενον, γινώσκοντα ὅτι οὐκ ἀτιμώρητος αὐτῷ ἐστιν ἡ συκοφαντία. (Μιχαὴλ Ἀταλειάτου, σύνοψις· τιτλ. ξς.) Ὁ δὲ λίβελλος οὕτω συντάσσεται. Ἐγὼ ὁ δεῖνα ὁμολογῶ παρὰ τῷδε τῷ ἄρχοντι δεικνύειν τόνδε πλημμελήσαντα τόδε πρὸς ἐμὲ (ἢ πρὸς τόνδε) ἐν τῷδε τῷ οἴκῳ ἐπὶ τῆσδε τῆς ὑπατείας, καὶ μηνὶ τῷδε. τὴν ἡμέραν δὲ καὶ τὴν ὥραν οὐκ ἀνάγκη λέγειν §. ξζ. Ἐπειδὴ τοίνυν ἡ ἐγγραφὴ νομικὴ καὶ αὐτὴ οὖσα, προηγεῖται τῆς νομικῆς ψήφου, διὰ τοῦτο ὁ ἐλθὼν πρότερον εἰς τὸ δικαστήριον καὶ ἐγγραψάμενος τὸν ἐναγόμενον, εἶθ᾽ οὕτω συνδιαδικαζόμενος, οὗτος διὰ τῶν νόμων ἐπὶ τοὺς νόμους ἐλθεῖν λέγεται· ὡς τοῦ ἀνεγγράφως ἐνάγοντος, ἐπὶ τοὺς νόμους μέν, οὐ διὰ τῶν νόμων δὲ ἐρχομένου.

σὲ πλέον ἐμακάριστα τοῦ Ἀνθεμίου τῆς μεγάλου φιλίας, ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν μέγαν Ἀνθέμιον. ἀνδρὶ γὰρ ἔχοντι δύναμιν τί κτῆμα κάλλιον, ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος, οἷον ἐγὼ Θεότιμον οἶδα τὴν φιλτάτην καὶ θεοφιλῆ κεφαλήν. ἀλλὰ τοῦτο μὲν σὺ Σιμωνίδου πλέον ποιεῖς· Σιμωνίδης γὰρ αὐτὸς ὡμολόγει πρὸς ἀργύριον διαλέγεσθαι· ἐκεῖνο δὲ κοινὸν, ὅτι καὶ Σιμωνίδης Γέρωνα τῇ διαδοχῇ τοῦ χρόνου συνέστησε, καὶ διὰ τῆς Θεοτίμου ποιήσεως, ἔστ' ἂν Ἕλληνες ὦσι, πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων διατριβαῖς. ἀλλὰ τὰ μὲν Ῥωμαίων ἐκεῖνος αὔξοι· σὺ δὲ ἐκείνου τὸ ὄνομα· ποιητικῇ γὰρ ἔδωκεν ὁ Θεὸς ταμιεύειν τὴν εὔκλειαν,* ἧς τὸ καλὸν εἰς σὲ περιήκει.

Τῷ Ἀδελφῷ. 50.

Ἀπέκτονε, φησί τις, Ἰωάννης Αἰμύλιον· ἕτερος δέ τις, τοὺς πολιτευομένους ἐχθροὺς ἐπ' αὐτῷ ταῦτα συμπλάσαι. τὸ μὲν οὖν ἀληθὲς οἶδεν ἡ δίκη, καὶ ὁ χρόνος εὑρήσει· ἐγὼ δὲ καίπερ ἀδήλου τοῦ πράγματος ὄντος, οἶμαι δεῖν ἅπαντας ἑξῆς ἀποτροπιάζεσθαι, τὸν μὲν, ὅτι τοιοῦτός ἐστιν, ὥστ' εἰ καὶ μὴ πεποίηκεν, ἀλλ' ἐποίησεν ἂν, καὶ τοῖς ἑαυτοῦ τρόποις πρέπουσαν αἰτίαν ἐδέξατο· τοὺς δὲ, καὶ μὴ πλάσαντας (α), ὅτι συνέπλασαν ἂν, καὶ πρὸς αὐτῶν τὸ ἐγχείρημα (β)· ὡς ἔστιν ἦθος ἀνοίκειον ὑποψίᾳ τινί (γ), κἂν

Ἄλλως. Τὸ μὲν τὴν διὰ τῶν νόμων ἐλθεῖν, ἐγγράψαι τὸν Μαρτύριόν ἐστι· τὸ δὲ ἐπὶ τοὺς νόμους, κατὰ τῶν νόμων, ἐκ εἰς τοὺς νόμους δηλοῖ· τὸ γάρ τοι ἐγκαλεῖν ἐπὶ τὴν δίκην τὸν πλημμελήσαντα, ἄλλως ἔννομον ὂν, Πέτρου τοῦτο ποιοῦντος, τῶν ἀνόμων, καὶ αὐτὸ τοῦτο ὁδὸς κατὰ τῶν νόμων ἐπὶ διαφθορᾷ τούτων χωροῦσα τυγχάνει, εἴγε ἐνδιδῶσιν αὐτῷ δικαιωθέντι ἐν τοῖς παροῦσι, καὶ ἕτερα πλημμελεῖν. (α) Μετάληψις τοῦ, εἰ καὶ μὴ ἔπλασαν, κατὰ τὸ εἰ καὶ μὴ πεποίηκεν. (β) Ἀντὶ τοῦ καθῆκον, οἰκεῖον αὐτοῖς τὸ ἐγχείρημα.

(γ) Σκοτεινὸν τὸ χωρίον τόδε, δι' ὃ καὶ ἄλλως παρ' ἄλλων γράφεται καὶ ἀναγινώσκεται, φῶς τοῦ λόγου καταχεῖν πειρωμένων: ἐμοὶ δέγε οὐδὲν ἧττον ἀσαφὲς καὶ οὕτω δοκεῖ, ἀλλὰ ταῦτα παρεὶς τὰς διαφόρους ἀναγνώσεις καὶ γραφὰς, φημὶ, ὡς εἰ προστεθείη ἐν τῷ κειμένῳ, μετὰ τὸ ὡς, ὁ Εἰ συναπτικὸς

κἂν εἰ συνωμόται πολλοὶ μαρτυροῖεν, οὐδὲν αὐτοῖς ἔσται πλέον εἰς πίστιν. οἷον εἴ τις ἑταιρήσεως διώκοι τὸν Αἴαντα, γέλως ἂν εἴη πλατύς· ὁ δὲ Ἀλέξανδρος, εἰ μὴ θῆλυς (δ), ἀλλὰ θηλυδρίας (ε) γε ἦν, καὶ τὴν αἰτίαν ἐχώρει (ζ)· τὸν Σίσυφον (η) δὲ καὶ τὸν Ὀδυσσέα μισῶ· καὶ γὰρ εἴτι καὶ λέγοιεν ἀληθὲς, ἀλλὰ τοιοῦτοι γε ἦσαν, οἷοι τὰ πλείω ψεύδεσθαι. ἐγὼ δὲ οἷς ἀτυχῶ, λίαν εὐτυχῶ, πολιτῶν τοιούτων ἐχθρῶν καὶ φίλων στερόμενος (θ). διατετειχίσθω μοι τὰ πρὸς ἅπαντας· οὐδὲν ἐμοὶ πρὸς ἐκείνων οὐδένα· ξένος ἐν ξένοις βιώσω· ὁ τρόπος ἡμᾶς πρὸ τοῦ τόπου διῴκισεν. ὀδύρομαι δὲ τὸ κλεινὸν ἔδαφος τῆς Κυρήνης, ὃ πάλαι μὲν εἶχον Καρνεάδαι τε καὶ Ἀρίστιπποι (ι)· νυνὶ δὲ Ἰωάνναι καὶ Ἰούλιοι (κ), μεθ' ὧν οὐκ εὐκαίρως γενόμενος, εὐκαίρως ἀποδημῶ· σὺ δὲ ἀλλὰ μηδὲ

δὲ

ν ᾖ, ὡς εἴ ἐστιν ἦθος ἀνοίκειον ὑποψίᾳ τινὶ κτ. κατὰ τὸ, εἴτις ἑταιρήσεως διώκοι τὸν Αἴαντα, τὸ τούτου ἐξηγηματικὸν, θεραπεύεται καὶ σαφὴς ὁ λόγος καθίσταται· τὸ δ' ἐν ἀρχῇ τοῦ κώλου ὡς, ἀντὶ τοῦ γὰρ ἐκληπτέον. (δ) Κατὰ φύσιν θῆλυς, ἢ κίναιδος, πασχητιῶν. (ε) Θηλυπρεπὴς, τεθηλυμένος. λέγει δὲ οὐ τὸν Μακεδόνα, ἀλλὰ τὸν Πάριν Ἀλέξανδρον τὸν ἁρπάσαντα τὴν Ἑλένην. (ζ) Καὶ τῆς κατηγορίας (τοῦ διώκεσθαι δηλ: ἑταιρήσεως) ἐπιδεκτικὸς ἦν. (η) Δελμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ' Ὁμήρου δεδιδαγμένοι, εἰπόντος ,,Σίσυφος ὃς κέρδιστος ἐπιχθονίων γένετ' ἀνδρῶν.

(θ) Παιδιὰ συντάξεως τὸ παρὸν, καὶ σχῆμα τὸ λεγόμενον χιαστὸν, ὅπερ τοιοῦτόν ἐστιν· ἐγὼ δὲ (ἀπομακρυνθεὶς τῆς φίλης πατρίδος) οἷς ἀτυχῶ στερόμενος πολιτῶν φίλων, τοῖς αὐτοῖς εὐτυχῶ στερόμενος πολιτῶν ἐχθρῶν.

	ἐγὼ δὲ	
οἷς ἀτυχῶ	Χ	λίαν εὐτυχῶ
πολιτῶν		τοιούτων
ἐχθρῶν		καὶ φίλων
	στερόμενος	

(ι) Ἀντὶ τοῦ ἄνδρες σοφοὶ κἀγαθοὶ, οἷος ὁ Καρνεάδης τε καὶ Ἀρίστιππος· ἦσαν δὲ οὗτοι ἄμφω, φιλόσοφοι Κυρηναῖοι καταρξάμενοι ὁ μὲν, τῆς Κυρηναϊκῆς (ἀπό γε τῆς πατρίδος) κληθείσης αἱρέσεως, ὁ δὲ, τῆς νέας ἀκαδημίας, ὁ Καρνεάδης· ἤκμασαν δὲ ὁ μὲν Ἀρίστιππος περὶ τὸ 396, ὁ δὲ Καρνεάδης περὶ τὸ 129. ἔτος πρὸ τῆς ἐνσάρκου οἰκονομίας. (κ) Ὁ Ἰω-

δὲ χαίρειν ἔτι μοι περὶ τῶν ἐκεῖθεν πραγμάτων τινός· μηδὲ συνιστάναι τοὺς ἔχοντας δίκας· οὐ γὰρ ἂν ἐπιδοίην ἐμαυτὸν ἔτι τούτων τινί· ἀτυχέστατος μέντ᾽ ἂν (λ) εἴην, εἰ τῶν μὲν ἀγαθῶν τῆς φιλτάτης πατρίδος στεροίμην, μετέχοιμι δὲ ἀντιλογιῶν καὶ πραγμάτων, ἀφελκόντων με τῆς ἐν Φιλοσοφίᾳ ῥαστώνης (μ)· καὶ πενίαν ἐξ ἀπραξίας ὡς κέρδος ἑλόμενος, τἀλλότρια κακὰ προοίκα περιεργάσομαι.

Τῷ αὐτῷ. 51.

Ἄραντες ἐκ Φυκοῦντος (α) ἀρχομένης ἑώας, δείλης ὀψίας τῷ κατ᾽ Ἐρυθρὰν κόλπῳ προσέχομεν. ἐνδιατρίψαντες δὲ, ὅσον ὕδωρ πιεῖν καὶ ὑδρεύσασθαι (πηγαὶ δὲ ἐπ᾽ αὐτὴν ἐκδιδόασι τὴν ἠϊόνα καθαροῦ καὶ ἡδίστου νάματος) ἐπισπευδόντων τῶν Καρπαθίων, αὖθις ἀνήχθημεν. πνεύματι δὲ χρησάμενοι μετρίῳ μὲν, ἀλλ᾽ ἐκ πρύμνης ἀεὶ, καὶ μέγα οὐδὲν ἐφ᾽ ἑκάστης ἡμέρας ἀνύειν ἐλπίσαντες, ἐλάθομεν ἐξηνυκότες ὅσον ἔδει· καὶ πεμπταῖοι τὸν φρυκτὸν ἰδόντες, ὃν αἴρουσιν ἀπὸ πύργου τοῖς καταγομένοις σύνθημα, θᾶττον ἢ λόγος ἀποβιβασθέντες ἦμεν ἐν τῇ νήσῳ τῇ Φάρῳ. λυπρὰ δὲ ἡ νῆσος, ἐν ᾗ μήτε δάσος ἐστὶν αὐτοφυὲς, μήτε καρπὸς, ἀλλ᾽ ἅλες τινές.

Τῷ αὐτῷ. 52.

Ἧκειν τὶς Ἀθήνηθεν λέγεται κρηπιδοπώλης (α) ἄνθρωπος, πα-

ροῦ μοι

λιος οὗτος ὅμοιός τις εἶναι τῷ Ἰωάννῃ δοκεῖ. (λ) Ὁ μέντοι ἀντὶ τοῦ γάρ.

(μ) Ἀνέσεως, ἀναπαύσεως, ἡσυχίας.

(α) Φυκοῦς κατὰ μὲν τὸν Γεωγράφον, ἄκρα Λιβύης ταπεινὴ μὲν, πλεῖστον δὲ ἐκκειμένη πρὸς Ἄρκτον, κατὰ τὸ Ταίναρον τῆς Λακωνικῆς κειμένη· ἧς οὐ πολὺ ἀπέχει τὸ τῶν Κυρηναίων ἐπίνειον, ἡ Ἀπολλωνία· κατὰ δὲ τὸν Συνέσιον (ἐπιστ. 100.) Φυκοῦς ἐστιν αὐτὸ τὸ τῶν Κυρηναίων ἐπίνειον.

(α) Κρηπιδοπώλης ὁ τὰς Κρηπῖδας πωλῶν· Κρηπὶς δὲ εἶδος ὑποδήματος.

ρᾳ μοι δοκεῖς καὶ πέρυσιν ἐωνῆσθαι τὰς ἀνατρήτους (β) ἐμβάδας· νυνὶ δέ φασιν αὐτὸν ἐπὶ μεῖζον ἐμπορεύεσθαι, κομίζοντα στολὰς Ἀττικουργεῖς· σοί τε θερίστρια (γ) πρέποντα καὶ ἡμῖν ἀναβολὰς εἰς τὴν ὥραν τοῦ ἔτους. πρὶν ἂν οὖν ἁπάσας φθάσειεν ἀποδόμενος, ἢ τὰς τῆς καλλίονος ἐργασίας (οἱ γὰρ προεντυγχάνοντες, οὐχ ὑπὲρ τῆς κατόπιν, ἀλλ᾽ ὑπὲρ ἑαυτῆς δήπουθεν ἀξιοῦσι βουλεύεσθαι) εἰσκάλει τοι τὸν ξένον, καὶ πρίω μοι τρεῖς ἢ τέτταρας τῆς ἀναβολῶν· πάντως ὅ,τι ἂν ὑπὲρ τῆς τιμῆς καταθῇ, παρ᾽ ἐμοί σοι πολλαπλάσιον κείσεται.

Τῷ αὐτῷ. 53.

Μῆκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ᾽ ὁ θαυμαστὸς Ἀκάκιος, οἶδε μὲν ὅσα κἀγὼ, ἐρεῖ δὲ καὶ ὧν οἶδε πλείονα, τῶτε σὸς ἐραστὴς εἶναι, καὶ τὴν γλῶτταν ἔχειν νικῶσαν τὰ πράγματα· ὥστε τὴν ἐπιστολὴν τῷ νόμῳ τοῦ προσειπεῖν σε πλέον, ἢ τῇ χρείᾳ χαρίζομαι. τὸ δ᾽ ἀπαγγεῖλαί σοι περὶ τοῦ ἱεροῦ Διοσκόρου, τοῦτο μὲν ὡς ὑγιαίνει, τοῦτο δ᾽ ὡς ἀναγινώσκει, καὶ πρόσκειται τοῖς βιβλίοις, τοῦτο τῆς ἐπιστολῆς αὐτοῦ ὑπαρχέτω τιμή· ἡμεῖς δὲ αὐτῷ συμμορίαν ἀδελφῶν παρεχόμεθα, προσθέντες Ἡσυχίῳ ζεῦγος ἀδελφῶν ἀῤῥένων, οὓς εὐτυχεῖς ποιήσειεν ὁ Θεὸς, αὐτοῖς τε, καὶ ἀδελφοῖς, καὶ γονέων οἴκῳ, καὶ λοιπῷ γένει, καὶ ταῖς πατρίοις πόλεσιν.

Τῷ αὐτῷ. 54.

Συχνοὶ παρ᾽ ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τινας ὀνείρους, οὓς αὐτοὶ καλοῦσιν ἀποκαλύψεις, ἐοίκασιν ὕπαρ

μοι

(β) Τὰς ἀνατρήτους ἐμβάδας, ὑποδήματα διατετρυπημένα ἢ διακεκομμένα λέγει Βαρῖνος, ὁποῖον δὲ αὐτῶν τὸ σχῆμα οὐκ εἴρηκεν. (γ) Θερινὰ ἱμάτια.

μοι δώσειν κακὸν, ἂν μὴ τάχιστα τὰς ἱερὰς Ἀθήνας καταλαβεῖν μοι γένηται. ὁσάκις ἂν οὖν ἐντυχεῖν σοι γένοιτο ναυκλήρῳ Πειραϊκῷ, γράφε πρὸς ἡμᾶς· ἐκεῖσε γὰρ ἐντευξόμεθα ταῖς ἐπιστολαῖς. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τοῦ ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι κακῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις προσκυνεῖν, οἳ μηδὲν ἡμῶν (α) τῶν θνητῶν διαφέρουσιν· οὔκουν εἰς συνεσίν γε τῶν Ἀριστοτέλους καὶ Πλάτωνος· ἀναστρέφονται δὲ ἐν ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι, δι' ὅ,τι τεθέανται τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον, καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει Ποικίλην, νῦν οὐκέτ' οὖσαν ποικίλην· ὁ γὰρ Ἀνθύπατος τὰς σανίδας (β) ὑφείλετο, ἔπειτα ἐκώλυσεν αὐτοὺς ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

Τῷ αὐτῷ. 55.

Ἔλυσας τὸ πρυμνήσιον· κἀγὼ τὰς ἡμιόνους ἔστησα παρὰ τὴν ζεφυρῖτιν ἠϊόνα· τῆς ἀπήνης δὲ ἀποβαίνοντος, ἤδη σοὶ τὸ ἱστίον ἦρτο, καὶ κατὰ πρύμναν ὁ ἄνεμος· ἀλλὰ τοῖς τε ὀφθαλμοῖς ὑμᾶς ἐφ' ὅσον ἐξικνοῦντο προὔπεμψα, καὶ πολλὰ τοῖς ἀνέμοις ὑπὲρ τῆς ἐρωμένης ψυχῆς διείλεγμαι, συνιστὰς αὐτοῖς τὸ σκάφος, ὅτι μοι τὸ τιμαλφέστατον φορτίον πεπίστευτο· οἱ δὲ, οὐ γάρ εἰσιν ἀνέραστοι τῶν καλῶν, ὑπέσχοντό μοι τὴν σὴν κομιδήν τε καὶ ἀνακομιδήν. οὗτοι μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες, οὐκ ἄν ποτε ψεύσαιντο· σὺ δὲ ὥσπερ αὐτῶν ἐδεήθης ἐντεῦθεν ἐκεῖσε πορθμεύων, δεήθητι κἀκεῖθεν ἐνθάδε. πολὺ γὰρ ἂν ἡδίους τότε σοὶ παραγένοιντο.

Τῷ αὐτῷ. 56.

Ἀδικεῖς με, ὦ θεία καὶ ἱερὰ κεφαλή, ψυχὴν ἁπλῆν, καὶ ὑπὸ συνηθείας ἁλώσιμον, ἐνσείσας μὲν εἰς τὸ διαφερόντως ἀγαπᾷν σέ τε καὶ τὴν

(α) Ἐν ἄλλ. μηδὲν μέν. (β) Ἐν ἄλλ. ἀφείλετο· ὅμοια τὰ ἐν τῇ 136. γεγραμμένα.

τὴν ἀδελφιδῆν, ἀφελόμενος δὲ σαυτοῦ τε καὶ τῆς ἀδελφιδῆς. ἐκείνην μὲν οὖν ἔχων, διπλῆν ἐθεώμην εἰκόνα. καὶ παρῆν μοι διὰ τῆς νεάνιδος ὁ θεῖος αὐτῆς· νῦν δὲ ἅπαντα τὰ φίλα φροῦδα· καὶ μέμφομαι τῇ φύσει, διὰ τὴν ἀμετρίαν τῆς εἰς τὸ ἀδικεῖσθαι ῥοπῆς· καὶ εἴ τι Φιλοσοφίας ὄφελος, εἰς ἀῤῥενωπότερον ἀνακτήσομαι, καὶ τοῦ λοιποῦ σφενδαμνίνῳ μοι καὶ ἀκλινεστέρῳ συνέσεσθε.

*) Κατὰ Ἀνδρονίκου. 57.

Αἱ κακοποιοὶ δυνάμεις ἐν κόσμῳ, συντελοῦσι μὲν τῇ χρείᾳ τῆς προνοίας· κολάζουσι γὰρ τοὺς ἀξίους κολάζεσθαι· εἰσὶ δὲ ὅμως θεο-

*) Τὸν Ἀνδρόνικον ὁ Συνέσιος ὡς κακοποιὸν στηλιτεῦσαι ταῖς ὑφ' ἑαυτὸν ἐκκλησίαις προθέμενος, προσφυέστατα ἐκ τῶν κακοποιῶν δυνάμεων προοιμιάζεται, δεικνὺς διὰ πολλῶν, ὡς χρῆται μὲν αὐταῖς τὸ θεῖον δημίων δίκην εἰς κόλασιν τῶν κολαστέων, (ὑπέξελέ μοι ἐνταῦθα τούς τε κατὰ τὸν Ἰώβ, καὶ τοὺς Μάρτυρας, τοὺς οὐχ ὡς ἀξίους κολάζεσθαι, ἀλλὰ λόγοις ἄλλοις κολαζομένους διὰ τῶν κολαστικῶν φύσεων Ἰώβ, 40, 3.) στυγεῖ δ' ὅμως αὐτάς ὡς φύσει θεομάχους. εἴγε τοιοῦτο πᾶν τὸ τῆς τοῦ Θεοῦ δημιουργίας ἀφανιστικόν· οὐ μὴν ἀλλὰ τελευτῶν, κἀκείναις αὐταῖς ἐπεξέρχεται, ὡς οὓς συγχωροῦντος Θεοῦ παρέλαβον, οὐχὶ πεφεισμένως, ἀλλ' ἀπλείστως μετελθούσαις. Ταῦτα κἀπὶ τοῦ κακοποιοῦ Ἀνδρονίκου συμπεράνας, ἑξῆς τὰ καθ' ἑαυτὸν τοὺς ἀγνοοῦντας διδάσκει, ὡς εἴη παιδόθεν διὰ πάσης ἡλικίας ἄχρις οὗ εἰς ἄνδρας τε παρήγγειλε καὶ ἱεράσατο, ἐν ἀπειροκάκῳ ἀπραγμοσύνῃ, καὶ ἀκύμονι διαθέσει ψυχῆς διαβιοὺς, πολλάκις τε πραγμάτων ἁπτόμενος ἐν τῷ τοῖς ἀδικουμένοις τῶν πολιτῶν ἐπιδικάζεσθαι, οὐκ ἀφείλκετο τῆς κατὰ φιλοσοφίαν σχολῆς, ὡς οὐκ ὠθισμῷ καὶ μόχθῳ, ἀλλὰ κατὰ θεῖόν τινα κλῆρον πειθομένους οἱ παρὰ πόδας ἔχων, οὓς σπανίως ἠνόχλει δικαστάς. μεθ' ὃ δὲ, φησὶ, βιασθεὶς ἱεράσατο, ἠλέγχθη μηκέτι δυνάμενος βοηθεῖν τῇ πατρίδι, δι' Ἀνδρόνικον ἀπειθοῦντά οἱ οὐ φθόνῳ, φησὶ, δαίμονος· (οὐ γὰρ σύνοιδεν ἑαυτῷ λαμπράν τινα ἀρετὴν) ἀλλὰ δι' ἣν, φησὶν, ἱερασάμενος ἐμαντεύετο ἀτυχίαν, ὑφορώμενος μὴ δίκας μᾶλλον ὄφλων, παρ' ἀξίαν ἥψατο μυστηρίων Θεοῦ. ὅθεν ἀδυνατῶν ἐξαιρεῖσθαι τοὺς πολίτας, ὧν ὁ Ἀνδρόνικος ἐμηχανήσατο καινοτρόπων κολαστηρίων, μᾶλλον μὲν ἐθρήνει τὰς κοινὰς συμφοράς, ἢ τὴν τοῦ ἰδίου παιδὸς τελευτήν· οὕτω δέ τοι τὴν ψυχὴν παντοίοις πάθεσι κατεμερίζετο, ὡς καὶ παρὰ τὸ εἰωθὸς αὐτῷ ἀποτυγχάνειν ἐν ἱκεσίαις

θεομισεῖς τε καὶ ἀποτρόπαιοι. „Ἐγερῶ γὰρ, φησὶν (α), ἔθνος „ἐφ' ὑμᾶς, ἀφ' οὗ πείσεσθε τόσα καὶ τόσα. καὶ τελευτῶν, αὐ- „τοῖς ἐκείνοις, οἷς ἐπιςρατεύει, φησὶν ἐπεξελεύσεσθαι, ὅτι πα- „ραλαβόντες ὑμᾶς οὐκ ἠλέησαν, οὐδὲ ἀνθρωπίνως ἐλεήσαντο „(β)· αὐτὰς μὲν γὰρ οὐκ ἐξεμελέτησα τὰς ἱερὰς συλλαβὰς, διϊχυ-

Θεοῦ, ὡς ἐν καιρῷ προσευχῆς ἁπανταχοῦ τῶν πραγμάτων τὸν νοῦν, ᾧ τῷ Θεῷ συγγινόμεθα περισπώμενος. Ἀλλ' ἐφ' οἷς μὲν αὐτὸς ὑπ' Ἀνδρονίκου ἠτιμάζετο, ὁ ἐξ ἐπιφανῶν προγόνων, τοῦ οὐκ ἔχοντος οὐχ ὅπως πάππου, ἀλλ' οὐ δὲ πατρὸς εἰπεῖν ὄνομα, καὶ χαίρειν αὐτῷ ὡμολόγει, ὡς διὰ Θεὸν ἀτιμαζόμενος, ἔγνω δ' οὖν τοῦ μὲν θυσιαςηρίου ἔχεσθαι, οὗ τὴν λειτουργίαν δραπετεῦσαι αὐτὸν οἱ δαίμονες δι' Ἀνδρονίκου ἐσπούδαζον, ὡς λυπούμενοι ἐφ' οἷς [illegible]ςὰς ἐκείνων, τῇ κρείττονι μερίδι προσεχώρησεν, ἀπογνῶναι δὲ τοῦ λοιποῦ τῆς τῶν ἀδικουμένων προςασίας, ὡς μὴ ἐνὸν τὸν αὐτὸν δυσὶ κυρίοις δουλεύειν, δημοσίᾳ τε, φημὶ, ἱερᾶσθαι, καὶ πόλεως ἀπροσπαθῶς προςατεῖν, ἅτινα τὸ πάλαι συνημμένα, ἔντε τοῖς Αἰγυπτίοις (περὶ γὰρ Αἴγυπτον οὐκ ἔξεςι βασιλέα χωρὶς ἱερατικῆς ἄρχειν, ἀλλ' ἐὰν ἄρα καὶ τύχῃ πρότερον ἐξ ἄλλου γένους βιασάμενος, ὕςερον ἀναγκαῖον εἰς τοῦτο εἰστελεσθῆναι αὐτὸν τὸ γένος. ἔτι δὲ καὶ τῶν Ἑλλήνων πολλαχοῦ ταῖς μεγίςαις ἀρχαῖς τὰ μέγιςα τῶν περὶ τὰ τοιαῦτα θύματα εὕροι τις ἂν προςαττόμενα θύειν. καὶ δὴ καὶ παρ' ὑμῖν οὐχ ἥκιςα δῆλον, ὃ λέγω· τῷ γὰρ λαχόντι βασιλεῖ, φασὶ, τῇδε τὰ σεμνότατα καὶ μάλιςα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι. Πλάτων, Πολιτικὸς, ἢ περὶ βασιλείας) κἀν τοῖς Ἑβραίοις, ὡς ἐπὶ τοῦ Μελχισεδὲκ (Γενέσ. 14, 18.) καὶ τοῦ Ἀβραὰμ (Γενεσ. 13, 18. καὶ 22, 13.) καὶ τοῦ Ἰώβ. (42, 8.) καὶ τοῦ Μωϋσέως (ψαλμ. 98, 6.) καὶ τῶν Κριτῶν (ά. Βασιλ. 1, 3. καὶ 4, 18. καὶ 7, 5, 15. καὶ 8, 1, 2.) ὕςερον, τῶν ἱερέων δωρολήπτως κρινόντων, (ά. Βασιλ. 8, 3, 5.) διῴκισεν αὐτὰ ὁ Θεὸς, τὰ μὲν πολιτικὰ βασιλέα καταςήσας δικάζειν (ά. Βασιλ. 8, 5, κτ.) ἱερέα δὲ ποιεῖν ὁλοκαυτώσιν καὶ εἰρηνικάς· (ά. Βασιλ. 13, 9.) διὰ δὴ ταῦτα δημοσίᾳ μὲν ἱερατεύειν ἐν προςασίᾳ τῶν δεομένων παρῃτεῖτο, ἠξίου δὲ προχειρισθῆναι ἀνθ' ἑαυτοῦ ἕτερον τὸν ἑκάτερα δυνάμενον. κεκραγότων δ' ἐπὶ τῷ ἀήθει τῆς παραιτήσεως τῶν ἀκροατῶν, τί θορυβεῖσθέ φησι; καὶ γὰρ προτιμητέον τῆς ἀρχαίας συνηθείας τὸ χρήσιμον, εἰ καὶ μὴ ἀρχέγονον. Ἀλλὰ περὶ μὲν τούτου εἰ τέως οὐ ξυνδοκεῖ, εἰσαῦθις σκεψώμεθα, νῦν δὲ κτ.

(α) Ἐγερῶ γάρ φησιν· (Ἱερ. 5, 15. καὶ 19, 15. Ἡσαΐ, 13, 3. Ἀμμ. 6, 15. Ἀββακ. 1, 6. (β) Ἱερ. 25, 12. Γενέσ. 15, 4. Ἰεζ. 21, 20.

διϊσχυρίζομαι δὲ, ὡς ἔστιν οὐ τῶν βιβλίων ὁ Θεὸς ταῦτα λέγων πεποίηται· καὶ οὐκ εἶπε μὲν οὕτως, οὐκ ἐποίησε δέ· ἀλλὰ Βαβυλώνιος βασιλεὺς (γ), Ἱερουσαλὴμ μὲν τὴν πόλιν κατέσκαψε, τὸ δὲ ἔθνος ἐξηνδραποδίσατο· ὁ δὲ αὐτὸς οὗτος οὐκ εἰς μακρὰν ἐμεμήνει (δ), καὶ γέγονε δίκη Θεοῦ ἐξερημωθῆναι τὴν πόλιν, ὡς εἰ καὶ γέγονεν ἐν τῷ τόπῳ πόλις, ἀπιστηθῆναι. ἆρα τολμητέον ἔρεσθαι Θεόν; διὰ τί σὺ μὲν ἀνίστης ἄνδρας ἐπὶ τοὺς ἡμαρτηκότας σοι τιμωρούς· ὅταν δὲ ὑπηρετήσωσι τῷ θείῳ βουλήματι, καὶ γένωνται δήμιοι τούτοις, ἐφ' οὓς καταπέμπονται, δέον ἐκτίσαι χάριν τῆς ὑπουργίας, τότε δὴ μάλιστα καὶ κολάζονται; ἀλλ' ἡ κεκίνηκεν ἡμᾶς εἰς ἀπόκρισιν, ὧν αὐτοῦ πυνθανόμεθα· ἐπειδὴ γὰρ βεβλαμμένου τῆδε τοῦ θείου νόμου, παρῆλθεν εἰς ἀνθρώπους κακά· τὰ δὲ κακοποιὰ, διαφερόντως κακά· περιουσίᾳ γὰρ φύσεως καὶ δραστήρια γίνονται· ἐπεὶ δ' οὖν ἅπαξ γέγονε τὰ κακὰ, τῆς θείας σοφίας καὶ ἀρετῆς καὶ δυνάμεως ἔργον ἐστὶν, οὐ μόνον τὸ ἀγαθοποιεῖν· φύσις γὰρ, ὡς εἰπεῖν, αὕτη Θεοῦ, ὡς τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ τοῦ φωτὸς τὸ φωτίζειν· ἀλλὰ κἀκεῖνο μάλιστα, τὸ διὰ κακῶν ὑπονοηθέντων πρός τινων, ἀγαθόν τι καὶ χρηστὸν τέλος ἀποτελεῖν, καὶ ὠφελίμως τοῖς δοκοῦσι φαύλοις χρῆσθαι· καὶ γὰρ σοφίας ἐστὶν εὐμηχάνου, καὶ τοῖς κακοῖς ἐν δέοντι χρήσασθαι. ὅταν οὖν δέηται κολαστῶν, χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων δαίμοσι, νῦν δὲ ὧν ἔργα λοιμοί· καὶ νῦν μὲν ἔθνει βαρβάρων, νῦν δὲ ἄρχοντι πονηρῷ, καὶ καθάπαξ εἰπεῖν, ταῖς ἐπιτηδείοις εἰς τὸ ποιῆσαι κακὰ δημοσίαις (ε) φύσεσι· μισεῖ δ' ὅμως αὐτὰς, ὅτι πρὸς τοῦτο γεγόνασιν ἐπιτήδειοι· οὐ γὰρ ἐποίησεν ὁ Θεὸς ὄργανα συμφορῶν, ἀλλ' ὑφ' ἑαυτῶν εἰς τοῦτο ταχθεῖσιν ἑτοίμως ἐχρήσατο· καὶ διό,τι πρὸς τοῦτο σὺ γέγονας χρήσιμος, αὐτὸ τοῦτό ἐστιν, ὃ καὶ παντάπασιν ἀποκόπτει Θεοῦ. οὕτω καὶ σκεῦος τὸ μὲν, ἄτιμον, τὸ δὲ, τίμιόν ἐστί τε καὶ νομίζεται· κρίνεται γὰρ ἑκάτερον

τερον

(γ) Ἱερ. 5, 2. (δ) Δαν. 4, 29, κτ. (ε) Ἴσως δημόσια.

τερον πρὸς ἥντινα χρείαν παρέχεται. τράπεζα μὲν ἱερὸν χρῆμα, δι' ἧς ὁ Θεὸς τιμᾶται φίλιός τε ξένιος, καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία, Θεοῦ πεποίηκεν ἑςιάτορα· μάςιξ δὲ ἀποτρόπαιον· θυμῷ γὰρ ὑπηρετεῖται, καί τις ἤδη χρησάμενος αὐτῇ, μετενόησε. τῶν μέντοι κολαζομένων ὁ Θεὸς κήδεται· οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρὸν, ἐπισκοπῆς ἀξιωθῆναι Θεοῦ, καὶ καθήρασθαι διὰ δίκης τὰ ἁμαρτήματα· αἱ δὲ τιμωροὶ φύσεις, καὶ πάντα πασιν ἀπόςροφοι τοῦ Θεοῦ· τὸ γὰρ ἀφανιςικὸν, τῷ δημιουργῷ δήπου πολέμιον. οὐ γὰρ οὐδὲ διάκειται τὴν γνώμην ὁ τιμωρὸς, ἢ δαίμων, ἢ ἄνθρωπος, ὡς λειτουργίαν τινὰ ταύτην εἰσφέρων Θεῷ, ἀλλὰ τῇ μοχθηρίᾳ τῆς φύσεως χαριζόμενος, ταῖς κοιναῖς συμφοραῖς ἐπεξέρχεται. οὐ τοίνυν ἐπειδὴ δυςυχεῖν ἔδει τὴν πόλιν, σὺ δὲ τοῦτ' εἰργάσω, παρὰ τοῦτό σε δεῖ διαδρᾶναι τὴν δίκην· ταύτην γὰρ ἂν τὴν ἀπολογίαν καὶ Ἰούδας ἀπελογήσατο· ἔδει γὰρ ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας (ζ) ςαυρωθῆναι Χριςόν. ἀλλ' ἔδει μὲν, φησὶν, οὐαὶ δὲ δι' οὗ γίνεται· καὶ καλὸν ἦν τῷ ἀνθρώπῳ εἰ μὴ ἐγένετο. οὐκοῦν τὸ μὲν ὁρώμενον, ἀγχόνη τὴν προδοσίαν αὐτοῦ διεδέξατο, τὸ δὲ οὐχ ὁρώμενον, οὐδ' ἂν ἐπινοήσειέ τις· οὐ γάρ ἐςιν ἐπίνοιαν ἀνθρώπου χωρῆσαι, τίνα γένοιτ' ἂν τῷ Χριςοῦ προδότῃ τὰ κολαςήρια· τὸ γὰρ, ᾗ δεῖ γενέσθαι (η), ὑπηρετῆσαι τῷ χρεὼν, οὐκ ἀςείας ἀπολογίας ἐςί· δεῖ τοίνυν ὅσον οὐδέπω καὶ Αὐςουριανοὺς καὶ Ἀνδρόνικον, ὑπὲρ ὧν εἰς ἡμᾶς εἰργάσαντο, δίκην ἀξίαν κομίσασθαι· καὶ γὰρ τὴν ἀκρίδα τὴν λυμηναμένην ἡμῶν τοὺς καρποὺς, καὶ μέχρι μὲν καλάμης τὸ λήϊον, μέχρι δὲ φλοιοῦ τὰ φυτὰ δαπανήσασαν, καταποντιςὴς ἄνεμος ἄρας ὦσεν εἰς μέσον τὸ πέλαγος. ταύτῃ μὲν οὖν τῇ πληγῇ τὸν νότον ἀντέταξεν ὁ Θεός· καὶ ἐπ' Αὐςουριανοὺς ἤδη τὶς ᾕρηται παρ' αὐτοῦ ςρατηγός· ὡς εἴη γε τοῦτον ἡμῖν εἶναι τῶν παρ' αὐτοῦ πώποτε ςρατηγῶν εὐσεβέςατόν τε καὶ δικαιότατον· τοῦτον ἐπὶ

τῷ

(ζ) Ἴσως σωτηρίας. (η) Τὸ ὑπηρετῆσαι τῷ θανεῖν ὀφείλοντι καθ' ὃ, τοῦτ' ἔςι δι' ὅ,τι ἔδει αὐτὸν θανεῖν, οὐκ ἀςείας ἀπολογίας.

τῷ κατ' αὐτῆς τροπαίῳ μακαρίσαι μοι γένοιτο· μακάριος γάρ, φησιν, ὃς ἀνταποδώσει τὸ ἀνταπόδομα αὐτοῖς· μακάριος ὃς ἐδαφιεῖ τὰ νήπια αὐτῆς πρὸς τὴν πέτραν. τίς δὲ ἄρα, τίς ὄλεθρος περιμένει τὸν παλαμναῖον τῆς χώρας Ἀνδρόνικον; τίς ἀξία γένοιτ' ἂν δίκη ψυχῆς κακεργάτιδος; ὡς ἐμοὶ τῶν πληγῶν ἁπασῶν, αἷς μετῆλθε τὰς ἁμαρτίας ἡμῶν ὁ Θεός, Ἀνδρόνικός ἐστι μακρῷ πάντων βαρύτερος· πρὸς γὰρ ταῖς κοιναῖς συμφοραῖς, οὗτος ἐμὸν ἐστι κακὸν ἴδιον· διὰ τούτου μέτεισιν ὁ πειράζων, ἵνα δραπετεύσω τοῦ θυσιαστηρίου τὴν λειτουργίαν. ἐπανακτέον δέ μοι μικρὸν ἄνω τὸν λόγον, ἵν' οἷς ἴστε, προσθεὶς ἃ μὴ πάντες γινώσκετε, ἀκόλουθον ὑμῖν τὴν διδασκαλίαν τῶν περὶ ἐμὲ πραγμάτων ποιήσωμαι· καὶ γὰρ πρὸς τὰ μετὰ ταῦτά μοι καλῶς ἔχει τούτων ὑμᾶς ἀκροατάς μοι γενέσθαι. Ἐμοὶ παιδόθεν παρέστη θεῖον ἀγαθὸν εἶναι σχολὴ καὶ τοῦ ζῆν εὐμάρεια· τοῦθ', ὃ ταῖς θείαις φύσεσι προσήκειν τις ἔφη, αὐτὸ τοῦτ' εἶναι, τὸ τὸν νοῦν ἐκτρέφειν καὶ συνιστᾶν τῷ Θεῷ, τὸν ἔχοντά τε αὐτὴν καὶ καρπούμενον. ὅσα δὴ πασίν ἐστιν, ἢ γίνεται πράγματα, τούτων ἐλάχιστον ἐγὼ μετέχον, καὶ ὅσα μειρακίοις, καὶ ὅσα νέοις· καὶ εἰς ἄνδρα παραγγείλας, οὐδέν τι παιδαρίου πρὸς ἀπραγμοσύνην παρήλλαξα· ἀλλ' ὥσπερ ἐν πανηγύρει σεμνῇ διεξάγων τὸν βίον, διὰ πάσης ἡλικίας ἵλεων καὶ ἀκύμαντον τῆς ψυχῆς ἐτήρησα τὴν διάθεσιν. οὐ μὴν διὰ τοῦτο ἀνθρώποις ἀσυντελῆ με πεποίηκεν ὁ Θεός· ἀλλὰ πολλάκις ἡμῖν καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον ἐχρήσαντο· ἐδίδου γὰρ ὁ Θεὸς δύνασθαί τε τὰ μέγιστα, καὶ τὰ κάλλιστα βούλεσθαι. τούτων οὐδὲν ἐμὲ Φιλοσοφίας ἀφεῖλκεν, οὐδὲ τὴν εὐδαίμονά μοι σχολὴν ὑπετέμνετο· τὸ γὰρ ὠθισμῷ, καὶ μόχθῳ, καὶ μόλις ποιεῖν, τοῦτό ἐστιν ὃ δαπανᾷ τὸν χρόνον, καὶ τὴν ψυχὴν ἐμβαπτίζει μερίμναις πραγμάτων· ὅτῳ δὲ εἰπεῖν μόνον καθήκει, ἡ πειθὼ δὲ ἕπεται, καὶ ὁ λόγος ἀνυσιμώτατός ἐστι παρὰ τοῖς ἀκούουσι, τίς φειδὼ ῥημάτων, ἵνα δυστυχίας τις ἐλευθερωθῇ; τίμιον ζῶον ὁ ἄνθρωπος (θ)· τίμιον γάρ, εἰ δι' αὐτὸν ἐσαυ-

(θ) Δι' ὃ δεῖ δυστυχίας αὐτὸν ἐλευθεροῦν.

ῥώθη Χριςός· ἐμοὶ δὲ τὸ πείθειν ἀνθρώπȣς εἰς τὸν μέχρι τȣ̃ παρόντος ἐνιαυτὸν, τάχα μὲν θεῖος κλῆρος ἐγένετο, τάχα δὲ μόλις πραγμάτων ἀπτόμενος, ἐπετύγχανον· νυνὶ γὰρ δὴ τὸ πρᾶγμα (ι) ἔοικεν ἐξεληλέγχθαι· μετὰ πολλῶν, ἅτινα σαφῶς τὴν τȣ̃ Θεȣ̃, καὶ τȣ̃τ' ἀνετίθȣν αὐτῷ (κ)· καὶ ἔζων μετ' ἀγαθῶν τῶν ἐλπίδων, ὥσπερ ἐν ἱερῷ περιβόλῳ τῷ κόσμῳ, ζῶον ἄφετον, ἀνειμένον, εὐχῇ καὶ βίβλῳ καὶ θήρᾳ μερίζων τὸν βιον· ἵνα γὰρ ὑγιαίνῃ ψυχή τε καὶ σῶμα, τὸ μέν τι δεῖ πονεῖν, τὸ δὲ, αἰτεῖν τὸν Θεόν. μετὰ τοιαύτης εὐμαρείας εἵλκυσα τȣ̃τȣ τȣ̃ ἐνιαυτȣ̃ τȣ̃τȣ μέχρι τῆς ἱερωσύνης αἱρέσεως, πρὸς ἣν ἐγὼ παρὰ τȣ̃τȣ πώποτε δειλότατος γέγονα. μαρτύρομαι τὸν ἐπὶ πᾶσι Θεὸν, ὃ δι' ὑμᾶς ἐγὼ τὰς ἀπορρήτȣς ἐβάςασα τελετὰς, δίχα τῶν ἀνθρωπίνων (λ) περιόδων τε καὶ σπȣδῶν, αὐτῷ καταμόνας ἐν πολλοῖς καιροῖς τε καὶ τόποις προσῆλθον Θεῷ· καὶ πρηνὴς καὶ γονυπετὴς ἱκέτης γινόμενος, θάνατον ἀνθ' ἱερωσύνης ᾔρȣμην· αἰδὼς γάρ τίς με καὶ φιλία κατεῖχε τῆς ἐν Φιλοσοφίᾳ σχολῆς, ὑπὲρ ἧς ἅπαντα δεῖν ᾤμην ποιεῖν τε καὶ λέγειν· ἀλλ' ἐπειδὴ τῶν μὲν ἀνθρώπων ἐκράτȣν (μ), τȣ̃ Θεȣ̃ δὲ ἡττώμην, ὡς κοινὴ φήμη (ν) τὸν ἀξιȣ́μενον εἶναι γνώριμον Θεȣ̃, ἔφερον, ἀλλὰ δυσχεράνας τὴν καινοτομίαν τȣ̃ βίȣ· δρασμῷ γὰρ ἐπιθέμενον, ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων ἀνέκοψε· καὶ λεγόντων ἤκȣσα γερόντων ἱερῶν,

(ι) Τὸ δύνασθαί με τὰ μέγιςα ἠλέγχθη ἤδη ἀδύνατον, διὰ μέσȣ τȣ̃το.

(κ) Μετὰ πολλῶν ἀνετίθει καὶ τὸ ἐπιτυγχάνειν· εἰρήκει γὰρ ὅτι θεῖος κλῆρος ἐγένετό οἱ τὸ πείθειν ἀνθρώπȣς.

(λ) Ἀντὶ τȣ̃, ἐκτὸς τῶν μεσιτειῶν καὶ περιδρομῶν, αἷς πρὸς ἀνθρώπȣς ἐχρησάμην, ἵνα τȣ̃ βάρȣς τῆς ἱερωσύνης ἐμαυτὸν ἀπαλλάξαιμι, καὶ αὐτῷ τῷ Θεῷ προσῆλθον πολλάκις ὑπὲρ αὐτȣ̃ τȣ́τȣ ἱκετεύων κτ. (μ) Μὴ πειθόμενος αὐτοῖς.

(ν) Ἡ γὰρ κοινὴ φήμη λέγȣσα ὅτι ὁ ὑπὸ τῆς ἐκκλησίας ἄξιος κρινόμενος, ὑπὸ γνώριμός ἐςι τȣ̃ Θεȣ̃, τȣ̃τ' ἔςι προσκέκληται ὑπὸ τȣ̃ Θεȣ̃, αὕτη με ἔπεισεν ὑποταγῆναι τῷ Θεῷ. σκοπεῖν δὲ μή ποτε Θεὸν, ὅντινος λέγει ἡττηθῆναι, τὴν κοινὴν φήμην ἐννοεῖ καθ' Ἡσίοδον, φημὶ δὴ τὴν λέγȣσαν, ὅτι ὃν οἱ ἄνθρωποι ἄξιον κρίνȣσιν, τȣ̃τον καὶ ὁ Θεὸς ὡς γνώριμον ἐκάλεσε,

ρῶν, ὅτι με Θεὸς ποιμαίνει· καί τις ἐπὶ λέξεως εἶπεν, ὡς ἱλαρὸν ἐστι τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἱλαρύνει τοὺς μετόχους αὐτοῦ· καὶ προσέθηκεν, ὡς ἠμφισβήτησαν ἡμῖν πρὸς Θεὸν δαίμονες, οὓς λυπῶ προχωρήσας τῇ μερίδι τῇ κρείττονι· ἀλλὰ κἄν τι προσβάλωσι χαλεπὸν, οὐκ ἀμελεῖται, φησὶ, φιλόσοφος ἱερωμένος. ἐγὼ μὲν οὖν· οὐ γὰρ ῥᾴδιός εἰμι χαυνωθῆναι καὶ λαμπρόν τι λογίσασθαι περὶ ἐμαυτοῦ· τὴν ἀτυχίαν ᾐτιασάμην, ἀλλ' οὐχ ὑπὸ φθόνου δαίμονος· οὐ γὰρ οἶμαί μοι προσήκειν ἀρετὴν, ἥτις ἂν τοὺς βασκάνους ἐκίνησεν· ἀλλ' ἐφόβει με μᾶλλον δίκας ὄφλοντα παρ' ἀξίαν ἅψασθαι μυστηρίων Θεοῦ· καὶ ταύτην τὴν ἀτυχίαν ἐμαντευόμην, εἰς ἣν οὐ κατὰ μικρὸν ὤλισθον. ἀλλὰ παρῆν ἐνθάδε, καὶ τὰ δεινὰ πάντα παρῆν· καὶ χορηγὸς πάντων Ἀνδρόνικος, δαίμων ἀρήϊος, ἄπληστος συμφορῶν, τῆς πόλεως τοῖς λειψάνοις ἐγκείμενος· ἔα πανταχοῦ τῆς ἀγορᾶς· ἀνδρῶν οἰμωγαὶ, γυναικῶν ὀλολυγαὶ, παίδων ὀλοφυρμοὶ, σχῆμα πόλεως ἑαλωκυίας αὐτῇ περιτέθεικεν, ἧς τὸ κάλλιστον μέρος ἀποτεμόμενος, τίσεως χωρίον ὀνομασθῆναι γέγονεν αἴτιος, τὴν στοὰν τὴν βασίλειον τὸ πάλαι κριτήριον, ἀποδείξας βασανιστήριον· ταύτην δαίμοσι ποινίμοις, οἷς ἑαυτὸν ἄρας προσένειμε, βωμὸν καὶ τράπεζαν παρέθηκεν· ὦ πόσους πολιτῶν εἱστίασε δάκρυσι! ποῖοι Ταυροσκῦθαι, τίνες Λακεδαιμόνιοι, τοσούτῳ τῷ διὰ τῶν μαστίγων αἵματι τὴν παρ' αὐτοῖς ἐτίμησαν Ἄρτεμιν; δρόμος ἁπάντων εὐθὺς ἐπ' ἐμέ· καὶ πανταχόθεν εὐθὺς ἐβαλλόμην, ἀκοῇ καὶ θέᾳ κακῶν. νουθετήσας, οὐκ ἔπεισα· ἐπιτιμήσας, ἠρέθισα· ὁ παρὼν καιρὸς, ἤλεγξεν ἡμῶν τὴν ἀσθένειαν, ἣν μέχρι νῦν ἔκρυψεν ἀπὸ τῶν ἀνθρώπων Θεός· συγχωρουμένων γὰρ ἀεὶ τιμὴν καρπωσάμενος, παρέχον ὑποψίαν τῇ πατρίδι δυνάμεως. καὶ τοῦτο χαλεπώτατον τῶν συμβεβηκότων ἐστί μοι· πρὸς γὰρ τὴν ἐλπίδα τῶν ἠγνοηκότων με κρίνομαι· οὐδὲ γὰρ πείθω, λέγων, αὐτοὺς ὡς οὐ δύναμαι, ἀλλ' ἀξιοῦμαι πάντα τὰ δίκαια δύνασθαι. περίεστιν οὖν αἰσχύνεσθαι καὶ λυπεῖσθαι· πάθος εὐθὺς ἐν ψυχῇ, καὶ ποικιλία φροντίδων, καὶ εἰδωλοποιΐα πραγμάτων, καὶ μακρὰν ὁ Θεός. εἰ δαι-

μό-

μόνων εἰσὶ προσβολαὶ τὰ γινόμενα διʼ Ἀνδρονίκου, πᾶν ἐποίησαν ὅσον ἐβούλοντο· οὐκέτι τὸ συνήθους ἐν εὐχαῖς γλυκυθυμίας ᾐσθόμην· ἀλλὰ τὸ μὲν σχῆμα, εὐχῆς· ἐγὼ δὲ καὶ περιωνέχθην ἁπανταχοῦ τῶν πραγμάτων, ὀργῇ καὶ λύπῃ καὶ πᾶσι πάθεσι μεριζόμενος· καίτοι διὰ νοῦ τῷ Θεῷ συγγινόμεθα, γλῶττα δὲ ἀνθρώποις τὰ πρὸς ἀνθρώπους ὑπηρετεῖ. εἰ τοίνυν ἐν εὐχαῖς ἀπροτεξίαν ἠτύχηκα καὶ παρὰ πόδας ἡ πεῖρα, τὸ γέτοι τοῦ βίου μεταβολῆς οὐ ταύτῃ μόνον εἰς κακὸν ἀπολέλαυκα ἐξ ἀπραξίας εὑράμενος πράγματα, ἀλλʼ ἀπενθὴς τομέως πρώην διαγενόμενος, νεκρὸν ἐπεῖδον, οὗ προαποθανεῖν ηὐχόμην. οὕτω πικροῖς ἡμᾶς ἡ πόλις ἐπιβατηρίοις ἐξένισεν, ὡς ἅμα τοῖς ἀνθρώποις τὰ πράγματα νῦν μὲν ἄνω, νῦν δὲ κάτω χωρεῖ, καὶ ῥοῦς ἥκει φέρων ἀθρόα πολλά, νῦν μὲν αἴσια, νῦν δὲ ἀπαίσια. ἀλλʼ ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον, κἂν εἰργασάμην αὐτός τι δεινὸν ἐμαυτὸν, οὕτως ἑαλώκειν τοῦ πάθους· ἔγωγέ τοι τὰ μὲν ἄλλα ἄρρην εἰμί· λέγω δὲ ἐν εἰδόσι· καὶ τὰ πολλὰ δοῦλος τοῦ λόγου· συνηθείας δὲ οὕτω τοι ἥττων, ὡς ταύτῃ κρατεῖν τὴν ἀλογίαν τοῦ λόγου· οὔκουν οὐδὲ τοῖς ἐκ Φιλοσοφίας δόγμασι τοῦ παρόντος πάθους ἐκράτησα· ἀλλʼ Ἀνδρόνικος ἀντιπεριήγαγε, καὶ πρὸς ταῖς κοιναῖς συμφοραῖς τὸν νοῦν ἔχειν ἐποίησε· καὶ γεγόνασί μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθει πάθος ἐκκρούουσαι. συνεπιτίθεταί δή μοι τῇ πικρᾷ τῶν παρόντων αἰσθήσει μνήμη τῶν παρελθόντων ἀγαθῶν, ἐξ οἵων ἄρα, ἐν οἵοις γεγόναμεν! καὶ ζῶ πονήρως ἅμα πάντων ἀφῃρημένος. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι καὶ δύσελπιν εἶναι τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκεσίαις Θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος· εἶτα τὴν μὲν οἰκίαν κακῶς πράττουσαν ὁρῶ, τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι· πᾶσι δὲ ἐγκείμενος ἐφʼ ᾧ προσανακλάεσθαι, καὶ τὰ κατʼ αὐτὸν ἕκαστον ὀλοφύρεσθαι, ἔλεον αὐτοῦ ἀνόνητον ἐλεῶ· καὶ πρόσεσι τὸ αἰσχύνεσθαι, ὅτι πολίτην ἄνδρα χρησάμενον συμφοραῖς, καὶ κλαπέντα χρυσίον δημόσιον, ἀπαιτήσας

σας ὑπὲρ στατῆρας μυρίους, ἔγνωκεν ἀναβολὴν μὴ διδοὺς ἀποκτεῖναι διὰ χιλίους, μᾶλλον δὲ δι᾽ ἐμέ· δι᾽ ἐμὲ γὰρ αὐτὸν ἔχει καθείρξας εἰς ἀνεπιχείρητον φρούριον, ἐν οἵῳ τοὺς Τιτᾶνας δεδέσθαι ποιηταὶ παῖδες φαντάζονται. καὶ ἵνα μὴ ἀφαιρεθῇ, φησὶ, παρ᾽ ἐμοῦ, δεῖ πέμπτην ἡμέραν ἀπόσιτον εἶναι τὸν ἄνθρωπον, εἰσαγωγῆς ἄρτων ἀπηγορευμένης τοῖς δεσμοφύλαξιν· ἀλλὰ πρώην αὐτοῦ κεκραγότος ἅπαντες ἤκουσαν, ὡς ὠφελιμώτερος ἔσται τῶν χιλίων στατήρων ἀποθανὼν ὁ πολιτευόμενος· διὸ καὶ τοὺς προσιόντας αὐτῷ (ἐπὶ) τῇ τῶν χωρίων ὠνῇ, φοβεῖ καὶ ταράττει, καὶ πάντα τρόπον ἀφίστησιν· οὐ γὰρ, οἶμαι, δεῖ τοῦ χρυσίου· τοῦ δὲ τεθνάναι τὸν ἄνθρωπον δεῖ· ἐγὼ δὲ οὔτε ἰσχυρότερός εἰμι πρὸς τὸ τείχεσιν ἐρυμνοῖς προσβαλεῖν, οὔτε εὐμήχανος εἰσερπύσαι, καὶ τῆς συμφορᾶς ἐξελέσθαι τὸν ἄνθρωπον· παρίησι δὲ, φασί τινες, οὐδεὶς οὐδένα· οἱ γὰρ ὑπηρέται, φύσει μέν εἰσιν, οἵτινές εἰσι, νῦν δὲ καὶ πρὸς παράδειγμα ζῶσιν Ἀνδρόνικον, ὃς ἐπὶ τῷ τὴν ἐκκλησίαν ἀτιμοῦν προκαθέζεται. τῶν μὲν οὖν εἰς ἡμᾶς αὐτοῦ, λόγος οὐδείς· ὡς ἐγὼ κἂν χάριν εἰδείην αὐτῷ, τὴν διὰ Θεὸν ἀτιμίαν δεχόμενος ὡς μαρτύριον· ἀναμνήσθητε γὰρ ὑμεῖς, τίς ἦν πρὸς ἐμὲ, τὸν (εἰ καὶ) μηδὲν ἄλλο, ἐξ ἐκείνων γενόμενον· ἀπ᾽ Εὐρυσθένους τοῦ καταγαγόντος Δωριέας εἰς Σπάρτην, μέχρι τοῦ μοῦ πατρὸς αἱ διαδοχαὶ ταῖς δημοσίαις ἐνεχολάφθησαν κύρβεσιν· ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ᾽ οὐδὲ πατρὸς, φασὶ, πλὴν ὅσον εἰκάσαι· ἀπὸ θυννοσκοπείου δὲ ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἀλάμενος. οὗτος οὖν τὴν ἐν πόλει λαμπρότητα τεθαυμακὼς, αἰσχυνέσθω τοῖς ἐλλείμμασιν· ἀλλ᾽ ἔγωγ᾽ ἐς τὸ τῆς ἱερωσύνης, καὶ τιμῆς ἐνεφορήθην, καὶ ἀτιμίας οὐκ ἐγευσάμην. νυνὶ δὲ οὔτ᾽ ἂν ἡσθείην τιμώμενος, οὔτε καταφρονούμενος ἄχθομαι· οὐδέτερον γὰρ αὐτῶν ἔτι παρὰ τοῦ ποιοῦντος εἰς ἐμὲ δοκεῖ γίνεσθαι, ἀλλ᾽ ἑκάτερον εἰς ἀναφορὰν τοῦ Θεοῦ· διόπερ ὁ πάντα τολμῶν οὗτος ἄνθρωπος, ὡς οὐδὲν οὔτε λέγων, οὔτε ποιῶν παρεκίνησεν, ἀρθεὶς ἀφ᾽ ὑμῶν, αὐτῷ διακηρύττεται τῷ Θεῷ, καὶ φωνὰς ἀφῆκεν ἐπὶ συνεστώτων καὶ περιεστώτων ἀνθρώπων, ἃς αὐτίκα τοῦ

πρὸς

περὶ (τὰς) ἁπανταχοῦ γῆς ἐκκλησίας ἀναγινωσκομένης ἀκούεσθαι. τοιοῦτόν ἐστι φύσις ἀπαίδευτος ἐπειλημμένη δυνάμεως, τῇ κεφαλῇ τὸν οὐρανὸν ἐξαράσσειν ἐπιχειρεῖ· ἔσω, δυνάσθω, κελευέτω τῇ φύσει, τῷ καιρῷ, ἀποκτιννύτω καὶ δείτω τοὺς πολίτας ὅν τινα βούλεται· ἡμῖν δὲ ἀπόχρη μένουσιν ἐπὶ τῆς τάξεως, ἐφ' ἧς ἡμᾶς ἔταξεν ὁ Θεός, ἀπηλλάχθαι μὲν τῆς κοινωνίας τῶν πονηρῶν,

Ἁγνεῦσαι δ' ἀκοὰς βλασφημοσύνης ἀλεγεινῆς· ἀπογνῶναι δὲ προστασίας ἀδικουμένων, ἀπολελογημένοις τῷ δήμῳ διὰ τὴν μάτην ἐπιχειρήσεως· ὃ νοῦ μέγεθος ἔχοντος ἦν καὶ πρὸ πείρας ποιῆσαι· νυνὶ δὲ περιεμείναμεν ὑμᾶς ἐκ τῶν πραγμάτων συμψήφους ποιήσασθαι, ὅτι πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν (ξ), τὸ κλώθειν ἐστὶ τὰ ἀσύγκλωστα. ὁ πάλαι χρόνος ἤνεγκε τοὺς αὐτοὺς ἱερέας τε καὶ κριτάς· καὶ γὰρ Αἰγύπτιοι, καὶ τὸ Ἑβραίων ἔθνος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. εἶτ' ἐπειδή, μοι δοκεῖ, τὸ θεῖον ἔργον ἀνθρωπίνως ἐπράττετο, διῴκισεν ὁ Θεὸς τοὺς βίους· καὶ ὁ μέν, ἱερός, ὁ δέ, ἡγεμονικὸς ἀπεδείχθη· τοὺς μὲν γὰρ εἰς ὕλην ἐπέστρεψε, τοὺς δέ, συνέταξεν ἑαυτῷ· τετάχαται δὲ οἱ μέν, ἐν τοῖς πράγμασιν, ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς (ο) εἶναι· τὸ δὲ καλὸν ἀπαιτεῖ παρ' ἀμφοῖν ὁ Θεός. τί οὖν ἐπανάγεις; τί δὲ συνάπτειν πειρᾷ τὰ κεχωρισμένα παρὰ τοῦ Θεοῦ, ὃς οὐδὲ διοικεῖν ἡμᾶς, ἀλλὰ παραδιοικεῖν (π) ἀ-

(ξ) Τὸ προΐστασθαι τῶν ἀδικουμένων τὸν ἐπίσκοπον ἐπὶ τῶν πολιταρχῶν, ὅπερ οἱ μὲν Κυρηναῖοι ἀπῄτουν τὸν Συνέσιον, ὅδε, ὡς δῆθεν οὐ πρὸς αὐτοῦ ἀπεποιεῖτο, οὐκ ἔστι πολιτικὴν ἀρετὴν (ἴσ. ἀρχήν.) Ἱερωσύνῃ συνάπτοντος, ὡς οὐδὲ δικάζοντος, ἀλλὰ τοῦ τὴν ψυχὴν τιθέντος ὑπὲρ τῶν προβάτων, ὡς καὶ ὁ Χρυσόστομος ὑπὲρ τοῦ ἀμπελῶνος τῆς χήρας. καὶ ὁ Βασίλειος ὑπὲρ τῆς προσφυγούσης ὑπὸ τῆς ἱερᾶς τραπέζης γυναικὸς ἐποίησαν, καὶ ὁ Ἱεράρχης Νικόλαος ἁρπάσας ἐκ τῆς χειρὸς τοῦ δημίου τὸ ξίφος. (ο) Οὐ μὴν ἀλλὰ κἀντῷ διδάσκειν (ά, πρ. Τιμ. 3, 3, καὶ 4, 16. πρ. Τίτ. 1, 8.) τοῦ δὲ διδάσκοντός ἐστι τά τε ἄλλα, ἔτι μὴν καὶ τὸ ἐλέγχειν τοὺς ἁμαρτάνοντας. (ά, πρ. Τιμ. 5, 20.) ὡς καὶ ὁ Ἀμβρόσιος ἤλεγξε τὸν Βασιλέα Θεοδόσιον, καὶ ἄλλοι ἄλλους· τοῦτο δὲ οὐκ ἔστι τῶν τῆς ὕλης κακῶν ἀπολαύειν, ἀλλὰ τὴν ὕλην μᾶλλον τῆς κακίας ἀνακαθαίρειν. οὐδὲ γὰρ ὁ ἰατρὸς ξίφει καὶ πυρὶ πρὸς θεραπείαν τοῦ τραύ-

ἀξιοῖς, ἢ τί γένοιτ' ἂν ἀθλιώτερον; προςάτου σοι δεῖ; βάδιζε παρὰ τὸν ἐπιτροπεύοντα τῶν νόμων τῆς πολιτείας. τοῦ θεοῦ σοί τι δεῖ; ἴθι παρὰ τὸν ἱερέα τῆς πόλεως. οὐχ ὡς ἐνταῦθ' ἐνὸν τὸ πάντως ἐπιτυχεῖν, ἀλλ' ὡς ἐγὼ προθυμηθήσομαι· ἂν δ' ἐπιτρέπῃ τις ἠρεμεῖν, τάχα ποτὲ καὶ δυνήσομαι· ἅμα γὰρ ἀποςρέφεται τὴν ὕλην, καὶ πρὸς Θεὸν ἐπιςρέφεται. θεωρία τέλος ἐστὶν ἱερωσύνης, μὴ ψευδομένης τὸ ὄνομα· θεωρία δὲ καὶ πρᾶξις, οὐκ ἀξιοῦσι συγγίνεσθαι· ὁρμὴ μὲν γὰρ κίνησις πράξεων· οὐδεμία (δὲ) ἀπαθής (ρ)· ἀλλὰ δεῖ κενὴν εἶναι παθῶν τὴν ψυχὴν τὴν μέλλουσαν ἔσεσθαι δοχεῖον θεοῦ· μὴ καθαρῷ γάρ, φησὶ, καθαροῦ ἐφάπτεσθαι, μὴ οὐ θεμιτὸν ᾖ. σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός· σχολῆς δεῖ τῷ μετὰ Φιλοσοφίας ἱερατεύοντι· οὐ καταδικάζω τῶν ἐπισκόπων τοὺς ἐν τοῖς πράγμασιν, ἀλλ' ἐμαυτὸν εἰδὼς μόλις εἰς θάτερον ἐξικνούμενον, ἄγαμαι τῶν δυναμένων ἑκάτερα. ἐμοὶ δύναμις οὐκ ἔςι δυσὶ κυρίοις δουλεύειν· εἰ δ' εἰσί τινες, οἱ μηδὲν ἀπὸ τῆς συγκαταβάσεως βλάπτονται, δύναιντο ἂν καὶ ἱερᾶσθαι, καὶ πόλεων προςατεῖν. ἀκτὶς ἡλίου κἂν ὁμιλήσῃ βορβόρῳ, μένει καθαρὰ καὶ ἀμόλυντος· ἐγὼ δὲ ταὐτὸ τοῦτο παθὼν, πηγῶν καὶ θαλάττης δεήσομαι. καὶ εἰ δυνατὸν ἦν ἀγγέλῳ (σ) πλεῖν

ματος χρώμενος ἀπολαύει τῆς προςροπῆς. (π) Διοικεῖν ἐςὶ τὰ οἰκεῖα ἐνεργεῖν, παραδιοικεῖν δὲ τὰ ἀλλότρια· καίτοι τὸ προΐςασθαι τῶν ἀδικουμένων, οὐκ ἀλλότριον Ἐπισκόπου. (ρ) ὁρμὴ δηλ: ἥ ἐςι κίνησις ὅλου τοῦ σώματος μεταβατικῶς, ἢ ἀμεταβάτως κατ' ἐνέργειαν τῶν σωματικῶν μελῶν καὶ αἰσθήσεων, ἢ πασῶν, ἢ μιᾶς γέ τινος. (σ) Οὐχ ὡς ἀδύνατον ὂν ἀγγέλῳ πλεῖν ἢ τριάκοντα χρόνους ἐνανθρωπήσαντι μηδὲν ἀπολαῦσαι τῶν τῆς ὕλης κακῶν, παρὰ τοῦτο κατέβη ὁ υἱὸς τοῦ Θεοῦ· εἰ γὰρ ἄνθρωποι εὑρέθησαν ἄμεμπτοι ἐνώπιον τοῦ θεοῦ (Γέν. 6, 9. καὶ 17, 1. Ἰώβ. 2, 3. Λουκ. 1, 6.) πολλῷ μᾶλλον εὐηρέςησεν ἂν ἄγγελος ἐνώπιον τοῦ Θεοῦ, ἐνανθρωπήσας· ἀλλ' ὡς ἀδύνατον ὂν κτιςῇ φύσει θεῶσαι τὸ κτιςὸν, καὶ τὴν ἀνθρωπίνην φύσιν θείας φύσεως ποιῆσαι κοινωνόν· ὁ γὰρ Θεὸς λόγος διὰ τοῦτο ἐγένετο ἄνθρωπος, ἵνα Θεὸν τὸν ἄνθρωπον ἀπεργάσηται, ἄγγελος δὲ καθ' ὑπόθεσιν ἐνανθρωπήσας ἄγγελον ἂν ἐποίησε τὸν ἄνθρωπον, οὐχὶ δὲ καὶ Θεὸν μὴ ὢν αὐτὸς Θεός· καὶ ἄλλως δὲ, τὸν

πλεῖν ἢ τριάκοντα ἐνιαυτοῖς ἐνανθρωπήσαντι (τ) μηδὲν ἀπολαῦσαι τῆς τῆς ὕλης κακῆς εἰς προσπάθειαν, τί δεῖ καταβιῶναι τὸν ὑιὸν τοῦ Θεοῦ; ἀλλ᾽ ἔστι περιουσία δυνάμεως, ὁμιλοῦντα τοῖς χείροσι μένειν ἐπὶ τῆς φύσεως, καὶ μηδένα τρόπον παθαίνεσθαι· τοῦτο Θεοῦ μὲν ὕμνος ἐστὶν, ἀνθρώπῳ δὲ παραίτησις γίνεται διευλαβουμένῳ τῆς φύσεως αὐτοῦ τὴν ἀσθένειαν. κατὰ τούτους ὑμῖν ἐγὼ τοὺς ὅρους συνέσομαι· οὐ μὴν τό γε κρίνειν καιροὺς ἐμαυτὸν ἀφαιρήσομαι, ὡς ὅταν ἐξῇ κατιόντα, μὴ κατιέναι, τοῦτ᾽ ἔστι διὰ τῆς τυχούσης ἐπιστροφῆς ἀγαθόν τι μέγα ποιεῖν· οὕτω καὶ ὁ Θεὸς πολιτεύεται (υ)· τὸ προσεστηκέναι δέ ἐστι τὸ δεινὸν, ὃ μήτε Θεοῦ φύσις ἀνέχεται (φ), μήτε ὅστις ἑαυτὸν ἀπευθύνει πρὸς τὸν Θεόν. εἰ γέγονα χρημάτων ἢ κτημάτων ἐπιμελὴς, εἰ συνίστέ μοι λογισμοὺς δεχομένῳ τοὺς καθ᾽ ἡμέραν, ἢ τοὺς κατ᾽ ἔτος δαπάνης, εἶτα ἐν τοῖς ὑμετέροις τοῦ χρόνου φείδομαι, ἀλαζών εἰμι καὶ οὐκ ἀξιῶ συγγινώσκεσθαι· εἰ δὲ ἀμελήσας τῶν οἴκοι πρότερον, τῇ κατὰ νοῦν ἐνεργείᾳ συνέταξα τὴν ζωὴν, τί δεινὸν εἰ τῶν ἴσων ὑμᾶς ἀξιῶ; ἀλλ᾽ ἐπεὶ τούτοις ὑμᾶς οὐκ ἀρέσκομεν, ὡς ὄντων ἑτέρων, οἳ δύνανται κατὰ ταὐτὸν ἐν ἀμφοῖν εὖ διαγίνεσθαι, ἔξεστι βουλεύσασθαι τὸ λῷον τῇ τε πόλει, καὶ ταῖς ἐκκλησίαις, κἀμοί. οὐκ ἐξόμνυμαι τὴν ἱερωσύνην· μήποτε δυνηθείη τοσοῦτον Ἀνδρόνικος! ἀλλ᾽ ὥσπερ

κατ᾽ εἰκόνα Θεοῦ ποιηθέντα καὶ χειρὶ Θεοῦ πλασθέντα, κἄπειτα τῇ πτώσει συντριβέντα, οὐδενὸς ἦν ἀλλ᾽ ἢ τοῦ πλάσαντος αὐτὸν ἀναπλάσαι, εἴ γε ἡ μὲν ἀνάπλασις τιμιωτέρα πολλῷ τῆς πλάσεως, κτίσμα δὲ οὐδὲ πλάττειν τὴν ἀρχὴν οὐχ ὅπως καὶ ἀναπλάττειν πέφυκε. (τ) Ἐν ἄλλ. συνανθρωπεύσαντι

(υ) Ἀντὶ τοῦ, ἐπολιτεύσατο· ὁ γὰρ Θεὸς λόγος ἐνανθρωπήσας μέχρι τοσούτου τοῖς ἀνθρώποις συνανεστράφη, μέχρις οὗ τὴν σωτηρίαν αὐτῶν κατειργάσατο· ὁπότε καὶ μετὰ τὴν ἀνάστασιν πρὸ τῆς ἀναλήψεως οὐδὲ τοῖς Ἀποστόλοις αὐτοῖς σωματικῶς διὰ παντὸς συνανεστρέφετο. (φ) Ἀλλ᾽ οὐ κατὰ τὸν αὐτὸν λόγον· οὐδὲ γὰρ καὶ ἡ τοῦ Θεοῦ φύσις κατὰ τὴν τοῦ ἑαυτὸν πρὸς τὸν Θεὸν ἀπευθύνοντος ὡς δῆθεν ἀπὸ τῆς συγκαταβάσεως βλαπτομένη οὐκ ἀνέχεται, ἀλλὰ καθ᾽ ἕτερον λόγον. εἰ γὰρ ἀκτὶς ἡλίου καὶ κατὰ σὲ ὁμιλοῦσα βορβόρῳ οὐδὲν ἧττον μένει καθαρὰ καὶ ἀμόλυντος, πολλῷ μᾶλλον ἡ τοῦ Θεοῦ φύσις.

λ' ὥσπερ οὐδὲ φιλόσοφος ἐγενόμην δημόσιος, οὐδὲ θεατροσκοπίαις ἐπεθέμην, οὐδὲ διδασκαλεῖον ἤνοιξα, καὶ οὐδὲν ἧττον ἦν τε καὶ εἶναι φιλόσοφος· οὕτως οὐδὲ ἱερεὺς δημόσιος εἶναι βούλομαι. οὐχ ἅπας ἅπαντα δύναται· ἐγὼ συγγινόμενος ἐμαυτῷ, καὶ διὰ νοῦ τῷ Θεῷ, καταβὰς ἀπὸ θεωρίας, δύναμαι συνουσίας οὐκ ἀχρήστους ποιεῖσθαι πρὸς ἕνα καὶ δύω· καὶ οὐδὲ τούτους ἀγελαίους, ἀλλ' εἴ τινες εἶεν, ἢ φύσεως λαχόντες, ἢ ἀγωγῆς εὐτυχήσαντες, ὥστε νοῦν τεθαυμακέναι περὶ σώματος. ἀλλὰ καὶ διὰ πολλοῦ πραγμάτων ἁπτόμενος μετὰ τῆς ἐμαυτοῦ ῥαστώνης, γενοίμην ἂν τῷ καιρῷ χρήσιμος· καταχωννύμενος δὲ ὑπ' αὐτῶν, ἐμαυτοῦ τε ἐπιλήσμων εἰμὶ, καὶ τῶν πραγμάτων ζημίαν ποιῶ· οὐ γάρ ἐστι μισοῦντα καλῶς τι ποιεῖν· ἀλλ' ὁ μὴ πάσῃ τῇ γνώμῃ δεδογμένα ποιῶν, ἄθυμος ἔρχεται πρὸς τὴν πρᾶξιν, ἧς προσιῆναι δεῖ. ὅστις δὲ πρὸς μὲν χολὴν ἀνοικείως ἔχει, καὶ οὐκ ἔστιν ὅπως τῷ κολάζοντι χρήσαιτο, αὐτὸ δὲ τὸ πᾶν ὅπερ ἐστὶ (χ) δημωφελέστατος ἄνθρωπος, πολυχωροτάτη ψυχὴ ταῖς ἁπάντων ἀρκοῦσα φροντίσιν, ὅστις ἐπειδὴ πέφυκεν οὕτω, καὶ βούλεται, ὁ τοιοῦτος κἂν χάριν εἰδείη ταῖς ἑλκούσαις αὐτὸν ἐφ' ἑαυτὰς περιστάσεσιν· ὑποθέσεις γὰρ αὐτοῦ τῇ φύσει χαρίζονται· καὶ μέγιστον εἰς τὸ κατορθοῦν ἐφόδιον ἡ φιλία τοῦ πράγματος. ἐξαιρετέος οὖν ἅπασιν ὑμῖν ὁ λυσιτελέστατος ἄνθρωπος, καὶ ἀνθαιρετέος ἡμῶν, οἳ μόνοι μόλις σωζόμεθα. τί κεκράγατε; οὐ δι' ὅ,τι μήπω γέγονεν, ἄξιόν ἐστι μηδὲ νῦν γενέσθαι· πολλὰ τῶν δεόντων ὁ χρόνος ἐξεῦρε καὶ διωρθώσατο· οὐχ ἅπαντα πρὸς παράδειγμα γίνεται· καὶ τῶν γινομένων ἕκαστον ἀρχὴν ἔχει, καὶ πρὶν γενέσθαι μήπω γινόμενον ἦν· ἀξιώτερόν ἐστι προτιμηθῆναι τῆς συνηθείας τὸ χρήσιμον· ἡμεῖς ἀρχὴν δῶμεν ἔθει βελτίονι. ἀνθαιρετέος οὖν ἡμῶν, ἢ μεθ' ἡμῶν αἱρετέος (ψ), πάντως δὲ αἱρετέος ὁ ἄνθρωπος· ὅστις ἂν

ᾖ,

(χ) Ἔστι δὲ ὁ τοιοῦτος αὐτὸ τὸ πᾶν, ὅπερ ἐστὶν ὁ δημωφελέστατος ἄνθρωπος· ἢ, ἔστι δὲ αὐτὸ τὸ πᾶν, τοῦτ' ἔστι δημωφελέστατος ἄνθρωπος. (ψ) Τὸ

ἢ, πάντως ἐμῦ τὰ πολιτικὰ μακρῷ φανεῖται σοφώτερος, καὶ δυνήσεται τὰ δύσιῶα ταῦτ' ἀνθρώπια ὑπὲρ ὑμῶν ἐξομιλεῖν καὶ μεταχειρίζεσθαι. σκοπῶ εἰ μήπω δοκεῖ, τῦτο μὲν εἰσαῦθις ἀναθώμεθα· ἐξέσαι γὰρ ὑπὲρ αὐτῦ καὶ μόνας καὶ μετ' ἀλλήλων βυλεύσασθαι· νυνὶ δὲ οἷς τὸ συνέδριον μετῆλθε τὴν Ἀνδρονίκυ μανίαν, ἀκύσατε.

Πρὸς τὺς Ἐπισκόπυς. 58.

Ἀνδρόνικον τὸν Βερονικέα, τὸν κακῇ Πενταπόλεως μοίρᾳ (α) καὶ φύντα, καὶ τραφέντα, καὶ αὐξηθέντα, καὶ τὴν ἀρχὴν τῆς ἐνεγκύσης αὐτὸν (β) ὠνησάμενον, μήτε ἡγείσθω τὶς, μήτε καλείτω Χριςιανόν· ἀλλ' ὡς ἀλιτήριος ὢν τῦ Θεῦ, πάσης ἐκκλησίας ἀπεληλάσθω πανέσιος· ὐ διό,τι γέγονε Πενταπόλεως ἐχάτη πληγὴ, μετὰ σεισμὸν, μετὰ ἀκρίδα, μετὰ λιμὸν, μετὰ πῦρ, μετὰ πόλεμον, ἐπεξελθὼν ἀκριβῶς τοῖς ἐκείνων ἐγκαταλείμμασιν, ἄτοπα κολαςηρίων ὀργάνων γένη καὶ χήματα πρῶτος εἰς τὴν χώραν εἰσενεγκών· εἴη δὲ εἰπεῖν, ὅτι καὶ μόνος χρησάμενος· δακτυλήθραν, καὶ ποδοςράβην, καὶ πιεςήριον, καὶ ῥινολαβίδα, καὶ ὠτάγραν, καὶ χειλοςρόφιον, ὧν οἱ προλαβόντες τὴν πεῖράν τε καὶ τὴν θέαν, καὶ τῷ πολέμῳ προαπολόμενοι, παρὰ τῶν κακῶς περισωθέντων ἐμακαρίσθησαν· ἀλλ' ὅτι πρῶτος παρ' ἡμῖν, καὶ μόνος ἔργῳ καὶ λόγῳ τὸν Χριςὸν ἐβλασφήμησεν· ἔργῳ μὲν, ἀφ' ὗ τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπαττάλευσεν ἑαυτῦ διατάγματα, τοῖς μὲν ὑπ' αὐτῦ παρανομυμένοις, τῆς ἀσύλυ τραπέζης ἀποκλείων τὴν ἱκετείαν, ἀνατεινόμενος δὲ τοῖς ἱερεῦσι τῦ Θεῦ ταῦτα, ἃ κἂν Φάλαρις ὁ Ἀκραγαντῖνος, κἂν Κεφρὴν ὁ Αἰγύ-

---

μεθ' ἡμῶν διπλῦν ἔχει τὸν νῦν· ἢ καὶ μετὰ τῆς ἐμῆς ψήφυ αἱρετέος, ἢ, τὸ μᾶλλον, ἵνα ὦμεν ἑκάτεροι Γερατεύοντες, ὁ μὲν, δημοσίᾳ, ἐγὼ δὲ, ἰδίᾳ.

(α) Ἐπὶ δυςυχίᾳ καὶ συμφορᾷ τῆς πόλεως. (β) Ἀπειρημένον ὂν πατρι-

γύπτιος (γ), κἂν Σενναχηρεὶμ (δ) ὁ Βαβυλώνιος ὤκνησεν, ὁ πέμψας εἰς Ἱερουσαλὴμ τοὺς ὀνειδιοῦντας Ἐζεκίᾳ καὶ τῷ Θεῷ. ἐκείνην ἐγὼ τὴν ἡμέραν ἐνηνοχέναι φημὶ τὸν δεύτερον σταυρὸν τοῦ Θεοῦ· ἐπὶ τῷ ὀνειδισμῷ τοῦ Χριστοῦ τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέματο. καὶ ταῦτα ἐπεῖδεν ἥλιος, καὶ ἀνέγνωσαν ἄνθρωποι, οὐ Τιβερίου Κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφ' οὗ Πιλάτος ἐπὶ τὴν Ἰουδαίων ἡγεμονίαν ἐστάλη, ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ σκῆπτρα Ῥωμαίων ἐχούσης, ἀφ' ἧς ἔλαθεν Ἀνδρόνικος ἑαυτῷ μνηστεύσας ἀρχὴν ὑπὸ τῷ Πιλάτου φρονήματι. γέλως ἦν τοῖς παριοῦσι τῶν ἑτεροδόξων τὰ γράμματα, καθάπερ Ἰουδαίοις τὰ παραγεγραμμένα τῷ σταυρῷ τοῦ Χριστοῦ· καί τοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ βασιλεὺς ὁ Χριστὸς ἐκηρύττετο· ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ δὴ μετὰ ταῦτα τῶν πρώην ἐστηλιτευμένων (ε) βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινα κατ' ἐχθροῦ πρόφασιν εὑράμενος· ἔχθρα δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν, ἐσπούδαζεν, ὁ δὲ, ἐκώλυεν· ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ᾐκίζετο, ἃ μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου, μετ' αὐτοῦ δὲ ὥσπερ ἤρξατο, παύσαιτο, καὶ γένοιτο τοῖς μεθ' ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας Ἀνδρονίκου συνθήματα. ἐπειδὴ οὖν ἀνὴρ εὐγενής, οὐκ ἀδικῶν, ἀλλ' ἀτυχῶν ἐπ' αὐτοῖς κατετείνετο, καὶ ταῦτα τὸ τῆς μεσημβρίας ἐδρᾶτο σταθερώτατον, ἵν' ὑπὸ μόνοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο, καὶ τὴν ἐκκλησίαν ἔγνω γινομένην αὐτῷ συμπαθῆ, κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ μαθόντες εὐθὺς ὡς εἴχομεν ἐξεδράμομεν, ἐφ' ᾧ παρακαθιζῆσαι καὶ συνδιενέγκαι τὴν συμφοράν, λυττᾷ πρὸς τὴν ἀκοήν, εἴτις ἐπίσκοπος ὢν ἐλεῆσαι τετόλμηκεν ἄν-

θρω-

ώτας τῆς πατρίδος ἄρχειν. ἐπιστ. 72. (γ) Ἡρόδ. ἐν Εὐτέρπῃ. τῶν Αἰγυπτίων πᾶσαν κατηγορεῖ κακότητα. (δ) Ἡσαΐ. 36. 13.

(ε) Τῶν τῆς ἀσύλου τραπέζης ἀποκλειόντων τὴν ἱκετείαν.

θρωπον ἀπηχθημένον αὐτῷ· καὶ πολλὰ καὶ παράνομα νεανιευσάμενος, τοῦ θρασυτάτου τῆς ὑπηρεσίας Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ χρῆται πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέθηκε τῇ μανίᾳ τὴν ἀθεωτάτην φωνὴν εἰπὼν, ὅτι μάτην ἐπὶ τὴν ἐκκλησίαν ἤλπισε, καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῆς Ἀνδρονίκου χειρῶν, οὐδ᾽ ἂν εἴτις τὸν πόδα κρατήσειεν αὐτοῦ τοῦ Χριστοῦ. ταύτην ἀπαιδεύτῳ γνώμῃ καὶ γλώττῃ τρὶς ἀνεφθέγξατο τὴν φωνήν· μεθ᾽ ἣν οὐκέτι νουθετητέος ὁ ἄνθρωπος, ἀλλ᾽ ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῶν, ἵνα μὴ τῇ κοινωνίᾳ, καὶ τὸ ὑγιαῖνον συμφθείρηται· ὁ γὰρ μολυσμὸς διαδόσιμος γίνεται, καὶ ὁ θίγων ἐναγοῦς, ἀπολαύει τῆς προσροπῆς· δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι καθαροὺς τῷ Θεῷ. ἐπὶ τούτοις ἡ Πτολεμαΐδος ἐκκλησία τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς ἑαυτῆς ἀδελφὰς διατάττεται. Ἀνδρονίκῳ καὶ τοῖς αὐτοῦ, Θόαντι καὶ τοῖς αὐτοῦ μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ Θεοῦ· ἅπας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω, καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ, ὃς κἂν λάθῃ διαδὺς (ζ), ἐξελαύνεται. παραινῶ μὲν οὖν καὶ ἰδιώτῃ παντὶ καὶ ἄρχοντι, μήτε ὁμωρόφιον αὐτῷ, μήτε ὁμοτράπεζον γίνεσθαι· ἱερεῦσι δὲ διαφερόντως· οἱ μήτε ζῶντας αὐτοὺς προσεροῦσι, μήτε τελευτήσαντας συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικροπολίτιν ἀποσκυβαλίσει τὴν ἐκκλησίαν, καὶ δέξεται τοὺς ἀποκηρύκτους αὐτῆς, ὡς οὐκ ἀνάγκη τῇ πένητι πείθεσθαι, ἴσω σχίσας τὴν ἐκκλησίαν, ἣν μίαν ὁ Χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε Λευΐτης (η) ἐστὶν, εἴτε πρεσβύτερος, εἴτε ἐπίσκοπος, παρ᾽ ἡμῖν ἐν Ἀνδρονίκου μοίρᾳ τετάξεται, καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιὰν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτε σιτησάμεθα· πολλοῦ δὴ δεήσομεν κοι-

(ζ) Ἐπὶ ἀπάτῃ τῶν προπατόρων. Σὺ δέ μοι σημείωσαι ὁποῖος ἦν ὁ ἀφορισμὸς τῆς ἐκκλησίας τὸ πάλαι, καὶ ποῖος ὁ μετὰ ταῦτα. ἰστέον δὲ ὅτι ὁ Ἀνδρόνικος μετάνοιαν προσποιησάμενος (ὅρα ἐπιστ. 87.) ἐπέσχε τέως ταῦτα τὰ γράμματα· ψευσάμενος δ᾽ ἔπειτα, καὶ ἕτερα καθ᾽ ἑαυτοῦ γραφῆναι παρεσκεύασε. καὶ ὅρα ἐπιστ. 72. καὶ 79. (η) Διάκονος.

κοινωνῆσαι τῆς ἀπορρήτου τελετῆς, τοῖς ἐθελήσασιν ἔχειν μερίδα μετὰ Ἀνδρονίκου καὶ Θόαντος.

Ἀνυσίῳ. 59.

Ὡς δέδωκα τὴν ἐπιστολὴν, εἰ καὶ φιλόσοφός ἐστι τὴν ψυχὴν, ἀλλὰ ῥήτωρ τὴν τέχνην. ἕως μὲν οὖν Ἀνύσιός τε παρῆν, καὶ Πεντάπολις ἦν, ἔτι παρ' ἡμῖν ταύτην εἰργάζετο· ἐπεὶ δὲ ὁ μετὰ σὲ χρόνος τοῖς πολεμίοις ἡμᾶς ἀποδόμενος, δικῶν εἰρήνην ἐποίησεν, ἔγνωκε πλεῖν εἰς ἑτέραν ἀγορὰν, ὅπου γλῶττα ὤνιος, τὸ ῥητόρων ἀγώγιμον, τὸν ῥήτορα γνώριμον ποιεῖ. μνήστευσον αὐτῷ φιλίαν ἀνδρὸς λαχόντος ἄρχειν ἐθνῶν· καὶ, ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, ὃν αἰτήσεις τὴν χάριν, εἴσεταί σοι τὴν χάριν, ὅταν ἐπανήκῃ μετὰ τὴν πεῖραν.

*) Αὐξεντίῳ. 60.

Ἢν καταψωμαί σε φιλίας ἀδικουμένης, καὶ Θεοῦ, καὶ θείων ἀνδρῶν δικαζόντων, ἁπάσαις αἱρήσω· τίς γὰρ παρενθήκη (α) σοι γέγονα τοῦ

πόθους

---

*) Ὁ ἀδελφὸς τοῦ Συνεσίου διαφερόμενος, καίτοι παρὰ γνώμην Συνεσίου, τῷ τοῦ Αὐξεντίου φίλῳ Σαββατίῳ ὑπὲρ τοῦ Φωτίου, οὐδὲ ὑπὸ Αὐξεντίου κωλυόμενος ἐπαύετο. ὁ γοῦν Συνέσιος προκληθεὶς εἰς διαλλαγὴν τυχὸν τῶν διαφερομένων, ἢ καὶ εἰς μαρτυρίαν ὧν ἑκατέροις σύνοιδε, τὸ μὲν πρῶτον, ἀπήντησε, νέος τε ὢν καὶ λαϊκὸς κἂν τῷ δικολογεῖν φιλότιμος· τῆς δὲ διαφορᾶς μετὰ χρόνον, ὡς ἔοικεν, ἀνακινηθείσης, προκληθεὶς πάλιν ἐπὶ τοῖς αὐτοῖς, τὴν πρόκλησιν οὐ προσήκατο, γῆράς τε ἀφιλότιμον προβαλλόμενος, καὶ ὡς εἴη ἀπειρημένον ἱερεῦσι μαρτυρεῖν ἐν δίκαις, ὥσπερ οὖν καὶ δικολογεῖν. Ἐπὶ τούτοις ὑπομνήσας τὸν Αὐξέντιον ὁ Συνέσιος, ὧν ἐκείνῳ ἐν νεότητι ἐκοινώνησε, τροφῶν, λέγω, καὶ παιδείας, καὶ τῆς ἐν τῇ πόλει διατριβῆς, ἠξίου αὐτὸν ἐκεῖνα μᾶλλον ἡγεῖσθαι αἱρετώτερα, εἴτ' οὖν αἰδεσιμώτερα, ἢ τὰς τοῦ Σαββατίου δίκας ὥστε, φημὶ, Συνεσίῳ φιλιάζειν μᾶλλον δι' ἐκεῖνα τὰ σφίσι κοινὰ, ἢ ἀπεχθάνεσθαι διὰ τὰς ἑτέρων διαφορὰς, ὧν οὐδὲν κοινὸν Αὐξεντίῳ καὶ Συνεσίῳ. (α) Προσθήκη.

πρὸς τὸν ἀδελφὸν δυσμενείας; ἐπειδὴ γὰρ ἐκεῖνος, οὐδ' ἐμοὶ δοκοῦν, ἐπολιτεύετο κατὰ Σαββατίου τῷ μακαρίτῃ Φάῳ, σὺ δὲ αὐτὸν, λέγων, οὐκ ἔπειθες, ἔτρεψας ἐπ' ἐμὲ τὴν ὀργὴν, καὶ ἐποίεις κακὸν ὅσον ἠδύνω. κἀγὼ, τότε γὰρ ἄξιον, ἐδεξάμην τὴν πρόκλησιν τῆς διαφορᾶς· νυνὶ δὲ οὔτε ἔξεστιν, οὔτε βούλομαι· ἥτε γὰρ ἡλικία καλῶς ποιοῦσα μαραίνει μοι τὸ φιλότιμον· καὶ ἱεροὶ, φασὶ, νόμοι κωλύουσιν. ἅμα δὲ ὑπομιμνήσκομαι καὶ κοινῶν τροφῶν, καὶ παιδείας, καὶ τῆς ἐν Κυρήνῃ διατριβῆς, ἃ χρὴ νομίσαι τῆς Σαββατίου δίκης ἰσχυρότερα. ἄρχου δὴ φιλίας ἀγαθοῦ πράγματος, καὶ χαῖρε παρ' ἐμοῦ ζημίαν ἡγούμενος τὸν χρόνον, ὃν ἐσιώπησα, πῶς οἴει; καὶ τότε δακνόμενος, ἀλλ' ἐνεκαρτέρουν, ὡς οἷόν τε· τοιοῦτόν ἐστι τὸ διαφιλοτιμεῖσθαι κακόν (α).

Πυλαιμένει. 61.

Δάπιδα μεγάλην τῶν Αἰγυπτίων, οὐχ οἵαν ὑποβεβλῆσθαι στρωμνῇ, ἀλλ' οἵαν αὐτὴν εἶναι καὶ μόνην στρωμνὴν, Ἀστέριος ὁ ταχυγράφος ἰδὼν, ᾔτησε παρ' ἡμῶν, ὁπηνίκα με περὶ τῶν μεγάλων ἀρχείων ἔδει καθεύδειν. ταύτην ὑπεσχόμην ἄξιον ἀπολείψειν αὐτῷ δῶρον· οὐ γὰρ ἦν πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενον τοιαῦτα χαρίζεσθαι. νῦν οὖν ἐκπέμπω· τότε γὰρ οὐ κατέλιπον· σὺ δὲ δώσεις αὐτῷ, μετὰ τῆς ἀπολογίας, ἧς αὐτὸς ἔσῃ μάρτυς, ἂν ὑπομνησθῇς τῶν καιρῶν, καὶ περὶ οὓς, (καὶ) καθ' οὓς ἀνεχώρουν τοῦ ἄστεος. ἔσειεν ὁ Θεὸς τῆς ἡμέρας πολλάκις· καὶ πρὸς ἱκετηρίας ἦσαν οἱ ἄνθρωποι, πρηνεῖς οἱ πλείους· τὸ γὰρ ἔδαφος ἐκραδαίνετο. ἐν ᾧ νομίσας ἐγὼ τὴν θάλατταν τῆς γῆς ἀσφαλέστε-

ρον

(α) Τὸ γὰρ ἐπιδεικτικῶς, εἴτ' οὖν φιλονείκως διαμάχεσθαι, ὅπερ προκληθεὶς ἐποίησεν ὁ Συνέσιος συνηγορήσας τῷ Ἀδελφῷ κατὰ τοῦ Σαββατίου, ψυκτικὸν ἐγένετο τῆς ἑκατέρων πρὸς ἀλλήλους φιλίας, Αὐξεντίου λέγω καὶ Συνεσίου. Τὸ δὲ ἄρχου φιλίας ἄλλοι ἔχου γράφουσι.

ςον καὶ τὸ πέλαγος, κατατείνω δρόμον ἐπὶ τὸν λιμένα, μηδενὶ λόγον δοὺς, ὅτι μὴ τῷ μακαρίτῃ Φωτίῳ, καὶ τοῦτον πόῤῥωθεν ἐγκραγὼν, καὶ τῇ χειρὶ σημήνας, ὅτι οἰχήσομαι. ὁ δὲ, Αὐρηλιανὸν φίλον ἄνδρα καὶ ὕπατον ἀφεὶς ἀπροσαύδητον, ἀπολελόγηται περὶ τῆς αὐτῆς πρὸς τὸν ὑπηρέτην Ἀστέριον. τότε μὲν οὕτως ἐγένετο· εἰ δὲ μετὰ τὴν ἐμὴν ἐκεῖθεν ἀποδημίαν τρίτον τουτονὶ στόλον ἡ ναῦς εἰς τἀπὶ Θράκης χωρία στέλλεται, ἀλλὰ νῦν πρῶτον ὑπ' ἐμοῦ στέλλεται. νῦν ὅτε πρῶτον ἔξεστιν, ἀποδίδωμι διὰ σοῦ τὸ χρέος. χάρισαί μοι τὸν ἄνθρωπον ἐξευρών· τοὔνομα μὲν δὴ καὶ τὸ ἐπιτήδευμα φθάνω δηλώσας· ἀλλὰ δεῖ πλείω προσθεῖναι γνωρίσματα· γένοιτο γὰρ ἄν τις ὁμώνυμος καὶ ὁμότεχνος· χαλεπῶς δὲ ἅπαντα ταὐτῷ συγκυρεῖ· ἀλλὰ γένοιτο γὰρ ἂν ἐν τῷ χρόνῳ. Σύρος τὸ γένος, μέλας τὸ χρῶμα, τὸ πρόσωπον ἰσχνὸς, τὸ μέγεθος μέτριος, οἰκεῖ παρὰ τὴν βασιλικὴν οἰκίαν, οὐ τὴν δημοσίαν, ἀλλὰ τὴν κατόπιν αὐτῆς, ἥτις Ἀβλαβίου μὲν πρότερον ἦν, νυνὶ δὲ Πλακιδίας ἐστὶ τῆς τοῖν βασιλέοιν ἀδελφῆς. εἰ δὲ μετῴκησε· γινόμενον γάρ· σὺ δὲ ἀλλὰ Μάρκον ζητήσεις φανερώτατον ἄνδρα, τὸν ἐκ τῆς ὑπάρχου τάξεως· οὗτος ἦν τότε τῆς συμμορίας ἄρχων τῶν ταχυγράφων τῆς τὸν Ἀστέριον ἐχούσης. εὑρήσεις οὖν διὰ Μάρκου τὴν συμμορίαν, ἧς οὐκ Ἀστέριος ἔσχατος, ἀλλ' ἐν αὐτοῖς τρίτος, ἢ τέταρτος· νυνὶ δὲ κἂν πρῶτος εἴη. τούτῳ δώσεις τὴν παχεῖαν ταύτην δάπιδα, καὶ πρὸς αὐτὸν ἐρεῖς, ἅττα ἡμεῖς περὶ τοῦ χρόνου πρὸς σέ· εἰ δὲ βούλει, καὶ τὴν ἐπιστολὴν αὐτὴν ἀναγνώσῃ· σχολὴν γὰρ ἡμῖν ὁ πόλεμος οὐ δίδωσι, τοῦ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι· εἶναι δὲ δικαίους, οὐδὲν ἴσως κωλύει· μήποτε τοσοῦτον δυνηθείη τὰ ὅπλα.

*) Τῷ ἡγεμόνι. 62.

Μισθὸς ἀρετῆς ἔπαινος, ὃν εἰσφέρομεν Μαρκελλίνῳ τῷ λαμπροτάτῳ, νῦν ὅτε πέπαυται τῆς ἀρχῆς, νῦν ὅτε κολάζει κο-

*) Ἔθος ἦν, ὡς ἔοικε, τοὺς τῶν πόλεων ἄρχοντας, τῆς ἀρχῆς πεπαυμένους λαμβάνειν παρ' ἧς ἦρξαν πόλεως μαρτυρίαν εὐνομίας, ἵνα ἔχωσιν ἐκ τούτου καὶ εἰς μείζονα ἀρχὴν προσαναβαίνειν.

λακείας ἁπάσης ὑπόνοια. ὅστις παραλαβὼν πολεμȣμένας τὰς πόλεις ἔξωθεν μὲν, ὑπὸ πλήθȣς καὶ μανίας βαρβαρικῆς, ἔνδοθεν δὲ, ὑπὸ ςρατιωτικῆς ἀταξίας καὶ τῆς τῶν ταξιαρχῶν πλεονεξίας, ὥσπερ Θεὸς ἐπιφανεὶς, μάχῃ μὲν μιᾷ τοὺς πολεμίȣς, ἐπιμελείᾳ δὲ καθημερινῇ τοὺς ὑπηκόȣς σωφρονεςέρȣς ἐποίησε· καὶ παρεσκεύασεν ἀπ' ἀμφοῖν τῶν δεινῶν εἰρήνην ταῖς πόλεσιν. ὑπερεῖδε κερδῶν, ἃ δοκεῖν εἶναι νόμιμα πεποίηκεν ἡ συνήθεια· οὐκ ἐπεβȣλευσε πλȣ́τῳ, πενίαν οὐχ ὕβρισε· τὰ πρὸς Θεὸν εὐσεβὴς, τὰ πρὸς πολιτευομένȣς δίκαιος, τὰ πρὸς δεομένȣς φιλάνθρωπος. διὰ τȣ̃το φιλόσοφος ἱερεὺς ἐπαινῶν αὐτὸν, οὐκ αἰσχύνεται· παρ' ᾧ μηδεὶς εὕρατο μαρτυρίαν χάριτι δεδεκασμένην. παρεῖναι μὲν οὖν ὑμῖν καὶ τὸ δικαςήριον (α) ἐβȣλόμεθα, καὶ κοινῇ καὶ καθ' ἕνα Πτολεμαίων ἕκαςος ἀντεισενέγκαμεν αὐτῷ τὸν δυνατὸν, εἰ μὴ τὸν δίκαιον ἔρανον, ὅτι λόγος ἔργȣ παράπολὺ ἥττων ἐςί (β)· πάντως ἂν ἐγὼ καὶ τότε τȣ̃ κοινȣ̃ προηγόρευσα· ἐπεὶ δὲ τυγχάνει ὢν ὑπερόριος, ἐν γράμμασιν αὐτῷ τὴν μαρτυρίαν κατατιθέμεθα, οὐκ ἐνοχληθέντες (γ), ἀλλ' ἐνοχλήσαντες.

Ἰωάννῃ. 63.

Χρῆσθαι δεῖ ταῖς τῶν δυνατῶν φιλίαις, οὐ καταχρῆσθαι (α)

(α) Ἐκ περιȣσίας καὶ τὸ ἄψυχον κινεῖ δικαςήριον, ἵνα μαρτυρήσῃ τῷ δικαςῇ δικαιοσύνην. (β) Ἔργῳ γὰρ ἀδυνατȣ̃ντες, λόγῳ τȣ̃τον ἀμειβόμεθα. (γ) Οὐ παρ' αὐτȣ̃ προτραπέντες, βιασθέντες ἐπαινέσαι αὐτὸν, ἀλλ' ἡμεῖς μᾶλλον ἐνοχλήσαντες αὐτὸν τοῖς ἐπαίνοις. οὐκ οἶδα δὲ ἔγωγε ὅπως ποτέ τις ἐφ' οἷς κατορθοῖ ἐπαινȣ́μενος, ἐνοχλεῖται, ἀλλὰ μὴ μᾶλλον χαίρει. εἰ μήτις λέγοι ὅτι οἱ ἔπαινοι μείζονα τῆς προτέρας ἀρχὴν αὐτῷ μνηςεύοντες εἰς πράγματα πάλιν ἐμβάλλȣσιν, ὧν πεπαυμένος τῆς ἀρχῆς ἀπηλλάγη.

(α) Μόλις καὶ σπανίως καὶ διὰ χρόνȣ ἐντευκτέον τῶν ἀρχόντων τοῖς φίλοις, ἵνα ᾖ ἐπιτυχὴς ἡ ἔντευξις, ἀλλὰ μὴ πυκνῶς· πλησμονὴ γὰρ ἁπάντων κατὰ τὸν Ἰσοκράτην· καὶ κατὰ τὸν Παροιμιαςὴν δὲ σπάνιον εἴσαγε σὸν

Τῷ αὐτῷ. 64.

Μὴ αἴτει μεγάλα, ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.

Τῷ ἀδελφῷ. 65.

Ἄμφω σοι Διονυσίους ἀπέστειλα, ἵνα τῶν βιβλίων, τὸ μὲν ᾖς εἰληφώς, τό δ' ἀπειληφώς.

*) Θεοφίλῳ. 66.

Πεῦσίν τινα πυθέσθαι σου προελόμενος, περὶ οὗ πεύσομαι, προαφηγήσασθαι βούλομαι. Ἀλέξανδρος ἀπὸ βουλῆς Κυρηναῖος, ἔτι μει-

---

πόδα ἐπὶ σὸν φίλον, μήποτε πλησθείς σου μισήσῃ σε (25. 17.) ἢ καὶ οὕτω, ταῖς τῶν ἀρχόντων φιλίαις ἐπ' εὐεργεσίᾳ, οὐκ ἐπὶ βλάβῃ τῶν πλησίον χρηστέον.

*) Ἡ περὶ τὸν Θεόφιλον Ἀλεξανδρείας παράνομος, μᾶλλον δὲ καὶ λῃστρικὴ κατὰ τοῦ θείου Χρυσοστόμου σύνοδος, καθελοῦσα αὐτὸν ἐπὶ ψευδέσι κατηγορίαις, τῆς τε πόλεως ἐξήλασε χειρὶ βασιλικῇ, καὶ εἰς τὰ ἔσχατα τῆς τῶν Ῥωμαίων ἡγεμονίας κατὰ τὸν Πόντον ἐξέπεμψε, κἀκεῖ τὸν βίον εἰς τὸν ἀγήρω αἰῶνα μετήλλαξεν. οὐ μὴν ἀλλὰ καὶ τῶν ἐπισκόπων πλεῖστοι ὅσοι δι' ἐκεῖνον τῶν ἐκκλησιῶν ἐξελαθέντες, αὐτὰς ᾤκησαν τὰς τῆς οἰκουμένης ἐσχατιὰς, ὧν εἷς ἦν, ὡς ἔοικε, καὶ ὁ Ἀλέξανδρος. Τῶν δὲ ἐπισκόπων οἵτε τῆς Εὐρώπης καὶ οἱ Ἰλλυριοὶ πάντες καὶ οἱ τῆς ἑσπέρας τῶν ἐν Αἰγύπτῳ καὶ τῇ Ἑῴᾳ καὶ τῶν ἐν Βοσπόρῳ καὶ τῇ Θρᾴκῃ, ταύτην βδελυξάμενοι διαφερόντος τὴν ἀδικίαν τῆς τῶν δεδρακότων σφᾶς αὐτοὺς ἀπέκλιναν κοινωνίας, καὶ οὐ πρότερον τὴν κοινωνίαν ἠσπάσαντο ἕως τοῦ θεσπεσίου ἐκείνου ἀνδρὸς τοὔνομα τοῖς τεθνεῶσιν ἐπισκόποις ἐντοῖς διπτύχοις ἑκόντες ἀέκοντες οἱ περὶ τὸν Θεόφιλον συνέταξαν. οὕτως οὖν διαλλαγεισῶν τῶν στασιασθεισῶν ἐκκλησιῶν, καὶ τοῦ Θεοφίλου οἷς ἐξήλασεν ἐπισκόποις ἀμνηστίαν καὶ ἀνάκλησιν δόντος, οἱ μὲν ἄλλοι τῶν ἐξελαθέντων ἐπανῆλθον εἰς τὴν ἑαυτῶν καθέδραν, ὁ δὲ Ἀλέξανδρος καταλαβεῖν τὴν ἑαυτοῦ οὐκ οἶδ' ὅπως παρῃτήσατο. (ἐκ τῆς Ἐκκλ. ἱς. Θεοδωρήτου κατ' ἐπιτομὴν λόγ. ε, κεφ. λδ'.

μειράκιον ὢν, εἰς μοναδικὸν βίον ἐτέλεσε. τῇ δὲ ἡλικίᾳ συμπροϊούσης τῆς μοναδικῆς τῆς κατὰ τὸν βίον ἐνστάσεως (α), ἠξιώθη μὲν ἐκκλησιαστικῆς διακονίας, ἠξιώθη δὲ τοῦ πρεσβύτερος εἶναι. κατὰ δέ τινα χρείαν ἐπὶ (τοῦ) στρατοπέδου γενόμενος, καὶ Ἰωάννῃ τῷ μακαρίτῃ συστάς· τιμάσθω γὰρ παρ' ἡμῶν ἡ μνήμη τοῦ τελευτήσαντος, ὅτι πᾶσα δυσμένεια τῷ βίῳ τούτῳ συναποτίθεται· τούτῳ συστάς, πρὶν μὲν στασιασθῆναι τὰς ἐκκλησίας, ὑπὸ τῶν ἐκείνου χειρῶν ἐπίσκοπος ἀνεδείχθη τῆς Βιθυνῶν Βασινουπόλεως· συμβάσης δὲ τῆς διαφορᾶς, διέμεινε τῷ χειροτονήσαντι φίλος, καὶ γέγονε τῶν ἐκείνου στασιωτῶν. ἐπεὶ δὲ ἡ συνοδικὴ γνώμη κατίσχυσε (β), χρόνον μέν τινα συνέμεινεν ἡ στάσις· τί δ' ἂν διηγοίμην εἰδότι, μᾶλλον δὲ αὐτῷ διῳκηκότι τὰ περὶ τὰς γενομένας διαλλαγάς; ἐπεί τι καὶ βιβλίον ἀνέγνων σοφὸν, ὃ πρὸς τὸν μακάριον, ἐμοὶ δοκεῖν, Ἀττικὸν ἔγραφες, ἐνάγων αὐτὸν τῇ καταδοχῇ τῶν ἀνδρῶν. τὰ μὲν δὴ μέχρι τούτου Ἀλεξάνδρῳ πρὸς τοὺς συναποστάντας κοινά (γ)· ἴδιον δὲ, ἢ μετ' ὀλίγων, ὅτι τουτὶ μὲν ἔτος ἤδη τρίτον ἐξήκει, μετὰ τὴν ἀμνηστίαν καὶ τὰς διαλλαγάς· ὁ δὲ, οὐκ ἐβάδισε τὴν εὐθὺ Βιθυνίας, οὐδὲ τῆς λαχούσης αὐτὸν καθέδρας ἐλάβετο· μένει δὲ παρ' ἡμῖν, ὥσπερ μηδὲν αὐτῷ διαφέρον, ἂν καί τις ὡς ἰδιώτῃ προσφέρηται. ἐγὼ μὲν οὖν οὔτε πόρρωθεν ἐντετράφην τοῖς νόμοις τοῖς ἱεροῖς, οὔτε ἤδη μοι καθήκει πολλὰ μεμαθηκέναι πέρυσιν οὔπω γεγονότι τοῦ καταλόγου· αἰσθόμενος δὲ γέροντας ἐνίους οὐδ' αὐτοὺς μέν τι σαφὲς εἰδέναι προσποιουμένους, ἀποδεδειλιακότας δὲ (δ), μὴ λάθωσι πρός τινα κανόνα τῆς ἐκκλησίας προσκόψαντες, καὶ διὰ τοῦτο παντάπασιν ἀπηνέστερον αὐτῷ

τῷ

(α) Τὸ δεύτερον ἄρθρον, οἷον τὸ, τῆς, ὡς ἀσύντακτον ὀβελιστέον· ἔνστασιν δὲ ἐνταῦθα ληπτέον τὴν οἰκονομίαν, διόρθωσιν καὶ ὅρα τὸν Βαρῖνον.

(β) Ἡ περὶ τὸν Θεόφιλον, ὁρίσασα τοὺς τοῦ Χρυσοστόμου στασιώτας ἐξελαθῆναι τῶν ἰδίων ἐκκλησιῶν. (γ) Κατὰ γὰρ ἐκείνους καὶ οὗτος ἀπελήλατο.

(δ) Ἐδεδίεσαν γὰρ μὴ λάθοιεν τῷ ἀπόλιδι ὡς πολίτῃ, ὅ ἐστι τῷ μὴ ἐπισκόπῳ κοινωνήσαντες. οἱ γὰρ παραιτησάμενοι κινδυνεύουσι μὴ εἶναι ἐπίσκοποι κατὰ τὴν τῆς γ', συνόδου ἐπιστ: πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον.

τῷ προσενηνεγμένους, καὶ περὶ ἀσαφοῦς ὑπονοίας ἀτιμίαν σαφῆ τοῦ ξένου κατασκεδάσαντας, οἱ μηδὲ κοινῆς στέγης ἠνέχοντο, οὔτε ἐμεμψάμην, οὔτε ἐμιμησάμην αὐτούς. οἶσθα οὖν ὅπως ἐποίησα πάτερ σεβασμιώτατε; ἐκκλησίᾳ μὲν οὐκ ἐδεξάμην αὐτὸν, οὐδὲ τραπέζης ἱερᾶς ἐκοινώνησα· οἴκοι δὲ ἴσα καὶ τοῖς ἀναιτίοις ἐτίμησα. ὅστις ὁ τρόπος καὶ ἐπὶ τῶν ἐπιχωρίων ἐμός. ὅταν τὶς αὐτῶν ἐφέσιος ἡμῖν γένηται, παντὶ παντὸς ἔργου καὶ λόγου τιμὴν ἔχοντος ἐξιστάμεθα, φλυαρεῖν ἡγούμενοι τοὺς δυσχεραίνοντας, ὅτι τὰ μητρῷα τῆς πόλεως (ε) καταβάλλομεν δίκαια· καίτοι διὰ τοῦτο τὰς ἁπάντων φροντίδας κατωμαδὸν ἀράμενος φέρω, καὶ μόνος ὑπὲρ τῶν ἁπάντων ἀχολοῦμαι σχολῆς. ἀλλ' ἐν καλῷ μοι κείσεται παρὰ τῷ Θεῷ, πλεονεκτεῖν μὲν πόνοις, μειονεκτεῖν δὲ τιμῶν. καὶ τὸν Ἀλέξανδρον δὲ τοῦτον, ὅταν μὲν εἰς ἐκκλησίαν προΐω, βουλοίμην μὲν ἂν μηδαμόθεν τῆς ἀγορᾶς ἰδεῖν· συμβὰν δὲ ἰδεῖν, ἑτέρωσέ ποι τρέπω τοὺς ὀφθαλμοὺς, καὶ εὐθὺς ἐπανθεῖ μοι κατὰ τῆς παρειᾶς ἐρύθημα· ὑπερβάντα δὲ τὴν οἰκείαν αὐλὴν, καὶ γενόμενον ὁμωρόφιον, ἅπασι τοῖς εἰκόσι τιμῶ. τί δήποτ' οὖν ἀσύμφωνός εἰμι πρὸς ἐμαυτὸν ἰδίᾳ καὶ δημοσίᾳ, ἐν οὐδετέρῳ τῶν καιρῶν δεδογμένα ποιῶν, ἀλλὰ τὸ μὲν, εἴκω τῷ νόμῳ, τὰ δὲ, τῇ φύσει χαρίζομαι ῥεπούσῃ πρὸς τὸ φιλάνθρωπον, καίτοι κἂν ἀπεβιασάμην τὴν φύσιν, εἴ τι σαφὲς ἠπιστάμην ὑπὲρ τοῦ νόμου; αὐτὸ δὴ τοῦτό ἐστι τὸ ἐρώτημα, πρὸς ὃ δεῖ τὴν αὐθεντίαν τῆς εὐαγγελικῆς διαδοχῆς ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς, καὶ ὥσπερ πυνθάνομαι· Ἀλέξανδρον ἐπίσκοπον χρὴ νομίζειν, ἢ μή.

*) Τῷ αὐτῷ. 67.

Ἐγὼ καὶ βούλομαι καὶ ἀνάγκη μοι θεία, νόμον ἡγεῖσθαι, πᾶν

(ε) Ὅτι δηλ: δέον ἡμᾶς ὡς μητροπολίτας ὑπό τε τῶν ἐπιχωρίων, καὶ τῶν ξένων εἴτ' οὖν παρεπιδήμων ἐπισκόπων τιμᾶσθαι προκαθεζομένους, ἡμεῖς δὲ τοὐναντίον τῆς ἰδίας ἁπάσης τιμῆς ἐκείνοις οἴκοι παραχωροῦμεν ὡς καὶ κοπιῶσι ἐν τῇ τούτων διακονικῇ θεραπείᾳ.

*) Παλαίβισκα καὶ Ὕδραξ τὸ Πάλαι Ἐρυθρίτιδες οὖσαι, ὅ ἐστιν ὑπὸ τὸν Ἐρυθροῦ ἐπίσκοπον Ὠρίωνα τελοῦσαι, ἔπειτα ἀποστᾶσαι ἐκείνου, ὡς καὶ

ὅ,τι ἂν ἐκεῖνος ὁ θρόνος θεσπίσῃ· διὰ τοῦτο καὶ πένθιμον ἀχολίαν παραιτησάμενος, καὶ νοσοκομούμενον ἔτι τὸ σῶμα πρὸς τοὺς πόνους ἐκβιασάμενος, καὶ διοδεύσας τὴν ὕποπτον, ὡς ἀνύποπτον, ἣν διετείχισεν ὅπλα πολέμια, γέγονα κατὰ Παλαίβισκάν τε καὶ Ὕδρακα· κῶμαι δὲ αὗται Πενταπόλεως, καὶ τῆς διψηρᾶς Λιβύης αὐτὰ τὰ μεθόρια. ἐν αἷς τόν τε δῆμον ἐκκλησιάσας, καὶ γράμματα, τὰ μὲν, ἀναγνοὺς, τὰ δὲ, ἀποδούς· τὰ μὲν, γὰρ ἦν πρὸς αὐτοὺς, τὰ δὲ περὶ αὐτῶν πρὸς ἐμέ· καὶ λόγους διεξελθὼν ἐπιτηδείους εἰς ἀρχαιρεσίαν εἰς τὸ καὶ πεῖσαι, καὶ εἰ προχωροίη, βιάσασθαι προθέσθαι τὴν περὶ ἐπισκόπου σκέψιν, οὐκ ἐξενίκησα τοῦ δήμου τὴν περὶ τὸν εὐλαβέστατον Παῦλον σπουδήν. ἀξιῶ πιστεύεσθαι παρὰ πατρός· οὐκ ἦν μοι βουλομένῳ μάτην δεδραμηκέναι· πολλὰ τιμῶντί με τῷ δήμῳ προσέκοψα· τοὺς φανερωτάτους αὐτῶν, εἴ τις ἀνέκραγε μεῖζον, εἴτις εὑράμενος κρηπῖδα καὶ ἐπαναβὰς αὐτῇ, καὶ προήγορος ἠξίωσεν εἶναι, καὶ λόγον ἀπέτεινεν, ὡς ὠνίους, ὡς συνωμότας, ὑπηρετῶν χερσὶ παραδιδοὺς, ἐκκυλισθῆναι τῆς ἐκκλησίας ὠθουμένους, προσέταξα. συγχεθέντα δὲ αὖθις

δι᾽ ἔσχατον γῆρας καὶ δι᾽ ἄκραν πρᾳότητα προςατεῖν αὐτῶν τὰ πολιτικὰ ἀδυνατοῦντος, προὐβάλοντο περιόντος ἐκείνου Σιδήριον ἑαυτῶν ἐπίσκοπον ῥέκτην ἄνδρα, οἷον ἐχθροὺς τε κακῶσαι καὶ φίλους ὀνῆσαι. καὶ τοῦτον οὐχ ὑπὸ τριῶν κατὰ τοὺς κανόνας ἀλλ᾽ ὑφ᾽ ἑνὸς Φίλωνος χειροτονηθέντα, διὰ τὸ ἐν τοῖς καιροῖς ἐκείνοις τῶν ἐπισκόπων ἀπαῤῥησίαςον. καὶ ἦσαν τέως ἐπισκοποῦντες Ἐρυθροῦ μὲν, Ὠρίων, Παλαιβίσκης δὲ καὶ Ὕδρακος, Σιδήριος. τοῦ δὲ Σιδηρίου ἔν τινι τῶν τῆς Πτολεμαΐδος κωμῶν, ἔνθα κατὰ κέλευσιν τοῦ μεγάλου Ἀθανασίου ὑπὲρ τοῦ ὀρθοῦ λόγου διέβη, τὸν βίον ἀδιαδόχως καταλύσαντος, Παλαιβίσκα καὶ Ὕδραξ δόγματι, φασὶ, τοῦ Θεοφίλου κατὰ τὸ ἀρχαῖον πρὸς τὸ Ἐρυθρὸν ἀνελήφθησαν, ἐπίσκοπον ἑαυτῶν καθ᾽ αἵρεσιν προβαλόμεναι τῇ ἐπιστολιμαίᾳ Θεοφίλου ἐκδόσει τὸν Παῦλον. Τοῦ δ᾽ οὖν Θεοφίλου ἔπειτα οὐκ οἶδ᾽ ὅπως εἴτε ἐκ λήθης, εἴτε ἐκ παλιμβόλου μεταμελείας ἕτερον ἀντὶ τοῦ Παύλου ἐπίσκοπον Ἐρυθροῦ καταστῆσαι τὸν Συνέσιον πέμψαντος, ἐκεῖνοι τοῦ Παύλου κραταιῶς περιείχοντο, οὐδ᾽ ἂν εἴτι καὶ γένοιτο μεθήσειν αὐτὸν διατεινόμενοι, ὡς καὶ τῇ Θεοφίλου, φασὶν, ἐκδόσει ἐνθρονισθέντα, καὶ τῇ εὐνοίᾳ πάσης συγγενείας λόγον πρὸς αὐτοὺς ἔχοντα, ἦν καὶ γὰρ ἐν νεανικῇ ἡλικίᾳ πολιὸς τὴν φρόνησιν.

θις καὶ πολλάκις ἀναλαβών τε καὶ καταστήσας τὸν δῆμον, διὰ πάσης ἦλθον ἐν λόγοις ὁδοῦ, τὸν Ἀρχιερατικὸν ἐκεῖνον θρόνον ἀποσεμνύνων, καὶ πείθων ὅτι διὰ τῆς εἰς ὑμᾶς ἀθετήσεως καὶ τιμῆς, ὁ Θεὸς ἀθετεῖται δὴ καὶ τιμᾶται· οἱ δὲ, εὐφήμῳ τε φωνῇ τὸ μακάριον ὄνομα τῆς σῆς θεοσεβείας ἐπεκαλέσαντο, καὶ πεσόντες ἱκέτευον, ὡς πρὸς παρόντα τὰς ἐκβοήσεις, καὶ τὰς ὀλοφύρσεις ποιούμενοι. τὸ μὲν οὖν τῶν ἀνδρῶν, εἰ καὶ πέρα προσδοκίας, ἀλλ' ἔλαττον ἦν· αἱ δὲ γυναῖκες, πρᾶγμα δυσμεταχείριστον, χεῖρας αἴρουσαι, βρέφη προτείνουσαι, μύουσαι τοὺς ὀφθαλμοὺς, ἵνα μὴ εἰς ἔρημον τοῦ συνήθους προεστῶτος τὸν θρόνον ἐνατενίσειαν, μικρὸν ἐδέησαν τοὺς τἀναντία πολιτευομένους ἡμᾶς, εἰς πάθος παραπλήσιον ἐκκαλέσασθαι· ὅπερ ἵνα μὴ πάθω φοβηθείς· ἠθανόμην γὰρ ἀγόμενος· ἔλυσα τὴν ἐκκλησίαν, καὶ εἰς τετάρτην ἥκειν ἐπήγγειλα ἐπαρασάμενος τὰς παλαμναιοτάτας ἀρὰς, εἴτις ἐμμίσθως, εἴ τις κατὰ χρείαν, ἢ χάριν, ἢ ὅλως ἰδίᾳ τι διαφέρον αὐτῷ φθέγξαιτό τι τῶν ἡκόντων εἰς τὴν τῆς ἐκκλησίας παράκλησιν. ἧκεν ἡ κυρία, καὶ ὁ δῆμος παρῆν πάλιν ἐνστάτης καὶ ἐναγώνιος· ὃς οὐδὲ περιέμεινε πεῦσιν, ἀλλ' εὐθὺς ἦν ἅπαντα κυκεὼν, φωνὴ παμμιγὴς, ὑπὸ τοῦ λίαν ἐνηχεῖν ταῖς ἀκοαῖς ἀδιάκριτος. κατασιγαζόντων δὲ τῶν ἱεροκηρύκων, εἰς θρῆνον αὐτοῖς ἀπετελεύτησεν ἡ βοή· καὶ ἦν ἄκουσμα σκυθρωπὸν, ἀνδρῶν οἰμωγαὶ, γυναικῶν ὀλολυγαὶ, παίδων ὀλοφυρμοί· ὁ μὲν, ἔφη πατέρα ποθεῖν, ὁ δὲ, υἱὸν, ὁ δὲ, ἀδελφόν. οὕτως ἐμερίζετο ταῖς ἡλικίαις τὰ τῆς συγγενείας ὀνόματα. ἐμοῦ δέ τι μεταξὺ λέγειν ἐπιχειροῦντος, ἀναδείκνυται γραμμάτιον ἐκ μέσου τοῦ πλήθους, καὶ ἐνεύχεταί τις εἰς κοινὸν αὐτὸ πᾶσιν ἀναγνωσθῆναι· τὸ δὲ, ἦν ἐνορκισμὸς πρὸς ἐμὲ παύσασθαι σὺν βίᾳ τοῦ πλήθους ἀποπειρώμενον, καὶ ἀναθέσθαι τὸ σκέμμα, μέχρις ἂν αὐτοῖς δὴ γένηται πρὸς τὴν μακαριωτάτην σου κεφαλὴν ὑπὲρ τούτου ψήφισμα πέμψαι καὶ πρεσβευτήν· μᾶλλον δὲ ἐμοῦ κατεδέοντο ποιήσασθαι συνηγορίαν ἐν γράμμασιν, ἅπερ ἐδιδάχθην διδάσκοντα. ἐλέγετο τοίνυν καὶ ἐν συνεδρίῳ παρὰ τῶν πρεσβυτέρων, καὶ δημοσίᾳ παρὰ

τοῦ πλήθους, καὶ τὸ γραμμάτιον αὐτὰ ταῦτα καθ' ἕκαστον διεξήει, πάτριον εἶναι καὶ ἀποστολικὸν, Ἐρυθρίτιδας εἶναι καὶ ταύτας τὰς ἐκκλησίας, ἀποστασιάσαι δὲ αὐτὰς πρὸς Ὠρίωνα τὸν μακάριον, πορρωτέρω τε ὄντα πρεσβύτην, καὶ αἰτίαν ἔχοντα, πρᾳότατον εἶναι· τοῦτο γὰρ ἤδη καὶ λοιδόρημα γέγονεν ὑπὸ τῶν ἀξιούντων ἱερωσύνην προσ[illegible]τιν εἶναι τὰ εἰς ἀνθρώπους καὶ πολυπράγμονα· καὶ ἐπειδὴ παρέτεινε ζῶν, οὐκ ἀναχέσθαι περιμεῖναι τοῦ δικαίου τὴν τελευτὴν, ἀλλὰ προβαλέσθαι τὸν μακαρίτην Σιδήριον· ἐδόκει γὰρ οὗτος νέος τε εἶναι, καὶ ῥέκτης ἀνὴρ, ἀπὸ τῆς παρὰ βασιλεῖ Βάλεντι στρατείας ἥκων κατὰ χρείαν ἀνδρῶν αἰτηθέντων ἐπιμελείας, οἷος ἐχθροὺς τε κακῶσαι, καὶ φίλους ὀνῆσαι. τότε δὲ καὶ ἐκράτει τὰ τῶν αἱρέσεων· πλήθει γὰρ περιῆσαν, καὶ καιρὸν εἶχεν ἡ δεινότης, ὄργανον οὖσα φρονήσεως. τοῦτον οὖν ἕνα καὶ μόνον ἀποδεδεῖχθαι Παλαιβίσκης ἐπίσκοπον· ἀλλ' οὐδὲ τοῦτον ἐνθέσμως, ἐκθέσμως μὲν οὖν, ὅσα γε τῶν γερόντων ἠκούσαμεν, εἰ μήτε ἐν Ἀλεξανδρείᾳ κατέστη, μήτε παρὰ τριῶν ἐνθάδε, καὶ εἰ τὸ σύνθημα τῆς χειροτονίας ἐκεῖθεν ἐδέδοτο· μόνον γάρ φασι δὴ τὸν μακάριον Φίλωνα θαρσῆσαι τὴν τοῦ συνιερέως ἀνάρρησιν. Φίλων ἐγένετο Κυρηναῖος ἔτι παλαιότερος, ὁ τοῦ νεωτέρου θεῖός τε καὶ ὁμώνυμος, τὰ μὲν ἄλλα, ὁποῖον ἂν γένοιτο παίδευμα τοῦ Χριστοῦ, τὰ δὲ εἰς τὸ ἄρχειν καὶ ἄρχεσθαι θαρραλεώτερος μᾶλλον, ἢ νομιμώτερος. ἀλλὰ γὰρ αἰτοῦμαι συγγνώμην ἐπὶ τῷ λόγῳ τὴν ἱερὰν τοῦ πρεσβύτου ψυχήν. τοῦτον ἥκοντα μόνον ἀποδεῖξαί τε καὶ ἐπὶ τοῦ θρόνου καθίσαι τὸν μακαρίτην Σιδήριον. ἀλλ' ἀνάγκη γὰρ ἐν καιροῖς ἀπαρρησιάστοις τὴν ἀκρίβειαν παραβαίνεσθαι· διὰ τοῦτο τὸν πάμμεγαν Ἀθανάσιον συγχωρῆσαί τε τῷ καιρῷ, καὶ μετ' οὐ πολὺ δεῆσαν ἐν Πτολεμαΐδι τὸν ἐνόντα σμικρὸν ἔτι τῆς ὀρθοδοξίας σπινθῆρα θάλψαι τε καὶ ἐπιπλέον ἐξάψαι, τὸν ἄνδρα τοῦτον ὡς μείζοσι πράγμασιν ἐπιτήδειον ἐκεῖ διαβιῶναι κελεῦσαι, τὴν μητροπολῖτιν ἐκκλησίαν ἐπιτροπεύσοντα· γῆρας δ' αὐτὸν εἰς τὰς κωμήτιδας ἐπανήγαγεν. οὗ καταλύσας, οὐκ ἔχε διάδοχον, ὃς οὐδὲ αὐτὸς ὑπῆλθεν ἑτέρου διαδοχήν. Παλαίβισκα δὲ καὶ Ὕδραξ

εἰς

εἰς τὴν ἀρχαίαν τάξιν ἐτάχθησαν, καὶ περὶ τὸ Ἐρυθρὸν ἀνελήφθησαν, δόγματι, φασὶ, τῆς σεβασμίας σου κεφαλῆς. καὶ τούτῳ δὴ μάλιστα πάντων ἐνέκειντο, τῷ μὴ δεῖν ἀθετεῖσθαι τὸν παρὰ σοῦ θρονισμόν. γράμματα μὲν οὖν (ᾔτησα γὰρ) οὐκ εἶχον ἐπιδεικνύναι· ἐπισκόπους δὲ τῶν συνέδρων ἀνίστασαν μάρτυρας· οὗτοι δὲ ἔφασαν ἐπιστολῇ πειθαρχοῦντες ἐκεῖθεν ἡκούσῃ, πεῦσιν περὶ Παύλου προθεῖναι τῷ δήμῳ· καὶ δόξαν ἅπασιν ἐπίσκοπον ἔχειν, ἀνενέγκαι περὶ αὐτοῦ· οὐ δὲ θρονιστὰς ἑτέρους γενέσθαι. καὶ ἔμοι δίδως εἰπεῖν, πάτερ σεβασμιώτατε, ἐκεῖνος ἦν ὄντως ὁ καιρὸς ὁ τῆς σκέψεως. τὸ γὰρ ἀφελέσθαι τοῦ μὴ χαρίσασθαι λυπηρότερον. ἀλλὰ κρατείτω καὶ νῦν ὅ,τι ἂν δόξειε τῇ πατρικῇ σου κεφαλῇ. εἰ γὰρ τὸ δόξαν τότε δίκαιον αὐτοῖς γέγονε, καὶ τοῦτο παροίχονται, τὸ μηκέτι δοκεῖν, τὸ δίκαιον μετατίθησιν. ὥσθ' ὅ,τι ἂν γνῷς, τοῦτο τῷ πλήθει δίκαιον γίνεται· ἀκοὴ γὰρ ζωὴ, καὶ θάνατος ἡ παρακοή. διόπερ οὐκ ἀνταίρουσι χεῖρας, ἀλλ' ἱκετεύουσι μὴ γενέσθαι, ζῶντος αὐτοῖς ἔτι τοῦ πατρὸς ὀρφανοί· οὕτω γὰρ ἐπὶ λέξεως λέγουσι. κἀγὼ τὸν νεανίσκον οὐκ οἶδα πότερον, ἐπαινέσαιμ' ἂν τῆς παρὰ πάντων εὐνοίας, ἢ μακαρίσαιμι. ἢ γὰρ τέχνης ἐστὶ καὶ δυνάμεως, ἢ χάριτος θείας, οὕτω τοὺς ἀνθρώπους ἐξομιλίσαι καὶ καταδημαγωγῆσαι τὸ πλῆθος, ὥςτε τὸν χωρὶς αὐτοῦ βίον ἀβίωτον ἅπασιν εἶναι. δι' ὃ δόξει μὲν περὶ αὐτοῦ τῇ φιλανθρώπῳ σου φύσει φιλανθρωπότερα, ἐμοὶ δὲ ἐπανιτέον εἰς ἄςυ, κἀκεῖ περιμενῶ τοῦ ποιητέου τὸ σύνθημα. ἃ δ' οὖν ἐν ταῖς τέτρασιν ἡμέραις διῳκησάμην, ἃς ἐν τοῖς τῇδε τόποις διέτριψα, τούτων οὐκ ἀγνοήσεις ὅντινα τύπον ἕκαςον εὕρατο. καὶ μὴ θαυμάσῃς εἴ ποτε τὸν αὐτὸν (α) εὖ τε καὶ κακῶς εἰπεῖν μοι συμβαίη· οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἑκάτερα, τὰ πράγματα δὲ ἐπαινεῖται καὶ ψέγεται. ςάσις ἐν τοῖς κατὰ Χριςὸν ἀδελφοῖς, κα-

λὸν

(α) Τὸν Παῦλον λέγει, ὃν ἐπαινέσας τῆς παρὰ πάντων εὐνοίας, μέμψασθαι ἑξῆς ἔχει ἐφ' οἷς τὸ μὴ προσῆκόν οἱ χωρίον ἐπιβούλως περιεποιήσατο.

λὸν μὲν εἰ μηδέποτε φύοιτο· φυεῖσα δὲ, καλὸν εἰ μετὰ μικρὸν παύοιτο (β). διὰ αὐτὸ δὴ τοῦτο τῷ γράμματι καταπεμφθέντι πειθόμενος, διαιτᾶν ὑπεσχόμην, καὶ δέδωκα τὰς ἀκοὰς ἀμφισβητήσει τοιᾶδε. ἐν Ὕδρακι τῇ κώμῃ, χωρίον ἐστὶ τῆς κώμης αὐτὸ τὸ μετεωρότατον, ὃ πάλαι μὲν ἦν φρούριον ἐρυμνότατον, κατασείσαντος δὲ τοῦ Θεοῦ, γέγονεν ἐκλελειμμένον ἐρείπιον. τέως μὲν οὖν ὀλίγοις τισὶ τῶν ἑαυτοῦ μερῶν, εἰς ἑκατέρας (γ) χρείας διεσχημάτιστο· οἱ δὲ παρόντες οὗτοι τῶν πολέμων καιροὶ, δι᾽ ὅ,τι δύναιτ᾽ ἂν ἐκτειχισθῆναι, καὶ εἰς τὴν ἀρχαίαν χρείαν ἐπανελθεῖν, τοῦ παντὸς ἄξιον αὐτὸ τοῖς κεκτημένοις παρέχονται. τοῦτο τοῖς ἀδελφοῖς ἡμῶν (ἤδη δὲ καὶ ἄλλοις) τοῖς εὐλαβεστάτοις ἐπισκόποις Διοσκόρῳ καὶ Παύλῳ τὸ περιμάχητον ἦν. ἐν αἰτίᾳ γὰρ ἐπεποίητο τὸν Ἐρυθρίτην ὁ Δαρδανίτης ἐπιβουλότατα σκέψασθαι, ὅπως ἂν τὸ μὴ προσῆκον περιποιήσαιτο, καθοσιώσαντα μὲν τῷ Θεῷ τόπον ἀλλότριον, ἁρπάσαντα δὲ οὕτως (δ) τὴν τῆς εὐσεβείας ὑπόθεσιν, ἤδη χειρὶ βιαίᾳ προστῆναι τοῦ πανουργήματος. πρὸς ταῦτα ὁ εὐλαβέστατος Παῦλος ἐπεχείρησε μὲν ἀντιλογίας κομίσαι τινὰς, ὅτι τε προκατεσχήκει τὸν λόφον, καὶ ἐκκλησία παλαίτερον ἀπεδέδεικτο, πρὶν τὸν εὐλαβέστατον Διόσκορον ἀποδειχθῆναι τοῦ χωρίου δεσπότην· ἀλλὰ ἂν μὴ μαλακώτερόν τις ἅπτηται τῆς ζητήσεως, ταχὺ τἀληθὲς εὔδηλον γίνεται· ὥσπεροῦν ἅπαν τοῦτο πέφηνεν ἕωλον. τὸ γὰρ ἐν ἐπιδρομῇ τότε πολεμίων ἐκεῖ συμφυγόντας ἀνθρώπους εὔξασθαι τἀναγκαῖα, τοῦτο τὸν τόπον οὐ καθιεροῖ. ἢ πάντα μὲν ὄρη, πᾶσαι δὲ φάραγγες ἐκκλησίαι, καὶ οὐδὲν ὅ,τι φρούριον ἐκφεύγει τὸ δημόσιον εἶναι· ἐν οἷς ἅπασιν ὅταν οἱ πολέμιοι προνομεύσωσιν, εὐχαὶ καὶ μυστήρια γίνονται. οἰκίαι δὲ ὅσαι κατὰ τοὺς ἀθέους τῆς ἐξ Ἀρείου καιροὺς, εὐ-

χὰς

(β) Κατὰ τὸ, *μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν.* (γ) Ἄλ: εἰς ἑτέρας. (δ) Προβαλλόμενος τὴν τοῦ τόπου καθιέρωσιν εἰς ὑπεράσπισιν τῆς ἑαυτοῦ πανουργίας, ὥστε δηλ: διὰ τῆς καθιερώσεως τοῦ τόπου, καὶ ὅλου τοῦ λόφου κυριεῦσαι

χὰς ἐδέξαντο καὶ μυστήρια! ἀλλ' οὐδὲ ἧττόν εἰσιν ἰδιώτιδες· φυγὴ γὰρ κἀκεῖ· καὶ γὰρ ἐκεῖνοι πολέμιοι. ἀλλ' ἐγὼ τὸν καιρὸν ἐζήτουν τῆς καθιδρύσεως, εἰ παρὰ διδόντων, εἰ παρὰ συγχωρούντων τῶν κυρίων ἐγένετο· ἀπεδείχθη λαμπρῶς ἅπαντα τἀναντία· τῶν ἐπισκόπων ὁ μὲν, ᾔτει λαβεῖν, ὁ δὲ, οὐκ ἐδίδου κύριος ὤν· τέλος ὁ μὲν, ᾤχετο τὰς κλεῖς ἔχων, ὁ δὲ, ἀνοίγνυσι, καὶ τράπεζαν εἰσφορήσας, καθιεροῖ μικρὸν οἰκίσκον ἐν λόφῳ πλατεῖ· ἀλλ' οὐ γὰρ ἐπὶ παριτητέον ἐπὶ τὸν οἰκίσκον, εἰ μὴ διὰ ὁλοκλήρου τοῦ πλάτους· ὥστε τέχνη τὶς ἦν, ἐφ' ᾧ τὸν λόφον περιποιήσασθαι. ἐδόκει δή μοι τὸ πρᾶγμα δεινὸν εἶναι, καὶ πέρα δεινοῦ· καὶ ἀγανακτητέον, ὁμοῦ μὲν ὑπὲρ τῶν νόμων τῶν ἱερῶν, ὁμοῦ δὲ καὶ ὑπὲρ τῶν δικαίων τῆς πολιτείας· συγχυθῆναι γὰρ ἅμα πάντα, τοῦτο μὲν, εἰ τρόπος καὶ νόμος ἐπινοηθείη δημεύσεως· τοῦτο δὲ, εἰ διὰ τῶν παναγεστάτων τὰ ἐναγέστατα κρίνοιτο, εὐχὴ, καὶ τράπεζα, καὶ καταπέτασμα μυστικὸν, ἐφόδου βιαίας ὄργανα. καὶ περὶ τούτων ἤδη καὶ ἐν ἄστει διέγνωστο· καὶ συνέτυχε γὰρ οὕτως, ὥστε παρ' ὀλίγους, ἅπαντας ἐπισκόπους ἐν τῇ Πτολεμαΐδι τότε συνδεδραμηκέναι κατά τινα σκέψιν πολιτικήν· ἀκροώμενοι δὲ, τὴν μὲν πρᾶξιν ἐμίσουν, τὴν δὲ μετάθεσιν ὤκνουν· ἐγὼ δὲ τὴν δεισιδαιμονίαν ἀξιῶ διαστέλλειν ἀπὸ τῆς εὐσεβείας· κακία γάρ ἐστιν ἀρετῆς προσωπεῖον περικειμένη, ἣν φιλοσοφία τὸ τρίτον οὖσαν τῆς ἀθεΐας εἶδος ἐφώρασεν. οὐδὲν ἦν ἱερὸν, οὐδὲ ὅσιον ἥγημαι, τὸ μὴ δικαίως τε καὶ ὁσίως γινόμενον. ὅθεν ἐπῄει μοι πεφρικέναι τὴν λεγομένην καθίδρυσιν· οὐ γάρ ἐστι τὰ Χριστιανῶν (ε), ὡς ἐπάναγκες εἶναι

(ε) Οὐκ ἁπλῶς ταῦτα ἐκληπτέον. τὸ γὰρ θεῖον ταῖς τελεστικαῖς ὕλαις τε καὶ φωναῖς τοῦ φωνοῦντος μυσταγωγοῦ μὲν ὄντος, εἰ καὶ ὁ ἐμπαθέστατος εἴη, ἀκολουθεῖ ἀναγκαίως· ἀνιέρου δὲ, κἂν ὁ ἀπαθέστατος ᾖ, οὐδ' ὅλως ἀκολουθεῖ. ἐπεὶ δὲ οὐ περὶ μυστηρίων τελεσιουργίας, ἀλλὰ περὶ τόπου καθιερώσεως ὧδε ὁ λόγος, ἰστέον ὅτι τόπος τῇ μὲν τῶν μυστηρίων τελεσιουργίᾳ οὐ πάντως καθιεροῦται, εἰ καὶ τοὐναντίον τῷ πολιτικῷ νόμῳ δοκεῖ· εἰ γὰρ καὶ κατὰ τὸν μέγαν Βασίλειον οἰκίαι μυστήρια ἐν καιρῷ δεχόμεναι οὐδὲν ἧττον ἰδιωτικαὶ μένουσιν (ὅρα ἐπιτομ, τί)· καὶ παρίημι τοὺς οἴκους, ἐν οἷς οἱ Ἀπόστολοι κα-

εἶναι ταῖς τελεσικαῖς ὕλαις τε καὶ φωναῖς, ὥσπερ ὁλκαῖς (ζ) τισι φυσικαῖς ἀκολουθῆσαι τὸ θεῖον, ὅπερ ἂν πάθοι πνεῦμα ἐγκόσμιον, ἀλλ᾽ ὥςτε παρεῖναι ταῖς ἀπαθέσι καὶ ταῖς οἰκείαις τῷ Θεῷ διαθέσεσιν. ὅπου δὲ ὀργὴ καὶ θυμὸς, ἄγνωμον καὶ δύσερι πάθος ἡγεῖται τῆς πράξεως, πῶς ἐκεῖ τὸ Πνεῦμα τὸ ἅγιον παραγίνεται, ὧν ἐπεισελθόντων, κἂν συμβῇ προενῳκηκὸς, ἐξοικίζεται; ἐγὼ μὲν οὖν εἶχον ὡς ἀποφανούμενος τὴν μετάθεσιν· ὁ δὲ, καὶ ἐξηλέγχετο καὶ πρότερον ὑποσχόμενος αὐτὴν, ὅρκου τὴν ὑπόσχεσιν βεβαιώσαντος. τοῦτο λαβόμενος ἀσμένως, ἤδη τὴν ἀπόφασιν ἀπεδίδρασκον, ἀλλ᾽ ἐκεῖνον αὐτὸν ἀπέφαινον ἑαυτῷ δικαστὴν, καὶ τὸν οἰκεῖον ὅρον ἐκβιβάζειν ἠνάγκαζον. ἀνατιθεμένου δὲ καὶ διατρίβοντος, ἐπειδὴ τῆς ἐκκλησιαστικῆς ἕνεκα σκέψεως αὐτόθι παρεγενόμην, ἐδέησεν ἐπιβαλεῖν τὰς ὄψεις τῷ τόπῳ, καὶ ἐπιδιαγνῶναι τὰ τῆς ὑποθέσεως. καὶ πάλιν παρὴν ὅμιλος ἐπισκόπων ἐκ τῆς περιοικίδος, ἄλλου κατ᾽ ἄλλην χρείαν συνειλεγμένων· ἐφ᾽ ὧν ἁπάντων καμοῦ, οἵτε ὅροι διεδείκνυντο τὴν τοῦ Δαρδανίτου μερίδα σαφῶς ἀποτεμνόμενοι, καὶ μαρτυρία γερόντων, καὶ συγκαταθέσεις τῶν τέως ἀντιλεγόντων τὸν εὐλαβέστατον Διόσκορον τοῦ χωρίου δεσπότην ἀπέφηναν. ἐγκειμένου δὲ τοῦ ἀδελφοῦ Διοσκόρου, γέγονεν ἀνάγκη καὶ τὸ γραμματεῖον τὸ λοίδορον εἰς κοινὸν ἅπασιν ἀναγνωσθῆναι, ὃ πρὸς τὴν ἁγιότητα τὴν σὴν ὁ εὐλαβέστατος Παῦλος ἐπεποίητο ἐν ἐπιστολῆς εἴδει,

κω-

θ᾽ ἡμέραν ἔκλων τὸν ἄρτον (πράξ. 2, 46.)· καὶ τὰς ἐν τῇ Εὐρώπῃ τῶν ὀρθοδόξων κεμπανίας εἴτ᾽ οὖν ἀδελφότητας ἐν τοῖς τῶν ἑτεροδόξων οἴκοις τὰς συνάξεις ἐπιτελούντων. ἐγκαινισμῷ δὲ καθιεροῦται πάντως, εἰ μή τί γε τις τῶν ὑπερορίων παρὰ γνώμην τοῦ ἐνορίου αὐτὸν ἐγκαινίσας καθιέρωσεν, ὡς καὶ ὁ Παῦλος οὗτος ἐποίησε, τὸν μὴ προσήκοντά οἱ λόγον ἐγκαινίσας· ἀκυροῦσι γάρ οἱ κανόνες τὰ παρὰ τῶν ὑπερορίων παρὰ γνώμην τοῦ ἐνορίου τελούμενα. οὐ μὴν ἀλλ᾽ οὐδὲ τῷ καθιερωθέντι ναῷ καὶ πᾶσα ἡ περίχωρος ἀορίστως συγκαθιεροῦται, ἀλλ᾽ ἡ αὐλὴ μόνη. τῇ σκηνῇ χρωμένη καὶ αἱ αὐλαῖαι αὐτῆς συμπεριλαμβάνονται. (Ἔξοδ. 30, 26.) (ζ) Ἐφελκύσεσιν, ἐπαγωγαῖς.

κωμῳδίαν ὑπὲρ τὸν ἀδελφὸν ἀνασεσυρμένην καὶ πλημμελῆ, ἀφ' ἧς αἰσχυνέσθαι περιῆν, ἐ τῷ κακῶς ἀκέσαντι, τῷ δὲ κακῶς ἀγορεύσαντι. ἀλλ' ἔςιν ἄρα καὶ τῦτο δεύτερον ἀγαθὸν, τὸ αἰσχύνεσθαι. τὸ μὲν γὰρ ἀναμάρτητον (η), θείας ἄντικρύς ἐστι καὶ μοίρας καὶ φύσεως, τὸ δὲ ἐπὶ τοῖς οὐκ εὖ γινομένοις ἐρύθημα, σωφροσύνης τὶς ἂν ἀπεφήνατο· ἅπερ ὑπὸςὰς ἐπὶ τῦ παρόντος πράγματος ὁ εὐλαβέςατος Παῦλος, ἁπάσης ῥητορείας (θ) ἰσχυροτέραν ἀπέφηνε τὴν ἐξ οἰκείας γνώμης μετάνοιαν. τὸ γὰρ ὁμολογῆσαί τε ἁμαρτεῖν, καὶ φανῆναι τὴν αἰσχρὰν λύπην τὴν ὡς ἐπὶ κακοῖς αὐθαιρέτοις λυπόμενον, πάντας ἡμᾶς εὔνυς αὐτῷ καὶ συνδιατιθεμένυς παρέσχετο. καὶ τὸ μὲν ἡμέτερον ἐ θαυμαςόν· ἀλλ' ὁ εὐλαβέςατος ἐπίσκοπος Διόσκορος, ἐπειδὴν τὸν τέως διαφιλοτιμέμενον (ι) ἐθεάσατο, τῇ ψήφῳ κρατῶν, ἡττήθη τῇ γνώμῃ, καὶ γέγονεν ἐπὶ τῷ εὐλαβεςάτῳ Παύλῳ, ποιεῖν ὁπότερα βέλοιτο, καταχεῖν ἢ παραδῦναι τὸν λόφον· τῦ θαυμαςῦ Διοσκόρυ πολλαῖς ἐνδόντος αἱρέσεσιν, ὧν ἐδεμιᾶς ἂν (κ) ἀκοὴν περὶ τῆς ἐκείνυ μετανοίας ἠνέσχετο· καὶ γὰρ ἀποδόσθαι μόνον τὸν λόφον (λ), καὶ ἀμοιβὴν δῦναι πᾶν ἅμα τὸ κτῆμα· καὶ ἄλλα

(η) Ὅπερ ἐςὶ τὸ πρῶτον ἀγαθόν. (θ) Εἰς γὰρ τὸ πεῖσαι ἡμᾶς εὔνυς αὐτῷ γενέσθαι, ἐκ ὅτως ἴσχυσεν ἂν ῥητορεύων, ὥσπερ νῦν μετανοήσας.

(ι) Φιλονεικῦντα, ἀνθιςάμενον, μαχόμενον. ὅτω γῦν ἐλήφθη τὸ διαφιλοτιμῦμαι κἀν τῇ 60, ἐπις. (κ) Γρ: ἀκοῇ, τυτ' ἔςι κατὰ τὴν ἀκοήν. δηλ. ἐδ' ἀκῦσαι ἠνέσχετο. (λ) Ὁ μὲν Διόσκορος καίτοι δείξας τὸν λόφον ἔκ τε τῆς τῶν γερόντων μαρτυρίας καὶ τῆς τῶν πρότερον ἀντιλεγόντων συγκαταθέσεως ἑαυτῷ προσήκοντα, ἀλλ' ὑπὸ τῆς τῦ Παύλυ ἐξ ἐπιγνωμοσύνης μετανοίας ἡττηθεὶς, ἠξίυ ἵνα ὁ μὲν Παῦλος ἀποδῷ, εἴτ' ὖν πωλήσῃ τῷ Διοσκόρῳ μόνον τὸν λόφον, ὁ δὲ τὸν λόφον πριάμενος Διόσκορος, δῷ ἐκ περιυσίας τῷ Παύλῳ τὺς περὶ τὸν λόφον ἀμπελῶνάς τε καὶ ἐλαιῶνας (ᾑρεῖτο γὰρ ὁ Διόσκορος τὸν λόφον μᾶλλον ἔχειν, ὡς δυνάμενον ἐκτειχισθῆναι εἰς φρύριον, ἢ τὸ τῦ λόφυ κτῆμα, τὺς περὶ τὸν λόφον, φημὶ, ἀμπελῶνάς τε καὶ ἐλαιῶνας, τὺς μηδὲν αὐτῷ ἐν ἐπιδρομῇ πολεμίων εἰς καταφυγὴν σωτήριον συνοίσοντας)· ὁ δὲ Παῦλος τὐναντίον, ἵνα αὐτὸς μᾶλλον δεσπότης γένηται τῦ λόφυ, ὑπελθὼν, ἣν ὁ Διόσκορος καταβάλλει τιμὴν, τῦτ' ἔςι κατα-

λα πολλὰ προσεξεῦρεν, ἐπιδαψιλευόμενος αὐτῷ πόρους, ἀφ' ὧν ἄντις προλήψει χαρίσαιτο (μ). ὁ δὲ, ταῦτα μὲν ὤκνει (ν), ἠξίου δὲ ὑπεισελθεῖν αὐτὸς τὴν εἰς τὸν ἀδελφὸν Διόσκορον γενομένην ὠνὴν, καὶ ἐπὶ τοῖς αὐτοῖς (ξ) ἀντικαταστῆναι δεσπότης τοῦ κτήματος. ἐγένετο πρὸς τῷ λόφῳ, καὶ τῶν ἀμπελώνων καὶ τῶν ἐλαιώνων ἐγκρατής. τῷ δὲ, ἡ μεγαλοφροσύνη κτῆμα ἀντὶ κτήματος, μεῖζον ἀντ' ἐλάττονος περιγέγονε· κοινὸν ἀμφοῖν ἀγαθὸν ἡ φιλαδελφία, καὶ τὸ εἴσω γενέσθαι τῶν νόμων τοῦ εὐαγγελικοῦ, οἳ συνεκτικωτάτην τῶν ἐντολῶν τὴν ἀγαπητικὴν διάθεσιν ἀπεφήναντο. ἓν τοῦτο μόνον ἔδει μνήμης ἀξιῶσαι μηνύσαντα τῶν ἀδελφῶν τὰς συμβάσεις καὶ τὴν ὁμόνοιαν· τὰν μέσῳ δὲ παραλιπεῖν (ο), εἴ τις ἐπίσκοπος ὢν, ἥλω τι πταίσας· ἃ γὰρ οὐκ ἔδει πεπρᾶχθαι, ταῦτα καλῶς ἔχει διδόναι τῇ λήθῃ· ἀλλ' ἵνα μὴ πάντα ἐκ πάντων (π) ὁ ἀδελφὸς Διόσκορος ἀποτυγχάνῃ, ταῖς αἰτήσεσιν αὐτοῦ δέδωκα τὸ πᾶσιν ἀκριβῶς ἐπεξελθεῖν, ἵνα μη-

---

βαλὼν τῷ Διοσκόρῳ ὅσην τινὰ τιμὴν ὁ Διόσκορος τῷ Παύλῳ ὑπὲρ τοῦ λόφου καταβαλεῖν εἵλετο. καὶ δῆτα καταβαλὼν τὴν τοῦ λόφου τιμὴν, ἔχει πρὸς τῷ λόφῳ ἐκ περιουσίας, καὶ οὓς ὁ Διόσκορος ἐν τῇ πρώτῃ αἱρέσει ἔφθη δωρησάμενος ἀμπελῶνάς τε καὶ ἐλαιῶνας. (μ) Φιλοκτήμονι γνώμῃ, ἢ τῷ ὑπὲρ τοῦ λόφου προληφθέντι εὐχαριστήσειε. (ν) Κραταιῶς γὰρ τοῦ λόφου περιείχετο, διὸ καὶ ἠξίου αὐτὸς μᾶλλον ὑπελθεῖν, τοῦτ' ἔστι καταβαλεῖν τῷ Διοσκόρῳ τὴν τιμὴν τῶν περὶ τὸν λόφον ἀμπελώνων καὶ ἐλαιώνων, καὶ ἀντ' ἐκείνου αὐτὸς δεσπότης γενέσθαι ἐκείνων τε καὶ τοῦ λόφου. ὁ δὲ Διόσκορος ὑπὸ φιλαδελφίας μετὰ τοῦ ἰδίου κτήματος, τῶν ἀμπελώνων φημὶ καὶ ἐλαιώνων, καὶ τὸν λόφον αὐτῷ προσαπέδοτο. δῆλον δὲ ὅτι τὸ μὲν κτῆμα ἀπεμπολήσει, τὸν δὲ λόφον προῖκα.

(ξ) Τὸ δὲ ἐπὶ τοῖς αὐτοῖς τοῦτο βούλεται, ἵνα δηλαδὴ τοῦ λόφου δεσπότης δι' ὧν ὁ Διόσκορος ἐθέλει γενέσθαι, δι' αὐτῶν τούτων ὁ Παῦλος γένηται. καὶ ὡς εἰπεῖν, ἵνα τὸν λόφον καθ' ὃν λόγον καὶ τρόπον ὁ Διόσκορος ἰδιοποιήσασθαι ζητεῖ, κατ' αὐτὸν τοῦτον ὁ Παῦλος ἰδιοποιήσηται καταβαλὼν τῷ Διοσκόρῳ ὅσην τινὰ τιμὴν ὁ Διόσκορος τῷ Παύλῳ καταβαλεῖν εἵλετο. (ο) Ὅτι δηλαδὴ ὁ Παῦλος προφάσει εὐσεβείας βιαίως εἴτε οὖν πανούργως τὸν μὴ προσήκοντά οἱ λόφον περιεποιήσατο. (π) Ἵνα μὴ ὥσπερ παντὸς τοῦ ἰδίου κτήματος ἀπέτυχεν εἴτ' οὖν ἐστέρηται, οὕτω καὶ δικαιολογίας πάντη ἀποτυγχάνῃ.

μηδὲν ἀγνοήσειεν ἡ σὴ θεοσέβεια, ἣν οὐ παρὰ φαῦλον, ἀλλ' ἀντὶ παντὸς ἐποιεῖτο πεισθῆναι διὰ τῶν ἀποβάντων, ὅτι μὴ ἐπ' ἀδίκοις ἐφιλονείκησε· κἀγὼ τὸν ἄνδρα τά τε ἄλλα ἐπαινῶ· πάνυ γάρ μοι πρὸς τρόπου (ρ)· καὶ τὸν εἰς τὸν θρόνον ἐκεῖνον αὖθις ὑπεράγαμαι. καὶ ναὶ μὰ τὴν φίλην σου καὶ σεβασμίαν κεφαλήν, πολλὴν οἶμαι χάριν ὀφείλειν αὐτῷ τοὺς ἐν Ἀλεξανδρείᾳ συμπτώχους, ὧν τοὺς ἀγροὺς (σ) ἐκπονεῖ, ταχὺ πανταχοῦ γινόμενος, καὶ ἐξ ἀπόρων φόρους ἐκλέγων, καὶ τοῖς καιροῖς παριστάμενος (τ). τὰ μὲν περὶ τὴν τῶν ἐπισκόπων στάσιν οὕτως ἐχώρησεν· ἐπίταγμα δὲ ἦν, ὅπως ἀκούσωμαι καὶ Γάσονος, ὃς ἔφη πολλὰ καὶ ἄδικα παρὰ συμπρεσβυτέρου (υ) παθεῖν. οὕτως οὖν ἔχει κἀκεῖνα. Λαμπωνιανὸν Γάσων εἷλεν ἀδικίας (φ)· ὁ δὲ, φθάσας ὁμολογίᾳ τὸν ἔλεγχον (χ), ἔχει τὴν δίκην, ἐκκλησιαστικῆς συνόδων εἰργόμενος. καίτοι καὶ δάκρυον ἐκ μετανοίας ἀφῆκε, καὶ δῆμος ἱκέτης αὐτὸν ἐξῃτήσατο· ἀλλ' ἐγὼ τοῖς δεδογμένοις ἐνεκαρτέρησα (ψ), οὐ δὲ λῦσαι τὴν αὐθεντίαν, εἰς τὴν ἱερατικὴν καθέδραν ἀνέπεμψα. τοσοῦτον οὖν ἐμαυτῷ συνεχώρησα, εἰ προαπελάσειε Λαμπωνιανῷ τὸ χρεὼν, καὶ ἡ κυρία παρεῖναι δόξειε, πᾶσιν ἐφῆκα τοῖς τότε παρεσομένοις πρεσβυτέροις, κοι-

(ρ) Ἀρέσκει τῇ ἐμῇ γνώμῃ. Πολύβιος, πρὸς τρόπον αὐτῷ γινομένης τῆς ἐπαγγελίας ὑπερχαρὴς ὢν, πάνθ' ὑπισχνεῖτο. ὅρα ἐν τῇ γραμμ. τῆς πρὸς, τὸ καθῆκον. (σ) Τοὺς ἀνατεθειμένους τῷ πτωχοτροφείῳ καλλιεργεῖ. (τ) Βοηθῶν τῷ δυστυχοῦντι χρόνῳ· ἢ καθ' ἕκαστον καιρὸν τοῖς πτωχοῖς τὰ χρειώδη χορηγῶν. (υ) Τοῦ Λαμπωνιανοῦ, τυπτηθεὶς ὑπ' αὐτοῦ. (φ) Κατηγόρησεν αὐτοῦ ἁρπαγὴν, ὧν ἦν φροντιστὴς εἴτ' οὖν οἰκονόμος πτωχικῶν χρημάτων, καὶ ὡς τυπτήσειεν αὐτόν. (χ) Ἀπορ: Καὶ μὴν ὁ φθάσας ὁμολογίᾳ τὸν ἔλεγχον πρὸς τῷ μὴ δικάζεσθαι, ἔτι καὶ δικαιοῦται (Ησ. 43, 26.) ἢ ὅτι δέον πρὸ τῆς κατηγορίας· ὁ δὲ, μετὰ τὴν κατηγορίαν ὡμολόγησε, λέγε γὰρ σὺ, φησὶ, πρῶτος τὰς ἁμαρτίας σου ἵνα δικαιωθῇς Ησ. καὶ, δίκαιος ἐν πρωτολογίᾳ ἑαυτοῦ κατήγορος. Παροιμ. 18, 17.

(ψ) Τοῖς ἱεροῖς κανόσι, τοῖς καὶ τῷ ἱεροσύλῳ καὶ τῷ τυπτήσαντι ἐπιτιμῶσιν· ἢ, οἷς ἐγὼ ὤμοσα.

κοινωνίας αὐτῷ μεταδοῦναι· μηδεὶς γὰρ ἀποθάνοι δεδεμένος ἐμοί· ἀναῤῥωσθεὶς δὲ (ω), πάλιν ἐπὶ τοῖς αὐτοῖς ὑπόδικος ἔστω, καὶ παρὰ τῆς θεσπεσίας σου καὶ φιλανθρώπου ψυχῆς περιμενέτω τῆς συγγνώμης τὸ σύνθημα· οὐδὲ γὰρ οὐδὲ Γάσων πάντα ἀναίτιος ἑαυτῷ. προπετὴς ἄνθρωπος γλῶτταν, ἐνέτυχεν ἀνδρὶ προπετεστέρῳ τὴν χεῖρα· καὶ τοῦτο δὴ τὸ λεγόμενον, κουφοτάτου πράγματος λόγου, βαρυτάτην τὴν τιμωρίαν ἐξέτισε. καὶ περὶ τῶν ἐγκλημάτων ἃ διείληφα (α2), ταῦτα Λαμπωνιανὸς ἔχειν ὁμολογεῖ, καὶ οὐδὲν ἀξιοῖ παρὰ τῆς ναυαγίας (β2) ὠφελεῖσθαι, τῆς ποιησάσης ἀφανὲς τὸ συμβόλαιον, ἀλλὰ καιρὸν αἰτεῖ, ὅσον καρποὺς ὠνίους γενέσθαι, καὶ ἔφη πάντων ἀμελήσας, ἑνὶ τούτῳ προσέχειν τὸν

νουν

(ω) Ο' ιγ', τῆς α', κανών. ὁ ϛ'. Ἀγγύρας· ὁ β', καὶ ε', Νύσσης. Μὴ λανθανέτω ἐνταῦθα καὶ τὰ Διονυσίου Ἀλεξανδρείας ἐν τῇ πρὸς Κώνωνα ἐπιστολῇ περὶ τῶν παραπεσόντων ἐν διωγμῷ, καὶ πρὸς τῇ ἐξόδῳ τοῦ βίου αἰτούντων τυχεῖν ἀφέσεως τουτ' ἔστι κοινωνίας μεταλαβεῖν, καὶ μετὰ τὸ λαβεῖν ἐπιζησάντων --- Ἀλη„θῆ γὰρ εἶναι καὶ βεβαίαν τὴν εὐδοκίαν τοῦ Κυρίου τὴν τοῖς ἱερεῦσι δεδομένην τοῦ „λύειν καὶ δεσμεῖν ἐξουσίαν, καὶ τούτους ἐλευθέρους παραπέμπειν, τῆς θεοπρε„ποῦς ἐστι φιλανθρωπίας· εἰ μέντοι μετὰ τοῦτο ἐπιμένοιεν τῷ βίῳ, δε„σμεύειν μὲν αὖθις καὶ ἐπαχθίζειν ταῖς ἁμαρτίαις, οὐκ ἀκόλουθόν μοι φαίνεται· „τοὺς γὰρ ἅπαξ ἀφειμένους, καὶ τῷ Θεῷ συστάντας, καὶ πάλιν τῆς θείας χάρι„τος κοινωνοὺς ἀποφανθέντας, καὶ ὡς ἐλευθέρους πρὸς τὸν Κύριον ἀπεσταλμένους, „μηδενὸς ἐν τῷ μεταξὺ ὑπ' αὐτῶν ἑτέρου γενομένου, πάλιν ἀνθυπάγειν τοῖς „ἁμαρτήμασιν ἀλογώτατον· εἶτα, τῷ μὲν Θεῷ τῆς ἡμετέρας κρίσεως „(εἴτ' οὖν τῆς πρὸς ἡμᾶς φιλανθρωπίας) ὅρους δώσομεν φυλαχθησομένους „ὑπ' αὐτοῦ, ἑαυτοῖς δὲ τούτους οὐ τηρήσομεν, κατεπαγγελλόμενοι μὲν τὴν „χρηστότητα τοῦ Κυρίου, ἀφαιρέμενοι δὲ τὴν ἑαυτῶν; εἰ μέντοι φαίνοιτό τις „μετὰ τὸ ῥαῖσαι πλείονος ἐπιστροφῆς δεόμενος, ἑκοντὶ συμβουλεύομεν τα„πεινοῦν καὶ κακοῦν καὶ συστέλλειν ἑαυτόν --- καὶ πειθόμενος μέν, ὀνήσεται, εἰδ' ἀ„πειθείη, τότε δὴ τούτου (ἴσ. τοῦτο) ἔγκλημα ἔσται πρὸς ἀφορισμὸν δεύτερον. (Τομ. β'. τῶν Πανδεκτῶν, σελ. 230. τῶν κανονικ. ἀποσημειώσεων ἐν τῷ, Σχόλιον. (α2) Περὶ ὧν Λαμπωνιανὸς ὑπὸ Γάσονος ἐγκαλεῖται, ὡς εἴη τὰ πτωχικὰ χρήματα ἀδίκως παρακατέχων. (β2) Προεφασίζετο καὶ γάρ, ὡς εἴη τὰ μὲν πτωχικὰ χρήματα καταβεβληκώς, ἣν δὲ περὶ τῆς τῶν χρημάτων καταβολῆς εἰλήφει ἔγγραφον ἀπόδειξιν ἐν ναυαγίῳ ἀπολωλεκώς.

νῦν, ὡς ἂν τὰ πτωχικὰ καταθεῖτο χρήματα· νομίσματα δὲ ἦν ἑπτὰ καὶ πεντήκοντα πρὸς τοῖς ἑκατόν. ἀνοιστέον δεῖ καὶ περὶ τῶνδε τῶν γινομένων παρ' ἡμῖν, ἵνα γινόμενα παύσηται. ἱερεῖς ἱερέας παρανόμων διώκουσι· εἰ μὲν ἐπὶ ψευδέσιν, οὔπω λέγω, πάντως δὲ μετ' ἐπιβουλῆς τῆς προαιρέσεως· οὐ γὰρ ἵνα λάβωσι δίκας, ἀλλ' ἵνα τοῖς ἄρχουσι τῶν στρατευμάτων ἄδικα κέρδη μνηστεύσωσιν. ἐπὶ δὲ τοὺς ἐμοὺς ὤμους (γ2) ἀναβαίνειν ἀνάγκη τὰ πάντων φορτία· διὸ δέομαι γράφε καὶ διατάττου μηδενὶ μηδὲν ἐξεῖναι τοιοῦτο ποιεῖν· καὶ γὰρ ἐμοὶ χαριῇ καὶ τοῖς ἀπραγμονεστέροις, καὶ κακῶς πάσχουσιν ἀμυνεῖς, καὶ πολὺ πλέον εὖ πεποιηκὼς ἔσῃ τοὺς ἀδικοῦντας αὐτούς· εἴπερ μεῖζον ἀγαθὸν, τὸ μείζονος ἀπηλλάχθαι κακοῦ, κακὸν δὲ μεῖζον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν· τὸ μὲν γὰρ, ἴδιόν ἐστι κακόν, τὸ δὲ, ἀλλότριον. ἀλλ' οὔτ' ἐγὼ κατεμήνυσα τίνες εἰσὶ, μήτ' αὐτὸς εἰ καὶ μάθοις ἐπ' ὀνόμασιν διελέγξῃς τινὰ, ἵνα μὴ ἀπεχθοίμην ἀδελφοῖς, οἷς εἰ καὶ κατὰ πρόσωπον ἰδίᾳ λίαν ἐπιτετίμηκα, συγχωρήσει Θεός· ἀλλὰ φάνηθι τὸ πρᾶγμα μόνον μισῶν ἐν τοῖς πρὸς ἐμὲ γράμμασιν· εἴσομαι γὰρ σὺν Θεῷ μετὰ τοῦ πᾶσιν ἀλύπου τὸ μηκέτι προελθεῖν περαιτέρω τὴν ἀσχημοσύνην ἡμῶν· μὴ γὰρ εἴποιμι τῆς ἐκκλησίας. οἰκονομήσασθαι δὲ ἓν ἔτι λοιπὸν, καὶ λόγου πεπαύσομαι. περινοστοῦσί τινες βασκαντίβοι (δ2) παρ' ἡμῖν· ἀνέξῃ γάρ μου μικρὸν ὑποβαρβαρίσαντος, ἵνα διὰ τῆς συνηθεστέρας τῇ πολιτείᾳ φωνῆς τὴν ἐνίων κακίαν ἐμφαντικώτερον παραστήσαιμι. οὗτοι καθέδραν μὲν ἀποδεδειγμένην ἔχειν οὐ βούλονται· οἵ γε τὴν οὖσαν ἀπολελοίπασιν, οὐ κατὰ συμφορὰν, ἀλλ' αὐθαίρετοι μετανάσται γινόμενοι. καρποῦνται δὲ τὰς τιμὰς, ἐκεῖ περινοστοῦντες, ὅ-

που

(γ2) Ἀναγκάζομαι γάρ, ἔνθεν μὲν τῶν ἐπιβουλευομένων προϊστάμενος, ἔνθεν δὲ τοὺς ἐπιβουλεύοντας ἐπισχῶν, πράγματα ἑκατέρωθεν ἔχειν. (δ2) Οἱδ' αὐτοὶ καὶ Βακάντιβοι. δηλοῖ δὲ ἡ λέξις λατινιστὶ τὸν ἄκληρον, εἴτ' οὖν τὸν μὴ ἔχοντα ἴδιον κλῆρον. ὡς καὶ Συνέσιος ἑρμηνεύων βασκαντίβοι εἰσὶ, φησὶν, οἱ καθέδραν ὁμολογουμένην ἔχειν μὴ βουλόμενοι.

πυ κερδαλεώτερον. ἐμοὶ δὲ δοκεῖ, πάτερ σεβασμιώτατε, χρῆναι τούτοις, ὅσοι τὰς οἰκείας ἐκκλησίας ἀπείπαντο, πᾶσαν ἐκκλησίαν ἀπείπασθαι. καὶ πρὶν ἂν ἀπελθόντες ἐκεῖ καταστήσωνται, μηδένα δέχεσθαι θυσιαστηρίῳ, μήδ' εἰς προεδρίαν καλεῖν, ἀλλὰ περιορᾷν ἀγελαίους ἐν ταῖς δημοτικαῖς καθέδραις, ὅταν εἰς ἐκκλησίαν ἐμβάλλωσι· ταχὺ γὰρ ἂν ἐπανέλθοιεν, εἰ περὶ τῆς τιμῆς κινδυνεύοιεν, ἧς ἀξιοῦσιν ἀπολαύειν ἁπανταχοῦ μᾶλλον, ἢ οἷ προσήκει. δέξαιντο γὰρ ἐκεῖ μᾶλλον ἢ μηδαμοῦ. καὶ δημοσίᾳ μὲν, οὕτω προσοιστέον αὐτοῖς, ὡς ἄντικρυς ἰδιώταις, ἂν καὶ τῷ σεμνοτάτῳ σου θρόνῳ συνδοκῇ· ἰδίᾳ δὲ καὶ κατ' οἶκον, εἰσόμεθα πῶς, ὅταν ἥκῃ παρὰ τῆς σῆς θεοσεβείας ἀπόκρισις ἐκείνης τῆς πεύσεως, ἣν πρώην ἠρώτησα περὶ Ἀλεξάνδρου Κυρηναίου μὲν ἀνδρὸς τὸ γένος, ἱερατευσαμένου δὲ ἔν τινι πόλει τῆς Βιθυνῶν, ἧς ἐκπεσὼν κατά τινα στάσιν, ἐξὸν ἐπανελθεῖν, οὐκ ἐπάνεισιν, ἀλλ' ἡμῖν ἐπιχωριάζει. περὶ τούτου γέγραφα πρὸς τὴν σὴν ἁγιότητα, πᾶσιν ἀκριβῶς ἐπεξελθὼν τοῖς περὶ αὐτὸν γενομένοις, καὶ γνώμην αἰτῶν οἷ τακτέον τὸν ἄνδρα. ἐπεὶ δὲ οὐδὲν ἥκει μοι περὶ τούτων ἀντίγραφον, ἀμφίβολος ὢν, πότερον διαπέπτωκεν, ἢ διεκομίσθη τὰ γράμματα μέχρι τῆς μακαρίας σου κεφαλῆς, διείλεγμαι περὶ τούτου πρὸς τὸν θαυμαστὸν Διόσκορον τὸν ἐπίσκοπον, καὶ τοῖς ταχυγράφοις (ε 2) τὰ ἀντίτυπα δοῦναι τῶν τότε γραφέντων ἐπέταξα, ἵνα εἰ μὴ τυγχάνεις δεξάμενος τὴν ἐπιστολὴν, ἔχοις παραναγνοὺς αὐτῆς τά τε, καὶ πρὸς ἐμὲ διαπέμψασθαι τὰ ἀμοιβαῖα. ἐπὶ πᾶσιν εὔχου περὶ ἐμοῦ· περὶ καταλελειμμένου γὰρ εὔξῃ, καὶ τοῖς πᾶσιν ἐρήμου καὶ δεομένου συνεργείας τοιαύτης, ὡς αὐτὸς ὀκνῶ περὶ ἐμαυτοῦ φθέγξασθαι πρὸς Θεόν. ἅπαντα γὰρ εἰς τοὐναντίον μοι περιίσταται, διὰ ῥιψοκίνδυνον τόλμαν, ὅτι ἄνθρωπος ἐν ἁμαρτίαις, ἀπότροφος ἐκκλησίας, ἀγωγὴν ἑτέραν ἠγμένος, θυσιαστηρίων ἥψάμην Θεοῦ.

(ε 2) Ἐπέταξε τοῖς ταχυγράφοις, ἵνα τὰ ἀντίγραφα, εἴτ' οὖν τὰ ἴσα τῶν τότε γραφέντων ἐν τῇ 66, ἐπισ. δῶσι τῷ ἐπισκόπῳ Διοσκόρῳ ἀπενεγκεῖν πρὸς τὸν Ἀλεξανδρείας.

Τῷ αὐτῷ. 68.

Ὃν Δέδωκα τὴν ἐπιστολὴν, στέλλεται μὲν ἐπὶ πρᾶξιν, ἣν οὐχ ὅσιον ἐμοὶ διηγήσασθαι (α)· ὅτι δὲ ἀρετὴν ἐκ νέας ἀσκεῖ, τοῦτο καὶ θέμις εἰπεῖν, καὶ παντάπασιν ἀληθές. ὡς μὲν οὖν ἀγαθὸν ἄνδρα, τιμήσεις· ἣν δὲ ἐγράψατο γραφὴν (β), οἰκείαν εἱμαρμένην πληρούτω (γ)· μηδὲ τοῦ δικαίου ποτὲ φόνου προσάψοιο.

Τῷ αὐτῷ. 69.

Μέλει γάρ σοι, μέλει καὶ Πενταπόλεως (α). οὐκοῦν ἐντεύξῃ μὲν ταῖς δημοσίαις ἐπιστολαῖς· ὅτι δὲ κακὰ πλείω καὶ μείζω γέγονεν, ἢ φοβεῖ τὰ γράμματα, λέγοντος ἀκούσῃ τοῦ διακομιστοῦ. στέλλεται μὲν γὰρ ἐπὶ συμμαχίαν, ὡς ἐκεῖθεν αἰτήσων· τὰ δὲ τῶν πολεμίων οὐδὲ τὴν ἔξοδον αὐτοῦ περιέμεινεν, ἀλλ' ἔφθασαν ἐκχυθέντες ἀθρόον κατὰ τῆς χώρας. πάντα οἴχεται· πάντα ἀνῄρηται· αἱ πόλεις ἔτι λοιπαὶ, τὸ μέχρις οὗ γράφω, λοιπαί· τὸ δὲ εἰς τὴν ἐπιοῦσαν, Θεὸς οἶδε. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν σῶν, εὐ-

χῶν

(α) Καὶ μὴν ἐν τῷ τέλει τῆς ἐπιστολῆς διηγήσω. (β) Οὐχ ὡς δήμιος ἐπὶ φόνου φαίνῃ στελλόμενος, ἀλλ' ὡς ἐπὶ φόνῳ ἐνάγων.

(γ) Οἰκείαν εἱμαρμένην. Ἑλληνικὸν τὸ φρόνημα κατὰ τὸ, εἵμαρτό μοι κλέψαι. οὕτως οὖν καὶ τῷδε εἵμαρτο, φησὶ, δι' ἀγωγῆς φόνον ποιῆσαι. ἢ εἱμαρμένην ὧδε λέγει, ἥνπερ ἔλαχε θεόθεν πολιτικὴν εἴτε ἀξίαν, εἴτε διακονίαν. καθ' ὃ καὶ Ἀριστοτέλ: ἐν τῷ περὶ Κόσμου κεφ. ζ. τὸν Θεὸν κατὰ τὰς διαφόρους αὐτοῦ εἰς τὴν κτίσιν οἰκονομίας αὐτὸν τοῦτον καλεῖ καὶ Ἀνάγκην, καὶ Εἱμαρμένην, καὶ Πεπρωμένην, καὶ Μοῖραν καὶ Νέμεσιν, καὶ Ἀδράστειαν, καὶ Αἶσαν, καὶ τὰ περὶ τὰς Μοίρας τρεῖς οὔσας, καὶ τὸν Ἄτρακτον, οἷον Ἄτρωπον, Λάχεσιν, καὶ Κλωθώ· ταῦτα γὰρ πάντα οὐκ ἄλλο τί ἐστι, φησὶ, πλὴν ὁ Θεός. Καταχρᾶται δὲ τῇ Εἱμαρμένῃ κἀν τῇ 70. ἐπισ.

(α) Αὕτη μὲν ἡ ἐπιστολὴ ἔλλειψιν, οἶμαι, ἔχει τοιαύτην. Ἐπιστέλλεταί σοι περὶ τῆς Πενταπόλεως, ὡς μέλλον σοι καὶ περὶ αὐτῆς. ἡ δὲ 73, προθυμοτέρως ἔχει, οἷον Σύ με δεῖ προσανακλαύσασθαι, ἐπειδὴ σὺ καὶ φιλόσοφος εἶ κτ. - - -

χῶν λέγω, τῶν ἐθάδων δυσωπεῖν τὸν Θεόν· ὡς ἐγὼ πολλάκις ἤδη, καὶ τὰ ἴδια, καὶ τὰ κοινὰ μάτην ηὐξάμην· τί λέγω μάτην; εἰς τοὐναντίον μοι περιίςαται· τοιοῦτόν εἰσιν (αἱ) ἁμαρτίαι βαρεῖαί τε καὶ πολλαί!

Πρόκλῳ. 70.

Πέρυσιν οὐχ ἧκει μοι γράμματα παρὰ τῆς ἱερᾶς σου χειρός. ἠρίθμησα καὶ τοῦτο μετὰ τῶν συντυχόντων μοι κατ᾽ ἐκεῖνο καιροῦ δυσχερῶν· πολλὰ γὰρ ἐπὶ πολλῶν ἐγὼ πέρυσιν ἠνιάθην· ἀλλὰ καὶ ὁ τῆτες χειμὼν ὅ,τι μοι λοιπὸν ἦν εἰς ψυχαγωγίαν ἀφείλετο, τὸ παιδίον· εἵμαρτο γὰρ ἄρα, συνόντι μὲν ὑμῖν, εὐτυχεῖν, ἀπόντι δὲ, χαλεποῦ πειρᾶσθαι τοῦ δαίμονος. γενέσθω δή τις παραμυθία, τὸ δέξασθαι τῆς πατρικῆς σου κεφαλῆς γράμματα, τὸ τιμαλφέςατον τῶν ἀπὸ Θράκης ἀγώγιμον.

Πυλαιμένει. 71.

Διττοὶ λόγοι λέγονται περὶ σοῦ. τοιγαροῦν ὁμοῦ μὲν ἐπὶ Θράκης, ὁμοῦ δὲ εἰς Ἰσαύρους γράφω, τοῦ περιτυχεῖν σε πάντως μιᾷ γέτινι τῶν ἐπιςολῶν. ὑπόθεσις δὲ ἀμφοῖν ἀσπάσασθαι τὴν φιλτάτην κεφαλὴν Πυλαιμένη τὸν φιλόσοφον· τοῦτο γὰρ ἐςὶ (α) κἂν βούληται, κἂν μὴ βούληται· οὐ γὰρ μήποτε κατισχύσῃ τοῦ πεφυκότος (β), οὐδ᾽ οὐ μὴ σβέσῃ τὸν σπινθῆρα (γ) τοῦ θείου πυρὸς, ἀλλ᾽ ἀνάψει ποτὲ, τῆς μοχθηρᾶς ἀγωγῆς (δ) ὑπεράνω γενόμενος.

Τοῖς

(α) Φιλόσοφος δηλ: (β) Τοῦ ἐμφύτου φιλοσοφικοῦ ἤθους. (γ) Ἣν φύσει ἔχε ῥοπὴν ἢ ἐπιτηδειότητα πρὸς φιλοσοφίαν· ταύτην γὰρ λέγει θεῖον πῦρ. (δ) Τὴν ῥητορείαν, οἶμαι, λέγει τὴν πολυγράμμονα. ἡ γὰρ φιλοσοφία ἄμοχθος εἴτ᾽ οὖν ἀπράγμων.

Τοῖς Ἐπισκόποις. 72.

Ἀνδρόνικος τὴν ἐκκλησίαν ψευσάμενος (α), ἀληθευούσης αὐτῆς πειραθήτω (β). πρώην, οὔπω πάνυ πρώην, ἥμαρτεν εἰς Θεὸν, ἐξύβρισεν εἰς ἀνθρώπους· ἐφ' οἷς ἀποκλείσαντες αὐτῷ τὴν παρ' ἡμῖν ἐκκλησίαν, ὑπηγορεύσαμεν πρὸς τὴν ὑμετέραν ἀδελφότητα γράμματα, τὴν ἐπ' αὐτῷ γνώμην μηνύοντα. τούτων ἔφθατε τὴν ἀποστολὴν, ἱκετείαν προσποιησάμενος, καὶ μετάνοιαν ὑποσχόμενος, ἣν ἅπαντες ἠξίουν με δέχεσθαι, πλὴν ἐμοῦ· ἐγὼ γὰρ ἐδόκουν σαφῶς κατανενοηκέναι τὸν ἄνθρωπον, πάντα ῥᾴδιον εἰπεῖν (γ) καὶ ποιῆσαι (δ)· καὶ προσεδεχόμην τε καὶ προὔλεγον, ὡς ἐκ τῆς τυχούσης αἰτίας εἰς τὴν φύσιν ἐπανελεύσεται· ὅν γε εἰκὸς ἀτολμότερον (ε) ἔσεσθαι προσκεκυφότα ταῖς ἐκκλησίαις (ζ) πολὺ μᾶλλον, ἢ εἰ μηδὲν ὕποπτον (η) αὐτῷ κατελείπετο. διὰ ταῦτα μὲν οἷος ἦν ἐγκαρτερῆσαι τῷ δόγματι (θ), ὡς ἅμα τοῦτο τε πρὸς Θεὸν εὐσεβέστερον βουλευσάμενος, καὶ τὰ πρὸς τοὺς πολίτας ὠφελιμώτερον· ἀλλ' ἱκανὸν γὰρ ἀντισχεῖν ἕνα πολλοῖς (ι), παλαιοτέροις νεώτερον, προσδεδαπανηκόσι τὸν βίον [illegible] ὁσιώῃ, τὸν οὔπω πέρυσιν ἡμμένον τοῦ πράγματος. εἶξα δεομένοις, μήπω περιπέμψαι τὰ γράμματα, δέξασθαι δὲ ἐπὶ ῥητοῖς (κ), ἐφ' ᾧ μηκέτι μανεῖται κατὰ τῶν ὁμοτίμων, ἐφ' ᾧ νῦν ἀντὶ πάθους (λ) τοῦ βίου προστήσεται· κἂν μὲν, ἔφην, εἴσω μέ-

νῃς

(α) Ἀπατήσας, παίξας, μὴ μετανοήσας ὡς ὑπέσχετο. (β) Ὁ μὲν Ἀνδρόνικος μὴ ποιήσας ἅπερ ὑπέσχετο τῇ ἐκκλησίᾳ, ἐψεύσατο αὐτήν· ἡ δὲ ἐκκλησία ἐνεργοῦσα κατ' αὐτοῦ ἤδη ἅπερ προεῖπεν, ἀληθεύει. (γ) Εἴτ' οὖν ὑποσχέσθαι μετάνοιαν. (δ) Ἴσως καὶ μὴ ποιῆσαι, ἅπερ ἂν ῥᾳδίως ὑπόσχηται· ἢ καὶ πάντα τὰ κακὰ ῥᾴδιος τολμῆσαι. (ε) Ὀκνηρότερον πρὸς ἅπερ μετὰ ταῦτα ἐτόλμησε κακά. (ζ) Ἐν τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις ὄντα, κἂν τῇ χώρᾳ τῶν μετανοούντων προσκλαίοντά τε, καὶ μετὰ τῶν κατηχουμένων ῥητὸν χρόνον ὑποπίπτοντα. (η) Μηδεὶς φόβος ἐπιτιμίου. (θ) Οἷς ὥρισα κατ' αὐτοῦ ἐπιτιμίοις. (ι) Ἐμὲ, τοῖς ἀξιοῦσι δέξασθαι τὴν ἐκείνου μετάνοιαν. (κ) Μεθ' ὡρισμένων συνθηκῶν τε καὶ ὑποσχέσεων τῶν ἑξῆς. (λ) Δοξομανίας καὶ αἰ-

νης τῶν ὅρων ἃς ἔθου, νῦν τε ὑπερευξόμεθά σου τῆς ἁμαρτίας, καὶ τοῦ λοιποῦ συνευξόμεθα· ἀναδυσαμένῳ δὲ τὰ τῆς ὁμολογίας, ἡ δίκη μένει, καὶ εἰς ἅπαντα (μ) δημοσιευθήσεται, τοσοῦτον ἀνατεθεῖσα χρόνον, ὅσον ἐλέγξαι σου τὸν τρόπον ἀνεπανόρθωτον. ἔδοξε ταῦτα, καὶ πεῖραν αὐτός τε ἔφη δώσειν, καὶ ἡμεῖς (ν) λήψεσθαι· δέδωκε, καὶ εἰλήφαμεν· ἐπεδαλιψεύσατο ταῖς ὑποθέσεσι (ξ) τῆς ἀποκηρύξεως. οὔπω τότε δήμευσις ἐτετόλμητο· οὔπω τότε φόνος ἐνεκεχείρητο· πόσοι διὰ τούτων (ο) ἀλῆται; πόσοι τῶν πρώην ἔτι κτηματικῶν, διὰ τούτων (ο) πτωχεύουσιν; ἀλλὰ μικρὰ ταῦτα πρὸς τὸν εὖ μὲν γεγονότα Μάγνον, κακῶς δὲ ἀπολόμενον. κεῖται παῖς ἀνδρὸς λαμπροτάτου, ἅπασι τοῖς οὖσι λελειτουργηκὼς τῇ πόλει, καὶ πρὸς ἕτερον φθόνου (π) γεγονὼς παράναλωμα. ᾐτεῖτο χρυσίον, ὃ μὴ διδοὺς, ἐτύπτετο· καὶ διδοὺς, ὅτι πόρον ἐξεῦρεν, ἐτύπτετο· τί γὰρ οὐ τοῖς αὐτοῦ φίλοις, ἀλλὰ τῷ στρατηγῷ τὸν ἀγρὸν ἀπέδοτο; δακρύω μὲν ἐγὼ καὶ τὴν παρανομηθεῖσαν νεότητα, καὶ τὰς ἐπ' αὐτῇ ματαίας ἐλπίδας (ρ) τῆς πόλεως· ἀλλὰ τῆς ἐκείνου νεότητος τὸ τῆς μητρὸς γῆρας ἐλεεινότερον, ὅτι δυοῖν ἀῤῥένων, ὁ μὲν, οἴχεται φυγὰς δι' Ἀνδρόνικον, καὶ οὐδὲ οἶδεν οἷ γῆς· τὸν δὲ, οἶδεν οἷ γῆς κατορώρυχε. φεῦ τῶν νόμων τῶν συναδικουμένων! παρ' οὓς ἄρχουσι τῆς ἑαυτῶν· παρ' οὓς ἐπ' ἀρχῇ δανείζονται χρήματα. τούτων (σ) μὲν οὖν ἑτέρους ἐπιμελητὰς ὁ Θεὸς εἶναι βούλεται· ἡμῖν δὲ ἀπόχρη καθαρεύειν ἐν κα-

---

χροκερδείας. (μ) Ἴσ. ἅπαντας. (ν) Γράφε καὶ ἡμᾶς. (ξ) Τοῖς προτέροις ἐγκλήμασι. συντάσσεται καὶ γενικῇ τὸ ἐπιδαψιλεύομαι· Βασίλειος· καὶ ἐπιδαψιλεύσῃ τῶν ὕβρεων· προθετικῶς καθ' ἑκάτερα τῶν πτωτικῶν.

(ο) Γράφ. διὰ τοῦτον, τὸν Ἀνδρόνικον δηλ. ζητούμενοι φονευθῆναι ὑπ' αὐτοῦ.

(π) Ὁ Ἀνδρόνικος φθονῶν τῷ στρατηγῷ, ᾧτινι ὁ Μάγνος ἀποδοὺς τὸν ἀγρὸν, ἐκ τῆς τούτου τιμῆς ἔδωκε τῷ Ἀνδρονίκῳ ὅπερ ᾐτεῖτο παρ' αὐτοῦ χρυσίον, ἀπέκτεινεν αὐτὸν, ὡς μὴ τοῖς τοῦ Ἀνδρονίκου φίλοις, ἀλλὰ τῷ στρατηγῷ τὸν ἀγρὸν ἀποδόντα, (ρ) Ἤλπιζε γὰρ ἀπόνασθαί τι τοῦ νέου.

(σ) Τῶν τοῖς πολίταις συναδικουμένων νόμων. Ἢ τῶν παρὰ τοῦ Ἀνδρονίκου κτεινομένων, δημευομένων, φυγαδευομένων.

καθαροῖς, ἐὰν ἄρα δυνώμεθα μένειν εἴσω τῶν περιβόλων τῶν ἱερῶν, ἀποκλείειν τε τοῖς ἐναγέσι τὰ παναγέστατα.

Τρωΐλῳ. 73.

Σὺ γὰρ δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος· σοί με δεῖ προσανακλαύσασθαι τὰς τῆς ἐνεγκούσης συμφοράς· ἣν τιμήσεις μὲν, διὰ πολίτην φιλόσοφον, ἐλεήσεις δὲ, διὰ τὸ τῆς σαυτοῦ φύσεως ἥμερον, δι' ἀμφότερα δὲ πεσοῦσαν ἀνορθῶσαι πειράσῃ· δύνασαι δὲ, ἐπειδὴ σώζειν τὰς πόλεις Ἀνθέμιος, καὶ φύσιν (α) ἔχει, καὶ τύχην (β), καὶ τέχνην (γ)· ᾧ πολλῶν ὑπαρξάντων (δ) εἰς τοῦτο (ε) παρὰ Θεοῦ, τὸ μέγιστον ἀγαθὸν οἱ φίλοι, καὶ τούτων Τρωΐλος τὸ μέγιστον. ὅπως οὖν μὴ μόνον τὰς ὄψεις ἐπιβαλεῖς (ζ), ἀλλὰ καὶ τὸν νοῦν πάνυ σφόδρα προσέξεις τοῖς γράμμασιν, ὧν ἐγὼ πολλὰ κατέσπεισα δάκρυα. τί γὰρ δὴ Φοινίκων μὲν οὐκ ἄρχουσι Φοίνικες, οὐδὲ Κοιλοσύρων Κοιλόσυροι, Αἰγύπτιοι δὲ πάσης μᾶλλον, ἢ τῆς ἑαυτῶν, Λίβυες δὲ μόνοι τῆς ἑαυτῶν (η); ἢ μόνοι Λίβυές εἰσιν ἀνδρειότατοι, καὶ χωρεῖν ὀμόσαι τοῖς νόμοις (θ) ἐγνώκασιν, ὧν ὅτε πλείω καὶ φοβερώτερα τοῖς παραβαίνουσι γέγονε τἀπιτίμια, τότε μᾶλλον αὐτοῖς (ι) αἱ πονηραὶ φύσεις (κ) ἐνεκυβίστησαν; ἔδει μὲν (λ) ἄρδην ἀνῃρῆσθαι τὴν πρὸς Κυρήνῃ Πεντάπολιν· ὁ δὲ λιμὸς καὶ ὁ πόλεμος, οὔπω πᾶν ὅσον ἔδει κατήνυσαν, ἀλλὰ διατρίβουσι καὶ κατὰ μικρὸν ἀπολ-

---

(α) Προαίρεσιν. (β) Πολιτικὴν ἀρχὴν, δύναμιν. (γ) Καθ' αὑτὸ ἔργον καὶ ἐπιτήδευμα, ἢ καὶ σοφίαν, ἐπιστήμην. (δ) Τῶν προσεχῶς εἰρημένων τριῶν. (ε) Εἰς τὸ σώζειν τὰς πόλεις. (ζ) Ἔλλειψιν ἔχει τὸ σκόπει· τροπικὸν δὲ ὂν τὸ ὡς, καταλλήλως ἠνέχθη πρὸς ὁριστικὸν μέλλοντα τὸ, ἐπιβαλεῖς, προσέξεις. (η) Περὶ Ἀνδρονίκου κἀνταῦθα ὁ λόγος τοῦ παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ ἄρξαντος. (θ) Τοῖς ἀπαγορεύουσι μηδένα τῆς ἑαυτοῦ ἄρχειν.

(ι) Τοῖς νόμοις. (κ) Ὁ Ἀνδρόνικος. (λ) Εἴτ' οὖν πέπρωται, ὡς ὑποκαταβὰς, φησίν. ἐκληπτέον δὲ εὐσεβῶς, ὅτι δηλ: συγκεχώρηται παρὰ Θεοῦ, οἷς αὐτὸς οἶδε κρίμασιν.

ἀπολύουσιν. οὐκοῦν τὸ λοιπὸν εἰς τὸ ταχὺ κατειργάσθαι (μ) προσεξευρήκαμεν· καίτοι τοῦτ' ἔστιν, ὃ τὸ παλαίφατον λόγιον ἐπεχρησμῴδησε τῇ τελευτῇ Πενταπόλεως· πατέρων αὐτὸ καὶ πάππων ἠκούσαμεν, ὅτι φθερεῖ τὰ Λιβύων ἡγεμόνων κακότης· αὐτὸ γὰρ τοῦτό ἐστι τοῦ χρησμοῦ τὸ τεμάχιον. ἀλλ' εἰ καὶ πέπρωται τοῦτο, ἀναβολήν τινα τοῦ κακοῦ μηχανήσασθε· καὶ γὰρ ἡ τῶν ἰατρῶν τέχνη, τὸ μὲν ἀποθανεῖν ἄνθρωπον, ἐπειδὴ φύσις ἐστιν, οὐ καθάπαξ κωλύει, ἐμποιεῖ δέ τινα διατριβὴν τῷ χρεών. ὅμοιόν τι αἰτοῦμεν καὶ παρὰ τῆς τέχνης τῆς ἀρχικῆς· βοηθησάτω τῇ φύσει (ν) κατὰ τῆς νόσου, μὴ μέντοι κατασπευδέτω τὸν ὄλεθρον· μή, δέομαι, μὴ γένοιτο τῶν Ἀνθεμίου τοῦ μεγάλου καιρῶν, ἐπαρχίαν Ῥωμαϊκὴν ἐκ μέσης ἀνῃρῆσθαι τῆς διοικήσεως (ξ). εἰπὲ πρὸς αὐτόν, εἰπὲ πρὸς τῶν λόγων· οὐ σὺ καταπεμφθῆναι τὸν νόμον γέγονας αἴτιος, ἐπὶ τοῖς πάλαι τὸν πρόσφατον, ὃς ἀνατείνεται πολλὰ καὶ χαλεπὰ τοῖς μνηστεύουσι τὴν τῆς ἐνεγκούσης ἀρχήν; πῶς οὖν οὐ νεμεσᾷς τοῖς φιλοτιμουμένοις ἐπὶ σοῦ διαῤῥηγνύναι τὰ σὰ πολιτεύματα; εἰ μὲν οὖν οὐ λανθάνουσιν, ἀδικεῖς· εἰ δὲ λανθάνουσιν, ἀμελεῖς· χρὴ δὲ οὐχὶ τὸν ἄνδρα τὸν ἡγεμονικώτατον, ἀλλ' ἐνὶ τούτῳ μάλιστα προσέχειν τὸν νοῦν, τοὺς ὑπάρξοντας ὡς βελτίστους αἱρεῖσθαι· θεία γὰρ αὕτη καὶ μεγαλοπρεπὴς ἡ πρόνοια (ο), πρὸς ἣν (π) δαπανᾶται φροντὶς εἰς ἐκλογὴν ἀνδρὸς ἀγαθοῦ· ἀλλ' (ρ) ἐν τούτῳ γάρ ἐστιν ἔθνους ὁλοκλήρου πεποιῆσθαι φροντίδα. τούτων οὖν εὐθὺς ἀπεγνωκέναι προσήκει τῶν ἐναλλομένων τοῖς νόμοις, παρ' οὓς ἄρχουσι τῆς ἑαυτῶν· παρ' οὓς ἐφ' ἡμῖν ὥσπερ ἐπὶ κτήμασι δανείζονται χρήματα. στήσατε τὸ κακόν· ἄρχοντας ἡμῖν νομιμωτέρους ἐκπέμψατε, ἀγνοοῦν-

(μ) Δι' Ἀνδρονίκου. (ν) Τῆς Πενταπόλεως, τῇ κατὰ τὸ πεπρωμένον ἀποθανεῖν ὀφειλούσῃ, ὥσπερ δὴ καὶ ἡ τῶν ἀνθρώπων. (ξ) Τῆς ὅλης Ῥωμαϊκῆς ἀρχῆς. (ο) Τὸ ἐνί, φημί, τούτῳ μάλιστα προσέχειν τὸν νοῦν, ὥστε ὡς βελτίστους αἱρεῖσθαι τοὺς ἄρξοντας. (π) Μεθ' ἧς προνοίας. (ρ) Ὁ Ἀλλά, παραπληρωτ· τὸ δέ, ἐν τούτῳ, ἀντὶ τοῦ, διὰ τῶν ἀγαθῶν ἀνδρῶν, ἡγεμόνων.

γνοῦντας, ἀγνουμένους, ταῖς φύσεσιν (σ) οὐ τοῖς περὶ ἕκαστον πάθεσι τὰ πράγματα κρίνοντας· ὡς τὰ νῦν, ταῦτα (τ). καταπλεῖ δεσπότης ὁ πρώην ἀντιπολιτευόμενος (υ), καὶ τὴν ἐν πολιτείᾳ διαφορὰν (φ) ἀπὸ τοῦ βήματος ἀγωνίζεται. ὅσα δὲ ἄλλα παραβλαστάνει κακά! συκοφαντεῖται συμπόσια (χ), καὶ γυναικὶ δίδοται χάρις, ἡ τοῦ πολίτου συμφορὰ (ψ), καὶ κατήγορος ἐκκέλευστος (ω). ὃς δ' ἂν μὴ γράψηται (α2) παρανόμων, ἑάλωκεν (β2), εἰ μὴ πρὶν ἁλῶναι (γ2) τὰ τῶν ἑαλωκότων ὑπέμεινεν. ἐθεασάμεθα δεσμώτην (δ2) ἀπὸ τούτου (ε2) γενόμενον, ὅτι μὴ τὸν ἄρτι παυσάμενον τῆς ἀρίστης ἀρχῆς, ἐπὶ κλοπῇ δημοσίων ἐδίωκε· μᾶλλον δὲ τοῦτον οὐ δὲ τεθεάμεθα, ἀλλ' ἀπείρητο προσιέναι καθάπερ τοῖς ἐναγέσιν, ἢ τοῖς βασιλέως ἐχθροῖς, ἕως διεπράξαντο (ζ2) πᾶν ὅσοι ἐβούλοντο· καὶ τὸν ἥλιον εἶδεν ἐπὶ ῥητοῖς ἄνθρωπος, ἐφ' ᾧ Γεννάδιον ἔγραψεν. ἀλλ' ἦγε ἡμετέρα Πεντάπολις Γενναδίου μὲν τοῦ Σύρου, πολλὰ ἐπὶ πολ-

---

(σ) Κρίνοντας τὰς πολιτικὰς διαφορὰς καὶ ἀγωγὰς ὡς ἐκεῖναι πεφύκασιν, ὡς ἀπαιτοῦσι, κοὐχὶ κατὰ τὰ τῶν διαδικαζομένων πρὸς ἀλλήλους πάθη, ἢ κατὰ τὴν τοῦ δικάζοντος πρόσκλισιν, ἢ προσπάθειαν. (τ) Δι' ὅ,τι οἱ νῦν κρίνοντες τοιοῦτοί εἰσιν. (υ) Ὁ χθὲς μηδὲν διαφέρων τῶν πολιτῶν, ἀλλ' ἰσότιμος τοῖς πολίταις καὶ εἷς τῶν πολιτῶν. (φ) Ὑπεροχὴν, ἀπὸ τοῦ βήματος ἐκ ἀπὸ τοῦ τρόπου ἀγ. (χ) Ὡς κατ' αὐτοῦ δῆθεν συνωμότως φατριάζοντα. (ψ) Πολίτην ἐκ συκοφαντίας κατακριθέντα, γυνὴ ἐρωμένη τοῦ δικαστοῦ αἰτήσασα, ἐξαρπάζει τῆς συμφορᾶς. (ω) Κατηναγκασμένος ὑπ' Ἀνδρονίκου καὶ ἄκων κατηγορεῖν, εἴτ' οὖν συκοφαντεῖν. (α2) Κατηγορήσῃ τινὸς παρανομίαν.

(β2) Ὡς παρανομήσας. (γ2) Καὶ γὰρ εἰκὸς αὐτὸν καὶ πρὶν ἢ ἑτέρου κατηγορῆσαι, κατηγορηθῆναι ὑπ' ἄλλου, καὶ παθεῖν τὰ τῶν συκοφαντουμένων. (δ2) Οὐ τὸν ἐν τῇ προτέρᾳ ἐπισ. Μάγνον λέγει, ἀλλ' ἕτερόν τινα· καθ' ὅ,τι ὁ μὲν Μάγνος ἀπώλετο ὑπ' Ἀνδρονίκου, ὁδὲ δεσμώτης οὗτος μὴ θέλων τὸ πρῶτον γράψασθαι τὸν Γεννάδιον δημοσίων κλοπῆς, ἀπήχθη εἰς δεσμωτήριον ἀπρόσιτον· ἀναγκασθεὶς δὲ ἐν τῷ δεσμωτηρίῳ κατηγορῆσαι τοῦ Γενναδίου κλοπὴν, ἐπὶ ταύταις ταῖς συνθήκαις ἐξῆλθε τῆς σκοτεινῆς φυλακῆς, καὶ εἶδε τὸν ἥλιον, τοῦτ' ἔστιν ἀπηλλάγη τοῦ δεσμωτηρίου. (ε2) Ἐκ τοῦ, ὡς ἐπισυνάπτει, μὴ θελῆσαι κατειπεῖν ἑτέρου. (ζ2) Ἕως στρεβλοῦντες αὐτὸν ἐν τῷ δεσμωτηρίῳ ἠ-

πολλῶν ὤνατο· καὶ τὸ μέγιστον, ὅτι καὶ λόγῳ καὶ πειθοῖ (η2) τὴν ἀρχὴν ἐπιτρέψας, ἔλαθεν ἡμᾶς τῶν ἀπληστάτων τε καὶ ὀνομαστοτάτων ἐπὶ σκληρότητι πλείονα χρήματα ταῖς δημοσίαις ψήφοις (θ2) εἰσενεγκών· ἐφ' οἷς οὐδεὶς ἐδάκρυσεν· ἐφ' οἷς οὐδεὶς ἀπέδοτο τὸν ἀγρόν· ἐκείνην ἄν τις εἰσφορὰν εὐσεβῆ δικαίως ἐκάλεσεν, ἣν οὐχ ὕβρις ἢ μάστιξ ἠνάγκασε. τὰ δὲ περὶ τῶν πολιτῶν (ι2), φεῦ τῆς μνήμης τῶν παυσαμένων! φεῦ τῆς πείρας τῶν ὁρωμένων! οὐδὲν οὖν ἀξιοῦμεν καινὸν, ἀλλ' ὑπὲρ τῶν νόμων Ἀνθέμιον ἱκετεύομεν· ὑπὲρ τῶν νόμων τὸν τούτων φύλακα, ὧν ἄξιον μὲν αἰδεῖσθαι τὴν ἀρχαιότητα· νόμου γὰρ δὴ καὶ τοῦτο σεμνότης (κ2)· εἰ δὲ τῷ δοκεῖ (λ2), τῶν διαταγμάτων τὰ νεώτερα, τὴν ὡς ἂν εἴποι τὶς ἔμψυχον ἔτι βασιλείαν ἐπιγραφόμενα.

Πυλαιμένει. 74.

Ἔπεμψά σοι τὸν λόγον Ἀττικουργῆ, τῆς ἀκριβοῦς ἐργασίας· ὃν ἂν μὲν ἐπαινέσῃ Πυλαιμένης ἡ κριτικωτάτη τῶν ἀκοῶν, αὐτὸ τοῦτο τῇ διαδοχῇ τοῦ χρόνου συνέστησεν· εἰ δὲ μηδὲν φανεῖται σπουδαῖον, ἔξεστι δήπου παίζειν τὰ παίγνια.

Νι-

νάγκασαν συνθέσθαι ὥστε κατειπεῖν Γενναδίου. (η2) Πιθανῷ λόγῳ, οὐχὶ ὡς Ἀνδρόνικος τυραννικῇ βίᾳ. (θ2) Τὰ χρήματα εἰσήνεγκεν οὐκ εἰς τὰς δημοσίας ψήφους· ἀδιανόητον γὰρ τοῦτο· ἀλλ' εἰς τὸ βασιλικὸν ταμεῖον, διὰ τῶν τοῦ δήμου ψήφων, εἴτ' οὖν κρίσεων καὶ συγκαταθέσεων, ἑκοντὶ, οὐ βίᾳ τὰ χρήματα τοῦ δήμου συνεισφέροντος. (ι2) Τὰ μὲν περὶ τοῦ Γενναδίου οἷάπερ εἶπον, ἦν· τὰ δὲ τῶν πολιτῶν, οἷα θρηνεῖν αὐτοὺς καὶ τῶν παυσαμένων ἀγαθῶν μεμνημένους, καὶ τῶν ὁρωμένων κακῶν πειρωμένους. (κ2) Πᾶν γὰρ τὸ ἀρχαιότητι διαφέρον αἰδέσιμον καὶ κατὰ τὸν μέγαν Βασίλειον. (λ2) Ἀντὶ τοῦ, εἰδὲ οὐ δοκεῖ σοι τὰ ἀρχαῖα τῶν διαταγμάτων αἰδεῖσθαι ὡς τῷ χρόνῳ παλαιωθέντα, αἰδέσθητι τὰ νεώτερα, τὰ καὶ τὰ ἀρχαῖα ἐπικυροῦντα, τὰ καὶ τὴν ἑαυτῶν βασιλείαν καὶ κυριότητα ἔμψυχον ἔτι, εἴτ' οὖν ζῶσαν ἐπιγραφόμενα, ὅ ἐστιν ἐπιδεικνῦντα, καὶ οὐχ ὡς τὰ ἀρχαῖα, τεθνηκυῖαν· τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. Ἢ καὶ οὕτω· αἰδέσθητι τὰ νεώτερα ὡς ἐπιγραφόμ: τὴν βασιλ: ἔτι ζῶσαν, ὅ ἐστιν ἔχοντα ζῶντας ἔτι τοὺς διατάξαντας α' τὰ βασιλεῖς

Νικάνδρῳ. 75.

Τοὐπίγραμμά μου (α) τὸ κλεινόν· πῶς γὰρ οὐ κλεινὸν, ὅπερ ὁ μέγας ἐπῄνεσε (β) Νίκανδρος; „Τῆς χρυσῆς εἰκὼν ἢ Κύπριδος ἢ Στρατονίκης (γ)„ ἐπίστασαι πάντως ὅτι καὶ εἰς ἐμὴν ἀδελφὴν ἐποιήθη παρ' ἐμοῦ τότε, παρὰ τοῦ στίχου μαθών. ταύτῃ τῇ φιλτάτῃ μου τῶν ἀδελφῶν, ἣν καὶ τῆς εἰκόνος ἠξίωσα καὶ τοῦ στίχου, Θεοδόσιος ὁ βασιλέως ὑπασπιστὴς (δ) σύνοικος, ἕνεκα μὲν τοῦ χρόνου (ε) καὶ τῆς ἐν στρατείᾳ προσεδρίας (ζ), κἂν ἐπροστάτησε (η) πάλαι· αἱ δὲ σπουδαὶ (θ) πλέον δύνανται τοῦ ἐνιαυτοῦ. ταύτῃ τε οὖν (ι) ὄφελος αὐτῷ γενοῦ, κἂν ταῖς δίκαις, εἴ τινες εἶεν αὐτῷ πρὸς Ἀνθέμιον. ὀνάσθω δέ τι τοῦ μεγάλου Νικάνδρου.

Θεο-

(α) Γράφε, τοὐπίγραμμά σου. (β) Γράφε, ἐποίησε· λέγει δὲ ὅτι κατὰ τὸν σὸν κλεινὸν ἐπίγραμμα (κλεινὸν δὲ αὐτὸ καλῶ, οἷα δὴ σὸν τοῦ εὐκλεοῦς ποίημα) ἐποίησα κἀγὼ ἐπὶ τῇ ἐμῇ ἀδελφῇ Στρατονίκῃ τότε, ὅτε σὺ τὸ σὸν ἐποίησας ἐπὶ τῇ σῇ. (γ) Τοῦτό ἐστι τὸ ἐπίγραμμα· ἔστι δὲ ἑξάμετρον ἡρωϊκὸν, καὶ μονόστιχον, ὥς γέ ἐστιν εἰκάσαι ἐκ τοῦ, ἣν καὶ τῆς εἰκόνος ἠξίωσα καὶ τοῦ στίχου, ὅπερ φησὶ παρακατιών. ἐπεγέγραπτο δὲ τῇ εἰκόνι τῆς ἀδελφῆς αὐτοῦ Στρατονίκης, ἣν καὶ Κύπριδα εἴτ' οὖν Ἀφροδίτην διὰ τὸ κάλλος καλεῖ. (δ) Ὑπασπισταὶ οἱ δορυφόροι τοῦ βασιλέως, καὶ τῶν ἡγεμόνων οἱ βοηθοί. (ε) Τοῦ μακροῦ. (ζ) Τῆς ἐν στρατιωτικῇ τάξει παραμονῆς. (η) Πρὸ πολλοῦ ἂν ἐγεγόνει στρατηγός. (θ) Οἱ διὰ μεσιτείας καὶ χρηματικῆς συνεισφορᾶς σπεύδοντες πρὸ καιροῦ προστατῆσαι, προτιμῶνται τῶν μακρὸν χρόνον ἐν στρατείᾳ διατριψάντων καὶ διαπρεψάντων. (ι) Δι' ὅ,τι ἄξιός ἐστι προστατῆσαι διὰ τὸν χρόνον. ἢ εἰς τοῦτο, τὸ προστατῆσαι δηλ: γενοῦ αὐτῷ ὄφελος.

ΕΠΙΘΕΩΡΙΑ.

Τῆς προκειμένης ἐπιστολῆς τὰ ἀπ' ἀρχῆς μέχρι τοῦ, παρὰ τοῦ στίχου μαθὼν, τεταραγμένα δοκεῖ καὶ ἀσύντακτα, καὶ ἄλλως ἐν ἄλλαις ἐκδόσεσιν ἀναγινώσκεται· οἱ μὲν γὰρ, τοὐπίγραμμά μου γράφουσιν, οἱ δὲ, τοὐπίγραμμά σου, οἷς ἑπόμενος καὶ ὁ ἡμέτερος καθηγητὴς, καὶ ἀντὶ τοῦ ἐπῄνεσεν, ἐποίησεν ἔγραψε, τήν τε αἰτιατικὴν (τοὐπίγραμμα) ἐκ δ', τοῦ ἐποιήθη ὡς δεύτερον ἐλλειπτικὸν κατηγόρησε συνάφειαν καὶ ἀκολουθίαν κατὰ τοὺς συντακτικοὺς λόγους τῷ λόγῳ περιποιούμενος, μένει γε μὴν οὐδὲν ἧττον τὰ τοῦ λόγου καὶ οὕτως ἀσύντακτα, καὶ ἀσυνάρτητα. ὅθεν τοῦ πειρᾶσθαι ταύτῃ τἀσύγκλωστα κλώθειν, ἐμοὶ δοκεῖ βέλ-

Θεοφίλῳ. 76.

Ὀλβιάταις· ἐτοι δὲ δῆμός εἰσι κωμήτης (α)· ἐδέησεν αἱρέσεως ἐπισκόπε, τε μακαριωτάτε πατρὸς Ἀθάμαντος τῷ μακρῷ βίῳ τὴν ἱερωσύνην συγκαταλύσαντος· ἐπεκαλέσαντο δὴ κἀμὲ, κοινωνὸν αὐτοῖς γενέσθαι τε σκέμματος· καὶ συνήθειαν μὲν ἀνδράσιν ἐκ πολλῶν καὶ πάντων ἀγαθῶν ποιεμένοις τὴν αἵρεσιν, πολὺ δὲ πλέον Ἀντωνίῳ συνήθειαν τῆς καλοκἀγαθίας, ὅτι καὶ καλῶν ἔδοξεν εἶναι καλλίων· ἐπὶ γὰρ τετον ἡ πάνδη-

τιον εἰπεῖν, ὡς τὸ, τἐπίγραμμά με ἔχει καλῶς', τό,τε ἐπήνεσεν ἴσαι· τὰ δὲ τε λόγε ἀσύντακτα, καὶ τοῖς γε γραμματικοῖς κανόσι μὴ συμβαίνοντα· ἐκ ἀγνοίᾳ ἀλλ' ἐπίτηδες τε Συνεσίε τετο ποιήσαντος· βελόμενος γὰρ συςῆσαι Νικάνδρῳ τὸν τῆς ἰδίας αὐτε ἀδελφῆς σύζυγον, ἤρξατο ἐκ ἀπ' αὐτε τε συςησομένε προσώπε, ἀλλ' ἀπὸ τῆς γαμετῆς αὐτε· καὶ ἐδ' ἀπ' αὐτῆς ταύτης ἀμέσως, ἀλλ' ἀφ' ε περ ἔρθη ποιήσας εἰς αὐτὴν ἐπιγράμματος, ὅπερ φαίνεται λίαν θαυμάσας ὁ Νίκανδρος ἰδών· εἶθ' ὡς ἐπεισιῶδες δῆθεν τέτε ἀμελήσας, ἐδράξατο τῶν καιριωτέρων, ἀσύντακτα, ἢ μᾶλλον εἰπεῖν, ἐκκρεμῆ καὶ ἀνανταπόδοτα τὰ πρῶτα ἐάσας. Τὰ δὲ τοιαῦτα ἡμῖν ἤδη σόλοικα καὶ ἀσύντακτα δοκεντα, σχήματ' ἄττα τοῖς πάλαι ἦσαν, εἰδόσιν ἀκριβῶς τὴν χρῆσιν αὐτῶν, ἐνέργειαν πλείονα τῶν κατὰ λόγον συντεταγμένων, καὶ ψυχὴν, ἵν' ἕτως εἴπω, τῷ λόγῳ ἐμποιεντα, ἅτε δὴ αὐτὴν τὴν διάθεσιν καὶ ψυχικὴν κατάςασιν τε γράφοντος παριςῶντα· ἀλλὰ ταῦτα μὲν παρεκβατικώτερον· τὸ δὲ προκείμενον ἕτως ἐπισυνάψαις. Οἶσθα τἐπίγραμμά με τὸ κλεινόν· εἴγε ἐπίςασαι πώτως μαθὼν (εἴτ' ἐν ἀναμνησθεὶς) ἀπὸ τε ςίχε (τε, τῆς χρυσῆς εἰκὼν κτ.) ὅτι ἐποιήθη παρ' ἐμε τότε καὶ εἰς ἐμὴν ἀδελφήν· ὁ σύνοικος γεν (ἵνα ἅψωμαι τε σκοπεμένε) ταύτης με τῆς φιλτάτης τῶν ἀδελφῶν κτ.

(α) Γείτονες ἡμῖν· κώμη γὰρ καὶ πολλῶν οἴκων σύςημα ἔξω τῆς πόλεως κειμένων, καὶ ἡ γειτονία. εἰς δέγε κατάληψιν τῶν ἑξῆς ἰςέον ὡς ἔθος ἦν τὸ πάλαι αἵρεσιν ἐπισκόπε ἢ μητροπολίτε ἢ πατριάρχε ποιεμένοις, πολλὰς ἅμα κατὰ ταὐτὸ, ἢ τρεῖς γεν, ὥς φησι Συμεὼν ὁ Θεσσαλονίκης, αἱρεῖσθαι· εἶθ' ἐνὶ τέτων τὰς ψήφες ἐπάγειν, ᾑρημένῳ μὲν καὶ πρὸ τέτε τυγχάνοντι, ἐξ ἔθες δ' ἕτω πολλοῖς συμψηφιζομένῳ· διάγε τετο φησὶ καὶ Συνέσιος παρακατιών, ἐκ πολλῶν καὶ πάντων ἀγαθῶν ποιεμένοις τὴν αἵρεσιν (ἐκλογήν.) καὶ, ὅτι καὶ καλῶν ἔδοξε καλλίων.

μος ψῆφος ἐπέχθη. προςεθέντων δὲ καὶ δυοῖν εὐλαβεςάτων ἐπισκόπων τῇ γνώμῃ τοῦ πλήθους, οἷς συνετέθραπτο, καὶ ὧν τῇ θατέρου χειρὶ πρεσβύτερος ἀπεδέδεικτο· ἐτύγχανον μὲν οὐδ᾽ αὐτὸς ἀγνοῶν πάνυ τὸν Ἀντώνιον, ἀλλὰ δι᾽ ὅσων αὐτὸν ἔγνων λόγων καὶ πράξεων, διὰ τοσούτων ἐπῄνεσα· προσθεὶς δὲ οἷς ἠπιστάμην καλοῖς, ἅπερ ἤκουσα, φέρω κἀγὼ τὴν ἐμαυτοῦ ψῆφον ἐπὶ τὸν ἄνδρα· καὶ γένοιτ᾽ ἄν μοι βουλομένῳ κοινωνὸν αὐτὸν εἰς τὴν ὁμότιμον ἱερωσύνην προσδέξασθαι. ἑνὸς οὖν ἔτι δεῖ, τοῦ κυριωτάτου μέντοι, τῆς ἱερᾶς σου χειρός· τούτου μὲν Ὀλβιάταις δεῖ, ἐμοὶ δὲ εὐχῶν.

*) Ἀνυσίῳ. 77.

Οὐκ ἐθέλει περιμένειν (α) ἄλληλα τὸ φῶς καὶ τὸ σκότος, ἀλλὰ νόμῳ φύσεως περιίσταται. ἐπανελθόντες ἀπὸ τῆς σῆς πομπῆς Ἀνδρόνικον κατελάβομεν.

Τῷ αὐτῷ. 78.

Οὐδὲν ἂν γένοιτο Πενταπόλει λυσιτελέστερον, τοῦ σοῦ ἀγαθοὺς καὶ ἄνδρας καὶ στρατιώτας Οὐννιγάρδας προτετιμῆσθαι πάντων στρατιωτῶν, οὐ τῶν ἐγχωρίων λεγομένων μόνον, ἀλλὰ καὶ ὅσοι πώποτε κατὰ συμμαχίαν εἰς τούσδε σοῦ τόπους ἀφίκοντο. ἐκεῖνοι μὲν γὰρ (α) οὐδεπώποτε πολλαπλάσιοι ἐλάττοσι τῶν πολεμίων με-

---

*) Ὁ Ἀνύσιος οὗτος ἡγεμὼν ἦν ἐν τῇ Κυρηναϊκῇ· παραλυθέντος δὲ τούτου τῆς ἀρχῆς ἡγεμόνευσεν Ἀνδρόνικος ὁ κακοποιὸς, περὶ οὗ ἔγραψε τόσα καὶ τόσα· ὧν ἁπάντων προτέρα ἡ παροῦσα ἐπιστολὴ, ἣν ἔγραψεν Ἀνυσίῳ ἐπανελθὼν τῆς πομπῆς δι᾽ ἧς προὔπεμψαν αὐτὸν ἐξελθόντα τῆς πόλεως. εἰκάζει δὲ τὸν μὲν Ἀνύσιον φωτὶ, τὸν δὲ Ἀνδρόνικον σκότει. (α) Ἐναλ: παραμένειν.

(α) Οἱ ἐγχώριοι καλούμενοι, οὐ μὴν ἀλλὰ καὶ οἱ πώποτε κατὰ συμμαχίαν εἰς τούς δε τοὺς τόπους ἀφιγμένοι, καὶ εἰ πολλαπλάσιοι εἶεν (τῶν πολεμίων

μετὰ τοῦ θαῤῥεῖν συνηνέχθησαν· οὗτοι δὲ δὶς ἤδη καὶ τρὶς πρὸς ἄνδρας ὑπὲρ χιλίους τὸν ἀριθμὸν, μόνοι τετταράκοντα μετὰ τοῦ Θεοῦ, καὶ σοῦ στρατηγοῦ παρετάξαντο, καὶ νίκας τὰς μεγίστας καὶ καλλίστας ἀνείλοντο. τῶν δὲ εἰς ὄψιν αὐτοῖς ἐλθόντων βαρβάρων τοὺς μὲν, ἀπολωλεκότες, τοὺς δὲ, ἀπεληλακότες, τά τε μετέωρα τῆς χώρας ἔτι περινοστοῦσι, καὶ τὰς εἰσβολὰς τῶν πολεμίων φυλάττουσιν, ὥσπερ σκύλακες αὐλῆς προπηδήσαντες, ἐφ᾽ ᾧ θηρίον οὐκ ἐναλεῖται τῇ ποίμνῃ. ἀλλ᾽ ἡμεῖς αἰσχυνόμεθα τοὺς ἀριστέας, ἐν αὐτοῖς τοῖς ὑπὲρ ἡμῶν ἱδρῶσι (β) δακρύοντας· οἷα γὰρ καὶ γεγράφασι πρὸς ἡμᾶς, ἐγὼ μὲν οὐκ ἀπαθῶς ἀναγινωσκομένων ἀκήκοα, ἀξιῶ δὲ μηδὲ σὲ τὴν ἱκεσίαν αὐτῶν παριδεῖν· δέονται γὰρ δὴ σοῦ μὲν δι᾽ ἡμῶν, βασιλέως δὲ διὰ σοῦ δέησιν, ἣν εἰκὸς ἡμᾶς ἦν, ἐκείνων σιωπώντων (γ), ποιήσασθαι, μὴ καταλεγῆναι τοὺς ἄνδρας ἀριθμοῖς ἐγχωρίοις (δ)· ἀχρεῖοι γὰρ ἂν ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο (ε), τῶν βασιλικῶν δωρεῶν ἀφῃρημένοι, οἱ μήτε ἵππων ἕξουσι διαδοχὴν, μήτε ὅπλων παρασκευὴν, μήτε δαπάνην ἀγωνισταῖς ἀνδράσιν ἀρκοῦσαν. μὴ σύγε, ὦ μετ᾽ αὐτὸν ἀριστεῦ, μὴ περιίδῃς τοὺς στρατιώτας εἰς ἀτιμοτέραν τάξιν χωροῦντας, ἀλλ᾽ οὗτοί τε μενόντων ἄσυλοι τῶν γερῶν ἐν βεβαίῳ (ζ) τῆς πρότερον ἀξίας (ὃ γένοιτ᾽ ἂν, εἰ διὰ τῆς σῆς ἀναφορᾶς ὁ φι-

---

δηλ:) οὐδεπώποτε δ᾽ οὖν συνηνέχθησαν (ἦλθον εἰς χεῖρας) μετὰ θάῤῥους καὶ τόλμης στρατιωτικῆς, πολεμίοις, καὶ εἰ ἐλάττονες σφῶν εἶεν. (β) Δέον, ἀνθ᾽ ὧν ὑπὲρ ἡμῶν ἠρίστευσαν, τιμωμένους χαίρειν, οἱ δὲ, θρηνοῦσιν ἀτιμαζόμενοι. (γ) Καὶ εἰ ἐσιώπων οὐδὲν ἧττον ἐκεῖνοι. (δ) Ἐντεῦθεν δῆλον ὅτι οἱ Οὐννιγάρδαι οὗτοι κατὰ συμμαχίαν, ἢ καὶ μισθῷ ἐτύγχανον στρατευόμενοι. (ε) Ἑαυτοῖς μὲν, ὡς μηδένα πόρον πρὸς τὸ ζῆν ἔχοντες, ἡμῖν δὲ, ὡς μὴ πολεμοῦντες ὑπὲρ ἡμῶν τῆς στρατείας παραλυθέντες. Ἐμοὶ δέγε δοκεῖ ὡς τὸ καταλεγῆναι ἀριθμοῖς ἐγχωρίοις, οὐκ ἦν στρατείας παραλυθῆναι, ἀλλὰ δωρεῶν τινων βασιλικῶν καὶ προνομίων ἀφαιρεθῆναι· ἃ ἔξω μὲν τῶν ἐγχωρίων ἀριθμῶν ὄντες, ἐκαρποῦντο, ἐντὸς δὲ γινομένοις γένοιτ᾽ ἂν ἀποβαλεῖν ὡς κατὰ χρέος ἤδη, ἀλλὰ μὴ κατὰ χάριν, καὶ αὐτῶν δὴ τούτων καὶ μόνων ἕνεκα ὡς πρότερον στρατευομένοις. (ζ) Βεβαίαν καὶ ἀσάλευτον ἔχοντες τὴν προτέραν

φιλανθρωπότατος ἡμῶν βασιλεὺς μάθοι, πόσον ὄφελος ἐγένοντο Πενταπόλει) καὶ δεήθητι βασιλέως ὑπὲρ ἡμῶν ἐν τοῖς σαυτοῦ γράμμασι δέησιν ἑτέραν, ἄνδρας ἑκατὸν ἑξήκοντα τοῖς τετταράκοντα τούτοις προσεθῆναι. μετὰ τοῦ Θεοῦ, τίς οὐκ ἂν ἀποφήναιτο διακοσίους Οὐννιγάρδας, καὶ γνώμην καὶ χεῖρα τούτοις παραπλησίους, ὧν οὐχ ἥκιστα ἐπαινοῦμεν τὸ πρᾶον (η) τῆς γνώμης, σοῦ στρατηγοῦντος ἀρκέσειν εἰς τὸ διαπολεμηθῆναι βασιλεῖ τὸν Ἀσυριανὸν πόλεμον; καὶ τί δεῖ καταλόγων πολλῶν, καὶ τῆς φοιτώσης κατ' ἐνιαυτὸν δαπάνης τοῖς ἐνθάδε στρατεύμασι; χειρῶν δεῖ τῷ πολέμῳ, καὶ οὐκ ὀνομάτων πολλῶν (θ).

Ἀναστασίῳ. 79.

Οὐδὲν ἐγὼ γέγονα χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ (α)· οὐδὲ γὰρ οὐδ' ἑτέρῳ τινὶ τῶν ἀδικουμένων· ἄρχει γὰρ παρ' ἡμῖν ὁ Βερονικεὺς Ἀνδρόνικος, ἀποφρὰς ἄνθρωπος, παλαμναίαν ἔχων καὶ γνώμην καὶ γλῶτταν· ὃς εἰ μὲν ἐμοῦ καταφρονεῖ, πρᾶγμα οὐδέν, ἀλλ' αἰσχύνεσθαί μοι δοκεῖ καὶ τὰ θεῖα τιμῆσαι. οὗτος ἀράσσει τῇ κεφαλῇ τὸν οὐρανόν. νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν, σχῆμα Πενταπόλει πένθιμον ἐπιτέθεικε, δακτυλήθρας, καὶ ποδοστράβας ἐξευρών, καὶ ξένα ἄττα κολαστήρια κατ' οὐδενὸς τῶν ἀδικούντων· πάνυ γὰρ τὸ νῦν (β) ἔξεστι τῷ βουλομένῳ ἀδικεῖν

κεῖν

ἀξίαν. (η) Μᾶλλον ἢ τὴν χεῖρα, τὴν δύναμιν· ἐπαινοῦνται γὰρ τῶν στρατιωτῶν οἱ πρὸς μὲν τοὺς πολεμίους αἱμοχαρεῖς καὶ θηριώδεις, πρὸς δὲ τοὺς ὑπηκόους πρᾳεῖς. (θ) Ἀντὶ τοῦ, ὀλίγων μὲν καὶ ἀνδρείων, ἀλλὰ μὴ πολλῶν καὶ ἀχρείων.

(α) Ὡς μὴ δυνηθεὶς ἀπαλλάξαι αὐτὸν, ἧς ὁ Ἀνδρόνικος ἐκέλευσεν αὐτὸν ἔχεσθαι προσωπικῆς λειτουργίας· ἣν γὰρ ἐπιτάξας αὐτῷ δασμοφορεῖν τῷ δημοσίῳ καὶ ὑπὲρ τοῦ ἰδίου προσώπου, ὅπερ ἀπεῖπεν ὁ νόμος τοῖς κληρικοῖς, ὑπὲρ μόνων τῶν ὁσίων λειτουργεῖν, εἴτ' οὖν δασμοφορεῖν αὐτοὺς κελεύσας. Κατὰ τοῦτο ἑρμήνευσον, εἰ βούλει, καὶ τὸ; ἀξιοῦται συντελεῖν ὥσπερ οἱ νεόβουλοι κτ. τῆς 38, ἐπιστολῆς· τὰ γὰρ ἐκεῖ γραφέντα ἐξ εἰκασμοῦ καὶ μόνου ἐγεγράφησαν. (β) Τόγε νῦν ἔχον· ὁδὲ νοῦς· οὐδὲν γὰρ μέλει αὐτῷ τιμωρήσασθαι τοὺς

κεῖν· τῶν δὲ τῶν συντελέντων ὑπὲρ τῶν ὀσιῶν, καὶ τῶν ἄλλων ὅ,τιῦν ὀφειλόντων (γ)· δεινὸς γὰρ ἀνὴρ ὑποθέσεις ἐξευρίσκειν, τῇ τε ἑαυτῦ καὶ τῇ Θόαντος φύσει πρεπύσας· ὃν ἐπὶ τῶν δεσμωτηρίων ὄντα, ταῖς ἀπαιτήσεσιν ἔταξε τῦ στρατιωτικῦ χρυσίυ, τῦ καλυμένυ Τιρωνικῦ· καὶ συνῆψε τὰ αὐλαναῖα (δ)· καὶ ἀεί τι καινὸν ἐπὶ παλαιῷ κακὸν (ε), ἐφ' ᾧ τῶν φύλα καὶ δήμυς αἰκίζεσθαι (ζ)· ὐ γάρ ἐστιν ὐδὲ τοῖς ἔχυσι καὶ πλυτῦσιν ἀμαστιγώτοις ἀναχωρῆσαι, ἀλλ' ἕως ὁ παῖς οἴκαδε βαδίζει τὸ χρυσίον οἴσων, ὁ δεσπότης ἠλόηται (η), καὶ παρ' ὀνίυς τῶν δακτύλων ἐγένετο (θ). ὅταν δὲ προφάσεως ἀπορῇ δυναμένης αὐτὸν ἐστιάσαι, Μαξιμῖνος καὶ Κλεινίας ἔφεδροι (ι)· ἐν ἐκείνοις χαρίζεται τῷ πάθει (κ). ἀλλά μοι δοκεῖ

ἀδικῦντας. (γ) Οἱ γὰρ δι' ὀφειλὴν καθειργνύμενοι ὐχὶ καὶ αἰκίζονται ἐν τῇ εἱρκτῇ· κακύργων γὰρ τῦτό γε.

(δ) Ἐκ τῆς Αὐλῆς (ἥτις δηλοῖ καὶ τὸ ἀρχεῖον, εἴτ' ὖν τὸν βασιλικὸν οἶκον) Αὐλαναῖα παρωνομάσθη ἅττα τὸ ὑπήκοον εἰς διατροφὴν τῶν ἐν τοῖς ἀρχείοις, εἴτ' ὖν τῶν παλατίνων ξυνεισφέρειν ἐτάχθησαν κατὰ κεφαλὴν χρήματα. Ὁ γῦν Ἀνδρόνικος ἔταξε τὸν Θόαντα, συνάμα τῷ στρατιωτικῷ χρυσίῳ καὶ τὰ Αὐλαναῖα ἀπαιτεῖν· καὶ τῦτο βόλεται τὸ, συνῆψε τὰ Αὐλαναῖα, τῷ στρατιωτικῷ δηλαδὴ χρυσίῳ· δοκεῖ δὲ τῦ τε στρατιωτικῦ χρυσίυ, καὶ τῶν Αὐλαναίων τὴν εἴσπραξιν κακίζειν ὁ Συνέσιος, ὡς παρὰ, εἴτ' ὖν ὑπὲρ τὴν διατεταγμένην φορολογίαν, εἴτ' ὖν δασμοφορίαν γεγονυῖαν ὑπ' Ἀνδρονίκυ· ἐπεὶ ἡ νενομισμένη φορολογία (ἀπόδοτε γάρ φησι, τὰ Καίσαρος Καίσαρι· καὶ αὖ, τῷ τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος, τὸ τέλος· ἔστι δὲ τὸ μὲν τέλος ὑπὲρ τῶν κινυμένων· ὁ δὲ φόρος ὑπὲρ τῶν ἀκινήτων ὀσιῶν) ὐδενὸς ἀλλ' ἢ τῦτε στρατοπέδυ καὶ τῶν Αὐλαναίων ἕνεκα, ἐσθ' ὅτε δὲ καὶ ὑπὲρ ὁδοστρωσιῶν καὶ γεφυρῶν γινομένη, ὐκ ἔστιν ἐν κάκῃ· κακίζοιτο δ' ἂν ἄλλως τὺς ἀπόρυς αἰκίζυσα, ἢ καὶ τῶν εὐπόρων τὺς ὑπὲρ τῶν ὀσιῶν μὴ ὑπὲρ τὸ διατεταγμένον ξυντελῦντας, ὡς ἐποίει Ἀνδρόνικος τὰ κολαστήρια, φησὶν, ἐξευρὼν ὐ κατὰ τῶν ἀδικόντων, κατὰ δὲ τῶν ξυντελύντων ὑπὲρ τῶν ὀσιῶν, καὶ τῶν ἄλλων ὅ,τιῦν ὀφειλόντων εἴτε δηλαδὴ δημόσιον, εἴτε ἰδιωτικόν. (ε) Ἐπινοεῖ, ἐξευρίσκει.

(ζ) Τῶν ἰδιωτικὰ ὀφειλόντων, καθ' ἕνα ἐν τῷ δεσμωτηρίῳ αἰκιζομένων, τὺς τὰ δημόσια εἰσπραττομένυς εἰκὸς ἅμα τε καὶ ὁμῦ κατὰ φῦλα καὶ δήμυς αἰκίζεσθαι. (η) Τέτυπται, ὡς οἱ ἀστάχυες ἐν ἅλωνι καταπεπάτηται. (θ) Καί τινας τῶν δακτύλων ἐν τῷ τυπτεῖσθαι ἀπέβαλε. (ι) Ὑπόθεσις, ὑποκείμενον, ὕλη τῆς ὠμότητος αὐτῦ· τύτυς δὲ κρατήσας εἶχεν ἐν δεσμωτηρίῳ ἐπὶ θανάτῳ, ἵνα ὑγιάνῃ ὁ Ὕπαρχος ὡς παρακατιὼν ἐκτίσθησιν. (κ) Θεραπεύει,

τοιοῦτος ὢν (λ), πονηρῶν δαιμόνων προνοίας τυγχάνειν, οἳ βούλονται μὲν ἐπαινεῖσθαι καὶ εὐτυχεῖν τὰς παλαμναιοτάτας ψυχάς, αἷς ὀργάνοις δύνανται χρῆσθαι πρὸς τὰς κοινὰς συμφοράς. ἀπὸ τούτων (μ) οὖν παρασκευάζουσιν αὐτῷ δόξαν ὡς ἀνδρὶ γυναίῳ· καί τοιπῶς εὔλογον (ν), ὅς τις ὑπερύψωσε τὸν ὑψηλὸν, καὶ τὸν ταπεινὸν ἐταπείνωσεν, ἐφ᾽ οὗ πᾶς μὲν μέτριος καὶ πρᾶος τὸν τρόπον, ἐν Καρὸς μοίρᾳ καὶ ἄτιμος, δύνανται δὲ μόνοι Ζηνᾶς καὶ Γούλιος, Ζηνᾶς ὁ πράξας πέρυσι τοῦ διπλοῦς φόρους (ξ), ὅς ἀπειλεῖ τὸν ἐμὸν ἀδελφὸν Ἀναστάσιον (ο) παραπρεσβείας (π), καὶ διώξεσθαι, καὶ αἱρήσειν; οὗτος μέντοι ἑκόντος αὐτοῦ δύναται, Γούλιος δὲ ἄκοντός τε καὶ κλάψοντος· καὶ κατ᾽ οὐδενὸς οὕτως, ὡς κατ᾽ Ἀνδρονίκου γέγονεν ἰσχυρότερος· ἐγκραγὼν γὰρ αὐτῷ δίς που καὶ τρὶς, καὶ τοῖς ἐξ ἁμάξης λοιδορησάμενος, καὶ πάντα ἐπανατεινάμενος, ἅπερ ἂν εἰρῆσθαι καὶ παρ᾽ ἐμοῦ τοῦ παντὸς ἂν ἐτιμησάμην, ἀπέδειξε τὸ κάθαρμα μῦν ἀντὶ λέοντος· καὶ ἐξ ἐκείνου χρῆται καθάπερ ἀνδραπόδῳ, παρ᾽ ὅσον ἀδεῶς οὐδὲ ἐν ταῖς γωνίαις ὑποψιθυρίζειν κατὰ τοῦ δεσπότου τολμᾷ· τοῦτο δὲ δήπουθεν (ρ) ἔξεστι τοῖς οἰκέταις ποιεῖν, Ἀνδρόνικος δὲ οὐδὲ τοῦτο (σ)· τὸ γὰρ ἀλόγιστον ἀνδρεῖον (τ) μὲν οὐδαμοῦ, παρὰ δὲ τοὺς καιροὺς, δειλόν τε καὶ θρασὺ γίνεται (υ), τοῦτ᾽ ἔστιν ἁπανταχοῦ (φ) πονηρόν. ὁ θαυμάσιος Ἥρων,

---

κορέννυσι τὴν θηριότητα. (λ) Ἐπεὶ τοιοῦτός ἐστι. (μ) Τῶν κοινῶν συμφορῶν. (ν) Ὑπολαμβάνεσθαι γύναιον τὸν τοιοῦτον, ὃς ὑπερύψωσε τὸν ὑψηλὸν καὶ ἐταπείνωσε τὸν ταπεινὸν, ὅπερ δειλοτάτου ἔργον ἀλλ᾽ οὐ γυναίου· τοὐναντίον γὰρ ἂν ἐποίησεν, εἴπερ ἄρα. (ξ) Ὥστε καὶ τοῦ στρατιωτικοῦ χρυσίου καὶ τῶν Αὐλαναίων ἡ εἴσπραξις ὡς διπλῆ τυχὸν ἐκακίζετο τῷ Συνεσίῳ. (ο) Σὲ δηλ: τὸν ἐμὸν ἀδελφόν· πρὸς γὰρ αὐτὸν τοῦτον ἡ ἐπιστολὴ, ὡς δῆλον ἔκ τε τῆς ἐπιγραφῆς καὶ τοῦ τέλους τῆς ἐπιστολ: (π) Ἐν τῷ διαπρεσβεύσασθαι προδοσίας. (ρ) Τὸ ἐν ταῖς γωνίαις ὑποψιθυρίζειν κατὰ τοῦ δεσπότου. (σ) Ἐνήλλαξε τὸ σχῆμα, δέον, Ἀνδρονίκῳ δὲ οὐδὲ τοῦτο (τὸ κατὰ Γουλίου ἐν γωνίᾳ ὑποψιθυρίζειν) ἔξεστι. (τ) Διὰ γὰρ ἀλογίαν ἐκπίπτων τῆς μεσότητος, ὁτὲ μὲν εἰς ὑπερβολὴν τὸ θράσος, ὁ τὲ δὲ εἰς ἔλλειψιν τὴν δειλίαν ἐκκλίνει. (υ) Ὡς καὶ Ἀνδρόνικος

Ἥρων ἀξίως αὐτοῦ πρὸς ὑμᾶς ἐρεῖ τὰ περὶ αὐτοῦ (χ), ἄν γε δὴ διαγένηται (ψ)· διετέθη γὰρ οὕτως ὑπ' αὐτοῦ τοῦ συνεῖναι τῇ μοχθηρίᾳ τοῦ ἀνθρώπου, καὶ καθ' ἡμέραν ἀπορρήγνυσθαι, καὶ οἷς ἤκουσε δεινοῖς, καὶ οἷς ἔπαχεν, ὡς καὶ μόλις ἐλευθερωθεὶς τῆς θανατηφόρου συνουσίας, δύσελπις εἶναι τὴν ἑαυτοῦ ζωὴν καταλήψεσθαι (ω). καὶ οὔπω τότε Θόας ἀπὸ τῆς ἐνδοξοτάτης ἀποδημίας (α 2) παρῆν· νυνὶ γὰρ οὗτός ἐστιν ὁ πᾶσιν αὐτὸν τοῖς εὐεργέσιν ἐπιτειχίσας Δεκέλειαν (β2), τὸ ἀπόρρητον τοῦ ὑπάρχων (γ2) διακομίσας ἐνύπνιον, ὃ βούλεται μὲν τὴν ἐνθάδε τεθνάναι τινὰς, βούλεται δὲ δεδέσθαι τινάς· καὶ δέδενται παρ' ἡμῖν ἄνθρωποι διὰ τὸ ἐνύπνιον τὸ ἀπόρρητον. οἱ δὲ, ἀπ' οὐδεμιᾶς φαινομένης αἰτίας ἀποθνήσκουσι· καὶ γὰρ εἰ μηδέπω τεθνήκασιν, ἀλλ' αὐτίκα τεθνήξονται· τὸ μὲν γὰρ ἐπὶ ταῖς μάστιξιν, ἀπολώλασι· τὸ δὲ ἐπὶ τῇ τῶν σωμάτων ἰσχύϊ, ζῶσιν ἔτι μέχρι ταύτης τῆς ἡμέρας, ἐν ᾗ πέμπω τὰ γράμματα. ἀλλ' οὐχ ὑγιανεῖ, φησὶν, ὁ μέγας Ἀνθέμιος, οὐδὲ παύσεται πυρέττων ὁ Ῥωμαίων ὕπαρχος, ἂν μὴ Μαξιμῖνος καὶ Κλεινίας ἀπόλωνται· ταῦτα Θόας ἡσυχῇ θρυλλεῖ· διὰ τοῦτο οὐδὲ εἰσφέροντος (δ 2) ἀνέχεται Μαξιμίνου. ἀλλ' ἀνασοβεῖ πάντας ὁ Ἀνδρόνικος, σοῦ ὠνουμένους τὰ Λευκίππου· πρόκειται γὰρ οὐ τὸ πληρωθῆναι τὰ δημόσια, ἀλλὰ σοῦ ὑπάρχους ὑγιαίνειν· οἵτινες εἰσκληθέντος οἴκοι Θόαντος μόνου, τοῦ σοφιστοῦ (ε 2), φησὶ, μόνου παρόντος ἐξενηνόχασι πρὸς αὐτὸν τὸ ἐνύ-

---

θρασὺς μὲν, εἰσπράττων καὶ αἰκίζων, δειλὸς δὲ τοῖς ἐξ ἁμάξης ὑπὸ Ἰουλίου λοιδορούμενος. (φ) Καθ' ἑκάτερα τὰ ἄκρα· ἢ ἐν παντὶ καιρῷ. (χ) Τοῦ Ἀνδρονίκου. (ψ) Ἐπιζήσῃ. (ω) Ἴσως ἀναληψέσθαι (ἀνακτήσεσθαι. (α2) Τῆς εἰς τὸ στρατόπεδον· ὡς γὰρ τὸ στρατιωτικὸν διακομίζων χρυσίον, οὗ καὶ πράκτορ ἦν, ἐνδόξως εἰς Ἀνθέμιον τὸν ὕπαρχον ἀπεδήμησεν. (β2) Ὥσπερ οἱ Ἀθηναῖοι τοῖς Πελοποννησίοις ἐπετείχισαν τὴν Δεκέλειαν. (γ 2) Πληθυντικῶς αὐτὸν τὸν Ἀνθέμιον ἐννοεῖ, ὡς ἐκ τῶν ἑξῆς δηλοῖ λέγων, εἶτα ἀφ' ὧν ἕτερος ὄναρ ὁρᾷ, μᾶλλον δὲ ἰδεῖν λέγεται ὑπὸ Θόαντος. (δ2) Χρήματα. (ε2) Τοῦ μάντεως τυχὸν, ἢ τοῦ ὀνειροκρίτου.

νύπνιον. καὶ οἱ λιμένες (ζ2) ἐκλείσθησαν (η2), ὅσαγε δὴ Θόας ὄμνυσιν, ἕως αὐτὸς ἐκπλεύσας φθάσῃ, καὶ πρὸς Ἀνδρόνικον ἐξενέγκῃ τὸ ἀπόῤῥητον, ἵνα μὴ λάθῃ τὶς (θ2) διαδρὰς τῆς ἀξίων ἀντὶ τοῦ Ἀνθεμίου τεθνάναι ψυχῆς. εἶτα ἀφ' ὧν ἕτερος ὄναρ ὁρᾷ, μᾶλλον δὲ ἰδεῖν λέγεται, Πεντάπολις ὕπαρ πέπραγε πονήρως· Ἀνδρόνικος γὰρ ὁ τὰ τοιαῦτα (ι2) πιςευθεὶς, καὶ εὐεργέτης τοῦ εὐτυχοῦς τῆς ὑπάρχων οἰκίας ἐσόμενος, μαίνεται ἐκπάγλως πίσυνος Θόαντι, οὐδέ τι οἶδε τίνειν ἀνέρας οὐδὲ Θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν. ἐν τούτοις τῇ πατρίδι τῆς πραγμάτων ὄντων, οὐκ ἐδέησεν Εὐαγγελίῳ μάντεως εἰς προαγόρευσιν τοῦ πονηρῶς ἀπαλλάξειν εἰς τὸ δικαςήριον ἀπελθόντι (κ2)· ἀλλ' αὐτὸς Ἀνδρόνικος ἄντικρυς, οὐ πρὸς τοῦτον, οὐδὲ πρὸς ἐκεῖνον, ἀλλὰ πρὸς αὐτὸν Εὐάγγελιον ἐξήγγειλε τὴν γνώμην τὴν ἑαυτοῦ, καὶ ἔχεσθαι τῆς λειτουργίας ἐθελοντὴν ἐκέλευσεν, ἐὰν σωφρονῇ· πάντως γὰρ ἀποφανεῖσθαι τὴν καταδικάζουσαν. ἀπολελόγημαι (λ2) δὴ καὶ Θεῷ, καὶ τῷ θείῳ Διοσκουρίδῃ, καὶ πᾶσιν ἀνθρώποις, ὡς ἔγωγε ἀτιμότερος ἐξ ἐντιμοτέρου γέγονα, τάγε ἀνθρώπινα· ἀσθενέςερος δὲ ἐξ ἰσχυροτέρου. καὶ Ἀνδρόνικος ἀπόντων μὲν ἡμῶν τὴν δύναμιν ἐθεράπευσε (μ2), δι' ἣν οὐ γέγονε δὶς ἐπ' Ἀλεξανδρείας ἀγώγιμος· παρόντι δὲ οὕτω χρῆται νὴ τὴν ἱερὰν ὑμῶν κεφαλὴν, ὡς ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον, κἂν ἐξήγαγον ἐμαυ-

---

(ζ2) Τῆς Κωνςαντινουπόλεως. (η2) Ἅμα τῷ ἐκπλεῦσαι τὸν Θόαντα. (θ2) Πρὸ τῆς τοῦ Θόαντος ἐπιδημίας, μαθὼν τὸ ἐνύπνιον. (ι2) Τὸ ἀπόῤῥητον ἐνύπνιον δηλ: (κ2) Τοῦτο διπλοῦν παρέχει τὸν νοῦν· ἢ ἐὰν ἀπέλθῃ εἰς τὸ δικαςήριον ζητήσων κατὰ νόμους ἀπαλλαγῆναι τῆς λειτουργίας, ἢ ἐὰν ἀχθῇ ὑπ' Ἀνδρονίκου εἰς δικαςήριον ἀνθ' ὧν οὐκ ἔχεται τῆς λειτουργίας. (λ2) Φαίνεται ἐκ τούτων ἐγκληθεὶς ὑπό τε Διοσκουρίδου καί τινων ἄλλων, ἀνθ' ὧν τὸν ὑπ' αὐτῷ πρεσβύτερον ὡς ἐπίσκοπος οὐκ ἀπήλλαξε τῆς δημοσίου λειτουργίας.

(μ2) Μεσίταις ἡμῶν ἐν Ἀλεξανδρείᾳ οὖσιν ἀπὸ Πενταπόλεως ἐχρήσατο ὡς μὴ καὶ δεύτερον εἰς Ἀλεξάνδρειαν ὑπὸ τῶν ἐναγόντων, ἢ ὑπὸ τοῦ τῆς Ἀλε-

μαυτὸν κρατηθεὶς ὑπὸ τοῦ πάθους· οἶδα γὰρ ὅτι θῆλυς εἰμι περὶ τοῦτο πέρα τοῦ δέοντος· νῦν δὲ οὐ λογισμῷ τοῦ πάθους ἐκράτησα, ἀλλ' Ἀνδρόνικος ἀντιπεριήγαγε, καὶ πρὸς ταῖς κοιναῖς συμφοραῖς τὸν νοῦν ἔχειν ἐποίησε· καὶ γεγόνασί μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθει πάθος ἐκκρούουσαι, ὀργὴ συμμιγὴς λύπῃ τὴν ἐπὶ τῷ παιδίῳ λύπην. οἶδα ὅτι μοι μαντευτὸς ἦν θάνατος εἰς κυρίαν τοῦ ἔτους ἡμέραν· καὶ γέγονεν ἐκείνη καθ' ἣν ἱερασάμην. ᾐσθόμην μεταβολῆς βίου, ὃς ἄχρι νῦν ἐμπανηγυρίσας αὐτῷ, καὶ τιμῆς ἀνθρωπίνης, καὶ πάσης γλυκυθυμίας παρ' ὁντιναοῦν τῶν πώποτε πεφιλοσοφηκότων ἀπολελαυκὼς, οὐχ ἧττον διὰ τὰ θύραθεν, ἢ διὰ τὴν παρασκευὴν τῆς ψυχῆς, ἅμα πάντων ἀφῃρημένος αἰσθάνομαι. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι καὶ δύσελπιν τὸν βίον ποιεῖ· οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκετείαις Θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος, ὃς τὴν μὲν οἰκίαν κακῶς ὁρῶ πράττουσαν, τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι· καὶ πᾶσιν ἐκκείμενος ἐφ' ᾧ προσανακλάεσθαι, καὶ τὰ καθ' αὑτὸν ἕκαστον ὀλοφύρεσθαι, προσθήκην ἔχον Ἀνδρόνικον τὸν κολοφῶνα τῶν κακῶν, δι' ὃν οὐδὲ ἀκαρῆ καρποῦμαι τὴν συντροφόν μοι σχολήν· ἀλλ' ἐμὲ δεῖ μηδὲν ὄφελος ὄντα μηδενὶ, πάντων προσιόντων, καὶ τὴν ἀσθένειαν ἡμῶν διελεγχόντων, ἀνέχεσθαι. πρὸς ταῦτα δέομαι, πάνυ σφόδρα δέομαι ἀμφοῖν μὲν ὑμῶν (ν2), διαφερόντως δὲ σοῦ τῆς φίλης μοι κεφαλῆς, ἀδελφὲ Ἀναστάσιε· σὺ γὰρ δὴ φήμην ἔχεις προστατεῖν ἀνδρὸς λυσσῶντος· εἴτις σοι δύναμις πάρεστιν· ὑπὲρ Συνεσίου γὰρ μᾶλλον, ἢ ὑπὲρ Ἀνδρονίκου δικαιότερος ἂν εἴης αὐτῇ χρώμενος· ἀπάλλαξον κατηφείας Πτολεμαΐδα τὴν λαχοῦσάν με πόλιν, οὐκ ἐμοῦ γ' ἐθέλοντος (ξ2) οἶδεν ὁ πάντα ὁρῶν ὀφθαλμὸς τοῦ Θεοῦ. οὐκ οἶδα ὑπὲρ τίνων ἐκτίνω

ξανδρείας Ἐπάρχου ἀχθῆναι, ἐφ' οἷς τὸ πρῶτον ἤχθη. (ν2) Διοσκουρίδου καὶ σοῦ. (ξ2) Τὸ λάχος, εἴτ' οὖν τὸν ἐπισκοπικὸν κλῆρον τῆς πόλεως ὡς οἶδε κτ.

τίνω τοσαύτας δίκας. καὶ οὕτω, φησὶ, Θεῶν ἐπίφθονοι πρότερον ἦμεν, ἀποχρόντως τετιμωρήμεθα. ἀλλὰ ταύτην γε τὴν φωνὴν ἄξιον εἰπεῖν καὶ ὑπὲρ Μαξιμίνου καὶ ὑπὲρ Κλεινίου (ο 2), οὓς ἐμοὶ δοκεῖν ἂν καὶ ὅς τις ὠμότατος δαιμόνων ἠλέησεν· ἐξηρήσθων τοῦ λόγου Θόας τε καὶ Ἀνδρόνικος, οἱ μόνοι δαιμόνων ἀμείλικτοι.

*) Θεοφίλῳ. 80.

Ἐγὼ μὲν οἷος ἦν τῷ πατρικῷ προςάγματι καὶ χεῖρα καὶ γνώμην ὑπηρέτιν εἰσενεγκεῖν· ἀλλ' οὐκ ἂν οἶμαι κάλλιον Ἀμπέλιος ἐσκέψατο περὶ τῶν ἑαυτῷ λυσιτελούντων, ἢ Νίκαιος ὑπὲρ τοῦ πῶς ἀλλοτριωθείη τοῦ ἑαυτοῦ. οὔτε γὰρ ἐφ' οἷς πρότερον ἀπῆρεν (α) οἶδα καλῶς, οὔτ' ἐπὶ τίσιν ἐπανῆλθεν (β), οὔτ' ἐπὶ τίσιν αὖθις ἀποδημεῖ· πῶς γὰρ, ὃν οὔτ' εἶδον, οὔτε περὶ αὐτοῦ τι σαφὲς ἀπηγγέλλετο, ἀλλὰ τὴν ἐπιστολὴν τῆς ἱερᾶς σου χειρὸς, ἕτερός τις ἐκόμισε, καὶ ταύτην ἀντήτησεν, ὡς ἤδη Νικαίου λύσαντος τὸ περυμνήσιον (γ). καὶ οὐκ ἐγὼ μὲν οὐκ εἶδον αὐτὸν, ὁ δ' ἡγεμὼν εἶδεν, ἢ ἤκουσεν, ἀλλὰ κἀκεῖνος οὔτ' εἶδεν, οὔτ' ἤκουσε. πῶς οὖν ἔτι Νίκαιον νικᾶν ὑπέρόριον ἐν ἀγρῷ διατώμενον· ἀλλ' ἀντὶ (δ) τούτου

(ο 2) Ὅτι κἀκεῖνοι οὕτω θεῶν ἐπίφθονοι ἦσαν κτ':

*) Ἀμπελίου καὶ Νικαίου Ἀδελφῶν ὄντων, ὁμὴν καὶ ὁμομητρίων, ἀλλ' ἑτεροθαλῶν, ὁ Ἀμπέλιος τὰ μητρῷα τοῦ Νικαίου κατ' ὀλιγωρίαν ἐκείνου ἰδιοποιήσατο. ὑπὲρ δὴ τούτων ὁ Νίκαιος, ἣν παρὰ Θεοφίλου τῷ Συνεσίῳ ἐκόμισεν ἐπιστολὴν, (ἐν ᾗ ὁ Θεόφιλος καὶ τὸν ἡγεμόνα διὰ Συνεσίου συνεκίνει) δι' ἑτέρου τῷ Συνεσίῳ δοὺς, ἀπέπλευσεν οὐδετέρῳ τούτων ἐμφανισθείς· καὶ οὕτως ἀπηλλοτριώθη τῶν ἑαυτοῦ. ὁ γοῦν Συνέσιος ἀπολογίαν ἑαυτοῦ πρὸς Θεόφιλον ποιεῖται διὰ τῆς παρούσης ἐπιστολῆς· εἰς Νίκαιον μὴ ἐμφανισθέντα αὐτῷ, τὴν αἰτίαν τοῦ μὴ πεπληρῶσθαι τὸ πατρικὸν αὐτοῦ πρόςαγμα ἀναφέρων.

(α) Εἰς Ἀλεξάνδρειαν· ἐχρῆν γὰρ αὐτὸν εἰπεῖν τῷ ἰδίῳ ἐπισκόπῳ Συνεσίῳ ὅτι ὑπὲρ τῶν μητρῴων ἀπαίρει, (β) Ὡς μὴ ἐμφανισθεὶς μοι. (γ) Τό, ὡς ἤδη ἐκ παραλλήλου ἀντὶ τοῦ, ὅτε ἤδη ἔλυσε. (δ) Ἴσ: ἀλλ' αὐτί.

τε (ε) πολλὰ κἀγαθὰ καὶ ὅσα φέρουσιν ὧραι τοῖς γεωργοῖς ἔχοντα· πλείω δ' ἂν ἦν, εἰ καὶ τῶν μητρῴων ἐκράτησε.

Τῇ Φιλοσόφῳ. 81.

Εἰ καὶ μὴ πάντα ὁ δαίμων (α) ἀφελέσθαι μου δύναται, ἀλλὰ βούλεται ὅσα γε δύναται (β)·

Ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὔνιν ἔθηκεν·

Ἀλλὰ τόγε προαιρεῖσθαι τὰ βέλτιστα καὶ τίθεσθαι (γ) τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται· μὴ γὰρ δὴ καὶ τῆς γνώμης ἡμῶν (δ) κατισχύσειε. μισῶ μὲν οὖν ἀδικίαν· ἔξεστι γάρ· κωλύειν δὲ βουλοίμην μέν, ἀλλὰ καὶ τοῦτο τῶν ἀφαιρεθέντων ἐστὶ, καὶ οἴχεται καὶ τοῦτο πρὸ τῶν παιδίων. Πάλαι πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι· ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν· καὶ σύ με ἐκάλεις ἀλλότριον ἀγαθὸν, εἰς ἑτέρους δαπανῶντα τὴν παρὰ τῶν μέγα δυναμένων αἰδῶ· καὶ ἦσαν ἐκεῖνοι χεῖρες ἐμαί· νυνὶ δὲ ἁπάντων ἔρημος ὑπολείπομαι, πλὴν εἴ τι σὺ δύνῃ· καὶ γὰρ δή καὶ σὲ μετὰ τῆς ἀρετῆς, ἀγαθὸν ἄσυλον ἀριθμῶ. σὺ μὲν οὖν ἀεὶ καὶ δύνῃ καὶ δύναιο, κάλλιστα χρωμένη τῷ δύνασθαι· Νίκαιος δὲ καὶ Φιλόλαος οἱ καλοὶ κἀγαθοὶ νεανίαι καὶ συγγενεῖς, ὅπως ἐπανέλθοιεν τῶν ἰδίων γενόμενοι κύριοι, πᾶσι μελέτω τοῖς τὰ σὰ τιμῶσι καὶ ἰδιώταις καὶ ἄρχουσι.

Τῷ Ἀδελφῷ. 82.

Τίνα μέντοι, τίνα παρὰ τῶν οἷος αὐτὸς εἶ προσήκει θαυμάζεσθαι; τὸν σώφρονα, τὸν ἐμμελῆ, τὸν παιδείας ἑταῖρον,

---

(δ) Τοῦ νικᾶν τοῦτ' ἔστι τῶν μητρῴων κρατεῖν.

(α) Τὰ κατὰ συγχώρησιν Θεοῦ γιγνόμενα, ὑπὸ τοῦ δαίμονος φησὶν ὁ Συνέσιος γίγνεσθαι ὡς κἀπὶ τοῦ Ἰώβ. τὸ δὲ ὅς μ' υἱῶν πολλῶντε καὶ ἐσθλῶν εὔνιν (εἴτ' οὖν ἔρημον) ἔθηκεν, στίχος Ὁμηρικός ἐστιν ἐκ τοῦ Ω τῆς Ἰλιάδος. (β) Ἐπιτρέπεται δηλ: παρὰ Θεοῦ· πάντα μὲν γὰρ βούλεται, ἀλλ' οὐ πάντα καὶ ἐπιτρέπεται. (γ) Βοηθεῖν. (δ) Τὸ γὰρ αὐτεξούσιον οὐδὲ ὁ Θεὸς ἐθέλει βιάζεσθαι· ὁ δὲ δαίμων βούλεται μὲν, οὐ δύναται δέ.

τὸν προσανέχοντα τῷ Θεῷ καθάπαξ, τὸν οἷός ἐστι Γερόντιος. ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς, ᾧ χησάμενος, ὁρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Χρύσῃ. 83.

Οὐχ ὅτι μοὶ τῶν παιδίων συγγενής ἐστιν ὁ θαυμαστὸς Γερόντιος, συνίστημι τὸν νεανίσκον τῇ φιλίᾳ τῇ σῇ· καὶ τοῦτο μὲν γάρ· ἀλλ᾽ ὅτι πρέπων ἐστὶ τοῦ χρυσοῦ Χρύσου τοῖς τρόποις, εἰ δεῖ μέ τι καὶ ψυχρὸν εἰπεῖν καὶ Γοργιαῖον (α)· παντός μέν τοι μᾶλλόν ἐστιν ἀληθὲς εἰπεῖν σὲ εἶναι ἁπάσης ἀρετῆς εἴσω, καὶ τὸν διδόντα σοι τὴν ἐπιστολὴν ἀξιώτατον ἀπολαύειν σου τῆς συνουσίας.

Τῷ αὐτῷ. 84.

Μῆκος ἐπιστολῆς (α) ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ᾽ (β) ὁ θαυμαστὸς Γερόντιος οἶδε (γ) μὲν ὅσα κἀγὼ, εἰ δὲ μὴ πρὸς τὸ ψεῦδος ἀνοικείως εἶχε, διηγήσατο ἂν (δ) καὶ ὧν ἠπίστατο πλείονα, τῷ φιλεῖν ἐμὲ, καὶ τῷ γλῶτταν ἔχειν ἀρκοῦσαν τῇ γνώμῃ, ὃν ἂν ἴδῃς ἡδέως, εἶδες ὡς ἐγὼ βούλομαι.

Τῷ

(α) Ὥσπερ ὁ Γοργίας παρὰ Πλάτωνι ἐπαγγελλόμενος εἴτ᾽ οὖν αὐχῶν, ὅ,τι ἄντις βούληται αὐτὸν ἐρωτᾷν, πρὸς πάντα ἔχειν καὶ ῥᾳδίως καὶ διὰ βραχέων ἀποκρίνεσθαι, ψυχρὸς ἦν τοῖς περὶ τὸν Σωκράτη, εἴτ᾽ οὖν φορτικὸς οὐκ ἀνεκτός· δι᾽ ὃ καὶ πολυτρόπως ἠλέγχετο παρ᾽ αὐτοῦ· οὕτω κἀγὼ, φησὶ Συνέσιος, σοὶ τῷ Χρύσῃ τῷ πάσης ἀρετῆς εἴσω ὁμότροπον λέγων καὶ οἷον ὁμότιμον τὸν Γερόντιον, ψυχρὸς ἂν δόξαιμι. Ἐγὼ δὲ οὐ τοῦτό φημι ψυχρὸν καὶ Γοργιαῖον, ἀλλὰ τὸ, χρυσοῦν Χρύσην αὐτὸν προσειπεῖν. ὅπερ ἄντικρυς κολακεία ἐστι.

(α) Τὸ τὰ κατ᾽ ἐμαυτὸν εἰς πλάτος ἐκθέσθαι ἐν τῇ ἐπιστολῇ, ἔλεγχός ἐστι τοῦ διακομίζοντος τὴν ἐπιστολὴν, ὡς εἴη ἀνοίκειος ἐμοὶ, καὶ παρὰ τοῦτο οὐκ ἐθάρρησα αὐτῷ τὰ κατ᾽ ἐμαυτόν. (β) Ὁ ἀλλὰ, ἀντὶ τοῦ γάρ. (γ) Περὶ ἐμοῦ. (δ) Περὶ ἐμοῦ.

Τῷ αὐτῷ. 85.

Δέδεξο μετὰ τοῦ ἐμψύχου καὶ τὴν ἄψυχον ἐπιστολήν· μετὰ τοῦ θαυμαστοῦ Γεροντίου ταῦτα τὰ γράμματα, νόμῳ τὸ πλέον (α) ἢ χρείᾳ τοῦ προσειπεῖν σε γενόμενα. ὅτι γὰρ ἡμεῖς συζῶμεν τῇ περὶ σοῦ μνήμῃ, μυρίων ἐπιστολῶν μακρῷ μεγαλοφωνότερον ὁ νεανίσκος ἂν διηγήσαιτο.

Τῷ αὐτῷ. 86.

Ἐπιστολὴν ἐπέθηκα (α) τῷ θαυμαστῷ Γεροντίῳ πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν, τὸ τῆς πρώτης ἐντεύξεως παρέξουσαν πρόσφασιν· τότε (β) μὲν γὰρ αὐτὸν ἴσως δι' ἐμὲ τιμήσεις, μετὰ δὲ τὴν πεῖραν, ἑτερόν τινα (γ) δι' αὐτόν.

Τῷ αὐτῷ. 87.

Ὡς Δέδωκα τὴν ἐπιστολήν, ταμίας ἐστὶ καὶ σιτοδότης τοῦ Δαλματῶν τάγματος· πάντας δ' ἐγὼ τοὺς Δαλμάτας, ἴσα καὶ τοὺς ἱέας τιμῶ· δῆμος γάρ εἰσι λαχούσης με πόλεως. μόνα μὴν ταῦτα μηνῦσαι πρὸς σέ· σὸν δὲ τοῖς ἐμοῖς ὡς σαυτοῦ χρήσασθαι.

Πυλαιμένει. 88.

Ἠρινὰς ἀπὸ Θρᾴκης ἐπιστολὰς (α) κομισάμενος, ἠνώχλησα τῷ φακέλῳ (β) τῶν γραμμάτων, εἴπου τις εἴη τὸ κλεινὸν ἐπιγε-

(α) Τὰ τοῦ φιλικοῦ μᾶλλον ἀσπασμοῦ, ἢ χρείας τινος ἕνεκα γραφέντα. ὅρα καὶ τὴν 53 ἐπιστ. ἧς ἡ ἀρχὴ Μῆκος ἐπιστ.

(α) Ἀντὶ τοῦ ἐπέδωκα. (β) Ἐν τῇ πρώτῃ ἐντεύξει. (γ) Τιμήσεις.

(α) Συνδεδεμένας ἁπάσας ἐν τῷ φακέλῳ. (β) Τοῦ φακέλου λυθέντος τὰς ἐπιγραφὰς τῶν ἐν τῷ φακέλῳ γραμμάτων περιειργάζετο· εὐθὺς γὰρ ὡς

γεγραμμένη Πυλαιμένους ὄνομα· ὡς οὐκ ἄξιον ἑτέρῳ βιβλίῳ προεντυχεῖν· ἀλλ' ἰὼ οὐδὲν οὐδαμοῦ. εἰ μὲν οὖν τυγχάνεις ἀποδημῶν, ἀλλ' ἐπανέλθοις ταχέως τε καὶ καλῶς· εἰ δ' ἐπεδήμεις ἡνίκα πάντες οἱ γνώριμοι Ζωσίμῳ τὰς ἐπιστολὰς ἐπεδίδοσαν, τοῦτ' ἂν εἴη τὸ παράδοξον, εἴ τις ἐγένετο περὶ ἐμὲ Πυλαιμένους μνημονικώτερος.

Τῷ Ἀδελφῷ. 89.

Τέως μὲν ἐπράττομεν εὖ (α), εἶθ' ὥσπερ ῥεύματος ἀνθυπενεχθέντος, καὶ τὰ κοινὰ λυπεῖ, καὶ τὰ ἴδια· ζῶ τε γὰρ οὐκ ἰδιώτης (β) ἐν χώρᾳ πολεμουμένῃ, κἀμὲ δεῖ κλάειν ἀεὶ τὴν ἑκάστου συμφοράν· καὶ τοῦ μηνὸς πολλάκις ἐπὶ τὰς ἐπάλξεις πηδᾶν, ὡς ἐφ' ᾧγε συστρατεύσομαι μεμισθωμένον (γ), οὐκ ἐφ' ᾧγε προσεύξομαι. τριῶν ἀρρένων ἓν ἔτι μοι λείπεται. σὺ δὲ ἐὰν τῆς οὐρίας πλέῃς (δ), καὶ ζῇς ἡδέως, οὐ πάντα ἡμᾶς ὁ δαίμων λυπεῖ.

Θεοφίλῳ. 90.

Οἴχεται τὸ δίκαιον (α) τῆς ἀνθρώπων. Ἀνδρόνικος καὶ πρότερον ἠδίκει, καὶ νῦν ἀδικεῖται· τὸ δὲ τῆς ἐκκλησίας ἦθος οἷον ὑψῶ-

ἔοικε τὸ κατ' ἐκεῖνο καιροῦ, οὐκ ἐγγράφειν ἀλλ' ἐπιγράφειν τοὺς ἐπιστέλλοντας τὰ ἑαυτῶν ὀνόματα, ὥς ἐστιν ἰδεῖν κἀκτῆς 133, ἐπιστ: ἧς ἡ ἀρχὴ, Χθὲς καὶ πρώην ἐπὶ τῶν ἔναγχος, κἀκτῆς 101, ἧς ἡ ἀρχὴ, Φυκέντιος ἄνθρωπος.

(α) Εἰρηνικῶς καὶ ἀλύπως ἐζῶμεν ἄχρι τοῦ νῦν. εἶτα τῶν πολεμίων ῥεύματος δίκην ἀντεπελθόντων, ἡ τούτων ἀντεπιφορὰ λυπεῖ κτ: (β) Οὐ τῶν ἐμαυτοῦ, ὅπερ ἐστιν ἰδιώτου, ἀλλὰ τῶν κοινῶν φροντίζοντε καὶ ὑπερμαχῶν.

(γ) Ὡς μεμισθωμένον ἐφ' ᾧ συστρατεύσομαι οὐκ ἐφ' ᾧ προσεύξομαι.

(δ) Εὐτυχῆς δηλ: εἴληπται δ' ἀπὸ μεταφορᾶς τῶν πλοίων.

(α) Εἰ γὰρ πρότερον μὲν Ἀνδρόνικος ἠδίκει τὴν ἐκκλησίαν, νῦν δὲ ἡ ἐκκλησία ἀδικεῖ αὐτὸν, μὴ προσιεμένη τὴν ἐκείνου μετάνοιαν, ποῦ τὸ δίκαιον; (β) Ὁ χθὲς καὶ πρώην περίβλεπτος ταχθεὶς ἐν τῇ τῶν μετανοούντων χώρᾳ

ὑψῶσαι μὲν ταπεινὸν, ταπεινῶσαι δὲ ὑψηλόν. τοῦτον δὴ τὸν Ἀνδρόνικον, ἐμίσει μὲν ἐφ' οἷς ἐποίει· διὸ καὶ προήκατο μέχρι τούτων ἐλθεῖν· ἐλεεῖ δὲ νῦν, ἐφ' οἷς ἤδη τοῖς ὑπὲρ κατάραν ὡμίλησεν (β)· ὅτι καὶ τὸν νῦν ἐν δυνάμει (γ) δι' αὐτὸν ἐλυπήσαμεν. ἀλλὰ δεινὸν, εἰ μηδέποτε μετὰ τῶν εὐημερούντων στησόμεθα (δ), τοῖς δὲ κλάουσιν (ε) ἀεὶ συνδακρύσομεν (ζ). ἡμεῖς τε οὖν ἐνταῦθα συγνοῦ βήματος (η) αὐτὸν ἐξειλόμεθα, καὶ τἆλλα (θ) ἐλάττους αὐτῷ παρὰ πολὺ τὰς συμφορὰς (ι) ἐποιησάμεθα· κἂν ἡ σὴ θεοσέβεια φροντίδος αὐτὸν ἀξιώσῃ, τοῦτο μέγιστον ἐγὼ τεκμήριον δέξομαι, τοῦ μὴ παντάπασι τὸν ἄνθρωπον ἀπογνωσθῆναι παρὰ Θεοῦ.

Τρωΐλῳ. 91.

Πάλαι (α) μὲν ἀπραγμονεστέρας (β) ἐποιούμην τὰς πρὸς τοὺς ἑταίρους ἐντεύξεις καὶ παρὼν, καὶ γράφων· ἔξω γὰρ ἐπὶ τῶν βιβλίων τρό-

---

προσπίπτων καὶ προσκλαίων πᾶσι τοῖς εἰσιοῦσι τὴν ἐκκλησίαν. (γ) Οὐ μόνον τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἀρχόντων τοὺς, ὅσοι ἠθέλησαν ἔχειν μερίδα μετὰ Ἀνδρονίκου καὶ Θόαντος τῶν ἀκοινωνήτων γενομένων, ἀκοινωνήτους κἀκείνους καὶ τῆς κοινῆς τραπέζης, καὶ τῆς ἀπορρήτου τελετῆς ποιήσας ὁ Συνέσιος (ὡς ἐν τῷ τέλει τῆς πρὸς τοὺς ἐπισκόπους 58. ἐπιστολῆς διεμαρτύρατο) ἐλύπησε, τῇ ἀκοινωνησίᾳ δηλ: Σκοπεῖν δὲ μὴ ἄρα λέγοι τὸν ἀντὶ Ἀνδρονίκου ἄρξαντα. (δ) Εἰ τοῖς ἐν δυνάμει μηδέποτε κοινωνήσομεν τῆς ἐν εὐχαῖς συστάσεως δι' Ἀνδρόνικον, τοῖς κατηχημένοις αὐτοὺς συνεκβάλλοντες, ἢ μηδὲ συνεσθίοντες: Ἐμοὶ δέ γε δοκεῖ γενικῶς εἰρῆσθαι τοῦτό τε καὶ τὸ, τοῖς δὲ κλάουσιν ἀεὶ συνδακρύσομεν. (ε) Ἀνδρονίκῳ καὶ τοῖς αὐτοῦ, Θόαντι καὶ τοῖς αὐτοῦ. (ζ) Καὶ γὰρ ὥσπερ χαίρειν μετὰ χαιρόντων, οὕτω καὶ κλαίειν μὲν μετὰ κλαιόντων προστετάγμεθα, ἀλλ' οὐχὶ καὶ ἀεὶ, ἀλλὰ κυροῦν ποτε καὶ εἰς τοὺς κλαίοντας ἀγάπην, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῶσι (β', πρ. Κορ. 2, 6, κτ'. (η) Τῆς τῶν μετανοούντων χώρας. (θ) Κατὰ τὸ νηστείαις, ἀγρυπνίαις καὶ χαμευνίαις κακουχεῖσθαι. καὶ κατὰ τὸ μηδένα αὐτῷ μήτε ὁμορόφιον μήτε ὁμοτράπεζον γίγνεσθαι. (ι) Τὰ ἐπιτίμια.

(α) Πρὸ τοῦ ἱερωθῆναι. (β) Μὴ παρέχων οἷς ὡμίλουν πράγματα, μη-

τρόπον τινὰ ἀσύντακτος (γ) πάσῃ πόλει καὶ πολιτείᾳ· νυνὶ δὲ, ἐπέταξε γὰρ ὁ Θεὸς εἰς ἀποδεδειγμένον χωρίον οἰκεῖν, καὶ αὐτὸν ἔχειν ἐν τῇ πόλει τινὰ τάξιν, καὶ ζῆν ἐν διηριθμημένοις (δ) ἀνθρώποις· βουλοίμην ἂν οὖν ὄφελος εἶναι τοῖς συλλαχοῦσι, καὶ ποιεῖν ἀγαθὸν, ὅ,τι δυναίμην, καὶ ἕκαστον ἰδίᾳ, καὶ τὴν πόλιν κοινῇ, ἵν' ὁρῴην τε καὶ ὁρῴμην ἡδέως παρὰ τῶν, ὡς ἂν εἴποι τὶς, συμπλῶν τοῦ βίου. ἔτι τοίνυν Μαρτύριος ὄναιτο τῆς δι' αὐτὸν γινομένης ἐπιστολῆς, ἴσθι μοι χαρισάμενος ἐν ἀνδρὶ (ε) συνδιημερεύοντι, καὶ ναὶ μὰ τοὺς λόγους τἀμὰ καὶ τὰ παιδικὰ, πολλάκις εἰς τὸ συνεῖναί μοι πολὺ καὶ τῆς νυκτὸς μέρος ἐπιλαμβάνοντι.

Τῷ Ἀδελφῷ. 92.

Κακὸν οὐ μικρὸν ἀπολαύσω τῆς ἀγροικίας, (α) τῶν τρόπων λίαν ἀληθεύων διάθεσιν, εὖ ἴσθι ὅτι καὶ ἐπὶ τῆς Λιβύων ἐσχατιᾶς.

Ἡσυ-

δὲ ὀχλῶν αὐτοὺς ὑπὲρ τοῦ βοηθῆσαί τινι τῶν ἀδικουμένων. καίτοι καὶ πρότερον αὐτῷ καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον ἐχρήσαντο (ὡς ἐν τῇ κατὰ Ἀνδρονίκου φησὶν ὁ αὐτὸς) ἀλλ' οὐχ ὥστε καὶ τῆς φιλοσοφίας αὐτὸν ἀφέλκειν. (γ) Ἀκοινώνητος, ἀμιγὴς, Ἀγνώριστος. (δ) Κωμήταις, ἀγροδιαίτοις. οἵτινές εἰσιν εὐάριθμοι, ἀλλ' οὐκ ἐν πολιούχοις. (ε) Δι' ἀνδρὸς· ἐφ' ὅσον γὰρ ἂν ἐκείνῳ ποιήσῃς ἐμοὶ τοῦτο ἔσῃ πεποιηκώς.

(α) Ὅτι αἱ τοῦ Συνεσίου ἐπιστολαὶ ἀτάκτως ἐτέθησαν, δῆλον μὲν καὶ ἐξ ὧν τὰ τῆς ἱερατείας ἑαυτοῦ διηγεῖται, οὐχ ἧττον δὲ καὶ ἐκ τῆς προκειμένης, ἥτις δοκεῖ γραφῆναι μετὰ τὴν 148. ἧς ἡ ἀρχὴ, Ἀπέλιπον τὴν τάξιν τῶν φόρων. ἐν γὰρ ἐκείνῃ διασαφεῖ ὁποῖον κακὸν ἀπολαύσει τῆς ἀγροικίας κἀπὶ τῆς τῶν Λιβύων ἐσχατιᾶς· ὡς γὰρ τῶν ἐν τῇ ἐσχατιᾷ τῆς Κυρήνης ἀγροδιαίτων ἠπειρωτῶν τοῖς μὴ εἰδόσι θάλασσαν, τὰ ἐκ τῆς θαλάσσης ἀγαθὰ διηγούμενος, ἐγελᾶτο μὴ πιστευόμενος, οὕτω, φησὶ, γελασθήσεται κἀπὶ τῆς τῶν Λιβύων ἐσχατιᾶς διηγούμενος τοῖς ἐκεῖ ἀγροίκοις, ἅττα καὶ τοῖς ἐν τῇ ἐσχατιᾷ τῆς Κυρήνης, ἀληθολογῶν ἑκατέροις τὴν τῶν τόπων διάθεσιν, τοῦτ' ἔστι τὴν ἰδιότητα· τοῖς μὲν ἠπειρώταις, ὅτι δύναται τρέφειν καὶ ἀνθρώπους ἡ θάλασσα· τοῖς δὲ παραλίοις ὅτι εἰσὶν ἅλες καὶ ἠπειρῶται. ὅθεν ἀντὶ τοῦ, τρόπων, τόπων οἶμαι γραπτέον, ἵνα ᾖ λέγων, τὴν τῶν τόπων ἰδιότητα ἀληθολογῶν, τοῖς ἀγροίκοις γελασθήσομαι. Ἄλλη δὲ γραφὴ ἔχει· τῆς ἀγροικίας τῶν τρόπων,

Ἡσυχίῳ. 93.

Ἀθηναῖοι Θεμιστοκλέα τὸν Νεοκλέους ἐπῄνεσαν, ὅτι καίτοι πολιτικῆς δυνάμεως ἐραστὴς παρ' ὀντιναοῦν τῶν ἐφ' ἑαυτοῦ γενόμενος, ἀπηύξατο πᾶσαν ἀρχήν, ἐν ᾗ τῶν ξένων οὐδὲν ἔμελλον πλέον ἕξειν οἱ γνώριμοι· σοῦ δὲ ὅτι μὲν ἐπέγνωσαν τὴν ἀρετὴν οἱ καιροί, καὶ διὰ σὲ παρῆλθεν εἰς τὴν πολιτείαν ἀρχῆς ὄνομα, καὶ πρᾶγμα καινὸν (α), ἥσθην μὲν ὥσπερ εἰκὸς (β) ἑταίρους ἐκ παλαιοῦ γεγονότας, τῆς ἱερᾶς γεωμετρίας ἀλλήλοις ἡμᾶς μνηστευσάσης (γ)· ὅτι δὲ ἐν τοῖς βουλευταῖς (δ) καὶ τὸν ἐμὸν ἀδελφὸν ἀξιοῖς ἀριθμεῖν, ἀλλ' οὐκ ἀπαλείφεις τὴν οἰκίαν ἀπὸ τοῦ πονηροῦ βιβλίου, κἂν ἔτι κατὰ συμφορὰν ἀρχαίαν (ε) προειλήφει γενόμενον, τοῦτο δὲ (ζ) οὐ κατὰ Θεμιστοκλέα σέ φημι ποιεῖν, οὔτε δοκοῦντα τῇ θείᾳ γεωμετρίᾳ· Εὐόπτιον γὰρ ἐν ἀδελφοῖς ἔδει τετάχθαι τοῖς σοῖς, εἰ τὰ τῷ αὐτῷ τὰ αὐτά, καὶ ἀλλήλοις εἶναι δεῖ τὰ αὐτά (η)· εἰ δὲ διὰ τὸν τῶν περικεχυμένων πραγμάτων ὄχλον (θ) τὸ χρεὼν (ι) ἠμέληται μέχρι τοῦ νῦν, δεῖξον (κ) ὦ θαυμάσιε· καὶ λαβὼν τὴν ἐπιστολήν, ἄνες τὴν πενθερὰν αὐτοῦ τῆς ἀτόπου ζημίας, καὶ τὰ μετὰ ταῦτα (λ), καὶ τὰ πρὸ τοῦ· καὶ ἀπόδος μοι τὸν ἀδελφόν, ὃς εἰ μὲν δι' αὐτὸ τοῦτο (μ) ἀπο-

---

(α) Τοῦτ' ἔστι δίκαιον, ὡς τῶν πρὸ αὐτοῦ καὶ ὀνόματι καὶ πράγματι ἀδίκων ὄντων, οὐ πολὺ δὲ εἰπεῖν ὅτι τυράννων μᾶλλον, ἢ ἀρχόντων ὄντων. (β) Ἡσθῆναι τοὺς ἔκπαλαι γεγονότας ἑταίρους. (γ) Συναψάσης. (δ) Τοῖς λειτουργοῦσιν, εἴτ' οὖν συντελοῦσι τῷ δημοσίῳ· ὡς ἐξ ἐκείνης τῆς 38, ἐπιστ: δῆλον, ἧς ἡ ἀρχή. Οἶμαί σου τὴν θεσπεσίαν ψυχήν. (ε) Ἔοικε γάρ, ἵνα τῆς συμβάσης αὐτῷ συμφορᾶς ἀπαλλαγῇ, ἐγγραφῆναι τοῖς βουλευταῖς.

(ζ) Ὁ δὲ παρέλκει. (η) Εἰ ἐμοί, σύ τε καὶ ὁ Εὐόπτιος ἀδελφοὶ τῇ σχέσει, ὁ μέν, τῇ φυσικῇ, σὺ δέ, τῇ φιλικῇ, ἀνάγκη ἄρα καὶ ὑμᾶς ἑκατέρους ἀλλήλοις εἶναι ἀδελφούς, σὲ δηλ: Εὐοπτίῳ, κἀκεῖνον σοί. (θ) Τὴν τῶν πολιτικῶν ὑποθέσεων ὀχλώδη πληθύν. (ι) Ὅπερ ἐχρεώστεις ποιῆσαι.

(κ) Ὅτι οὐ δι' ὀλιγωρίαν ἠμέλητο. (λ) Καὶ κατὰ τὰ μετὰ ταῦτα· συνεκδοχικῶς· τοῦτ' ἔστιν ἀπάλλαξον αὐτὸν καὶ τῆς μετὰ ταῦτα, καὶ τῆς πρὸ τοῦ ἐπιζημίου λειτουργίας. (μ) Ἵνα ξυντελέσῃ τὴν ἄτοπον ζημίαν.

δημεῖ (ν), Θεὸς οἶδε· πρὸς ἐμὲ δὲ πάνυ παραμυθίας δεόμενον ἐπὶ πολλαῖς, ὧν οὐκ ἀνήκοος εἶ συμφοραῖς, οὐδὲν ἕτερον προφασίζεται (ξ).

Ἀνυσίῳ. 94.

Πρώην οὐκ ἔφθασα (α) τὴν βαρεῖαν ἀκοὴν ἀπὸ τῆς Κυρήνης πυθόμενος, κἀγὼ μὲν διενοούμην ᾗ τάχος (β) ἐπὶ τὰ Τεύχειρα παραπέμψαι τὴν φήμην· ἧκε δέ τις ἀγγέλλων, ὡς ὁ στρατηγὸς (γ) ἤδη τὰ μετέωρα τῆς χώρας κατείληφεν· ἐφθάκεις γὰρ ἄρα (δ) πυθόμενος· εὕραιο τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ Θεοῦ, καὶ νῦν καὶ εἰς ἔπειτα (ε). ἐγὼ δὲ αὐτὰ ταῦτα καὶ νῦν ἐπαινεσόμενος ἔπεμψα, καὶ πευσόμενος ἐν οἷς εἴης· εἴης δὲ ἐν ἅπασιν ἀγαθοῖς· μέλει μὲν γάρ μοι, μέλει καὶ Πενταπόλεως· πῶς γὰρ οὔ· τῆς γε μητρίδος (ζ), ὡς ἂν Κρῆτες εἴποιεν, οὐχ ἥκιστα δὲ σοῦ, καὶ τῆς δόξης τῆς σῆς; ἐφ᾽ ἑκάστῳ γὰρ δὴ τῶν σῶν ἀγαθῶν ἐμοὶ πάντες ἀξιοῦσι συνήδεσθαι. ὡς οὖν ἐν σοὶ κρινόμενος (η) ἄριστε ἀνδρῶν τε καὶ στρατηγῶν, δίκαιός εἰμι καὶ εἰδέναι τὰ σά. Ἰωάννην προετρεψάμην ὡς ἐνῆν, ἀγαθὸν εἶναι (θ), καὶ ἄλλως (ι) οὐκ ἄθυμον στρατιώτην, ἐὰν ὁ Θεὸς αὐτῷ τιθῆται (κ)· δὸς αὐτῷ χεῖρα διὰ τὸν ἀδελφόν, ὃς ἀντὶ πολλῶν ὑπουργήσει. τοῦτο (λ) ἐμοὶ

μὲν

(ν) Ἀφεὶς ἐμὲ μεμονωμένον. (ξ) Οὐδεμίαν ἄλλην αἰτίαν τῆς αὐτοῦ ἀποδημίας προβάλλεται ὅτι μὴ ταύτην.

(α) Τοῦτ᾽ ἔστιν εὐθὺς μετὰ τὸ πυθέσθαι. (β) Ἔῤῥωται καὶ ἡ αἰτιατική· καὶ γὰρ ἡ γενικὴ ἐν τῷ ᾗ τάχους, ᾗ ποδῶν εἶχεν, ἀντὶ αἰτιατικῆς ἐστι. τὸ δὲ ᾗ, ὧδε ἀνυπόγραφον ὡς οὐχὶ τοπικὸν, ἀλλὰ παραβολικὸν ὂν ἐπίῤῥημα; οἷον δὴ καὶ τὸ, ᾗ θέμις. (γ) Σὺ δηλαδή. (δ) Πρὸ ἐμοῦ. (ε) Εἰς τὸν μέλλοντα αἰῶνα. (ζ) Οἱ Κρῆτες τὴν θρεψαμένην αὐτοὺς πατρίδα καθ᾽ ὁμοιότητα τῆς γεννησαμένης αὐτοὺς μητρὸς, μητρίδα καλοῦσι. (η) Σὺν σοί τε καὶ μετὰ σοῦ ταττόμενος τὰ φιλικά, καὶ ὡς εἰπεῖν ὁμόφρων σοι. (θ) Τοῖς τρόποις. (ι) Καὶ κατὰ τὴν σωματικὴν ῥώμην. (κ) Βοηθήσῃ, συμπράξῃ. (λ) Τὸ δοῦναι αὐτοῖς (τῷ Ἰωάννῃ δηλ: καὶ τῷ ἀδελφῷ αὐτοῦ)

μὲν ἄριστον δοκεῖ βούλευμα, τῷ τὰς φύσεις εἰδότι τῶν νεανίσκων, καὶ ὡς ἔχουσι πρὸς ἀλλήλους αὐτοὺς· εἰ δὲ καὶ σοὶ φανεῖται (μ), κύριον ἔστω. τῶν ἑταίρων τοὺς στρατευομένους ἄσπασαι· ὁ συντροφός μου ταχέως ἐπανηκέτω, καλόν τι φέρων περὶ πολέμου διήγημα· ὃς καίτοι δειλότατος ὢν, ἐθάρσησε τὴν ὁδὸν, τῶν σῶν ὅπλων ἔμπροσθεν ὄντων. δὸς τῇ Κυρίνῃ τὴν συνωρίδα τῶν ἀδελφῶν· μαχοῦνται γὰρ ὑπὲρ τῆς ἐνεγκούσης τε καὶ τρεφούσης αὐτούς.

Τῷ ἀδελφῷ. 95.

Ὅτι μὲν ἡμᾶς εἴκειν ἡγῇ τοῖς σαυτοῦ προστάγμασιν· οὕτω γὰρ γέγραφας (α)· καλῶς γε ποιεῖς, καὶ δίκαια περὶ ἡμῶν φρονεῖς, καὶ πολλὰ κἀγαθά σοι γένοιτο διὰ τοῦτο· ὡς ἀπέχομέν γε τὴν χάριν (β), εἰ δή τις ὀφείλεται καὶ νεωτέρῳ παρ᾽ ἀδελφοῦ πρεσβυτέρου, τοῦ πείθεσθαι χάρις, ὡς οὐκ ἔγωγε οἶμαι· ἀλλ᾽ ἡμῖν εἰς ἀντίδοσιν (γ) ἀρκεῖ, τὸ μὴ ἀγνοεῖσθαι παρὰ σοῦ τὴν ἔνστασιν ἡμῶν (δ), ὅτι μόνῳ σοὶ τοῦ ζῶντων ἐκκείμεθα (ε)· ὅτι δὲ φῂς εἰδέναι σαφῶς, ὡς δι᾽ εὐχῆς ἄγει τὰ τῆς φιλίας ἡμῶν Γούλιος, τοῦτο δὲ (ζ) οὐκέτ᾽ ἄξιον ἀποδέχεσθαι· λίαν γὰρ οὖσιν ἀνδρὸς ἀπατωμένου, μὴ ἀπατῶντός γε (η) εἴποιμι. ὁμοῦ γὰρ ἐγώ τε (θ) παρὰ σοῦ γράμματα ἀνεγίνωσκον, καὶ ἕτερός τις τὰ παρ᾽ αὐτοῦ. καὶ σὺ μὲν ταῦτα φῂς, ἐκεῖνος δὲ τἀναντία· καὶ ἀνεγνωκέναι καὶ ἀκηκοέ

κοέ

χέτερα. ἐμοὶ τῷ εἰδότι τὰς φύσεις αὐτῶν δοκεῖ ἄριστον βούλευμα. (μ) Ἄριστον τὸ ἐμοὶ δόξαν βούλευμα, κυρωθήτω σοι. τὰ λοιπὰ, σκοτεινά.

(α) Ὅτι δηλαδὴ ἡγοῦμαί σε Συνέσιε εἴκειν τοῖς ἐμοῖς προστάγμασιν. εἶθα οὖν ὅτι Γούλιος δι᾽ εὐχῆς ἄγει τὰ τῆς φιλίας ἡμῶν, τοῦτ᾽ ἔστι, φίλος ἡμῶν γενέσθαι ἐν εὐχῆς μέρει τίθεται, ἢ εἶναι αὐχεῖ, εἴτ᾽ οὖν καυχᾶται. ὡς ἀπὸ μέρους δὲ τοῦ ἀδελφοῦ Συνεσίῳ νοητέον τοῦτο. (β) Χάριν εἴτ᾽ οὖν ἀμοιβὴν τῆς εὐπειθείας ἀπειληφέναι δοκεῖ λέγειν οὐθὲν ἀλλ᾽ ἢ τὸ δίκαια περὶ αὐτοῦ τὸν ἀδελφὸν φρονεῖν. (γ) Τῆς ἡμῶν πρὸς σὲ εὐπειθείας. (δ) Ὅπως οἰκονομούμεθα, ζῶμεν. (ε) Ἐλπίζομεν. ὅρα Βαρῖνον ἐν τῷ, ἔκκειμαι. (ζ) Κἀνταῦθα ὁ δὲ παρέλκει. (η) Ἐμέ· (θ) Γράφε ἐγὼ τὰ παρὰ σοῦ.

κοέναι λέγεται, ὅτι διαλέγοιτο περὶ ἡμῶν ἀνεπιτηδείους (ι) λόγους. οὔτ᾽ οὖν ἀπιστεῖν εἶχον (κ) ἀνδρὶ καλῷ κἀγαθῷ, καὶ πιστεύων, οὐ μὰ τὸν ὁμόγνιον (λ) τὸν ἐμόν τε καὶ σὸν, οὐ μετενόουν ἐφ᾽ οἷς εὖ πεποιήκειν τὸν ἄνθρωπον (μ), αὐτῇ τῇ προτεραίᾳ τὴν βίᾳ τὸν κατήγορον ἀποσκευάσας (ν), ὃς ἐδίωκεν αὐτὸν ἀσεβείας, ὡς ἀδικοῦντα τὴν βασιλέως ἑστίαν (ξ). νὴ γὰρ τὴν ἱεράν σου κεφαλὴν, εἰ μὴ ταῖς συχναῖς πείραις ἀντέχον, τοῦτο μὲν τῇ τοῦ δικαστοῦ δειλίᾳ, μετάνοιαν (ο) ἐπὶ τοιαύτης ὑποθέσεως οὐ προσιεμένου, τοῦτο δὲ (τῇ) τοῦ κατηγοροῦντος ἀπονοίᾳ (π), προσποιουμένου μὲν τὴν ἀνάγκην (ρ), προθυμουμένου δὲ δρᾶσαί τε κακόν τι καὶ παθεῖν, καὶ γαμετῆς ἂν αὐτοῦ (σ) καὶ παίδων ἥψατο τὸ δεινότατον (τ), καὶ συγγενῶν συχνῶν καὶ πάνυ φίλων, πλουσίων τε καὶ πενήτων· καὶ ὅλως κακῶς ἂν Ἰλιὰς περιέστη τὴν πόλιν ἡμῶν, ὑπ᾽ ἀνδρὸς (υ) ἀπογνόντος τὴν σωτηρίαν καὶ θανατῶντος· ἐνίκησε δ᾽ ἂν Ἰούλιος (φ) νίκην, ἐφ᾽ ᾗ (χ) ζῆν οὐκ ἂν ηὔξατο (ψ). ὑπὲρ ὧν ἁπάντων ᾠήθην ποιητέα μοι ταῦτα εἶναι τὰ γεγενημένα (ω)· τοῦ δὲ ἐμῆς φύσεώς τε καὶ προαιρέσεως παραπολαυέτω καὶ ὅς τις ἐχθιστος· πολλῷ γὰρ ἐμοὶ κάλλιον ἔχει, τὸ ἀναξίως τινὰ πεποιηκέναι καλῶς, ἢ περιϊδεῖν πολλοὺς, ἐξὸν κωλῦσαι, παρὰ τὴν ἀξίαν πεισομένους κακῶς· οὐ γὰρ δὴ καὶ τὴν εὐγενῆ γυναῖκα, καὶ τὰ παιδία τοῦ ἀνθρώπου μισῶ. καίτοι γε οὐδ᾽ αὐτὸς ἄξιός ἐστιν, ἐπὶ

ταῖς

(ι) Ἀφίλους, λοιδορίας. (κ) Τῷ τὰ παρ᾽ ἐκείνου ἀνεγνωκότι. (λ) Εἰώθει Συνέσιος ἐν πολλαῖς τῶν ἐπιστολῶν ἢ κατ᾽ αὐτῶν τῶν οἰκείων ὀμνύειν, μικροῦ μέλλον αὐτῷ τῆς λεγούσης ἐντολῆς, οὐδὲ ἐπὶ τὴν κεφαλήν σου ὀμόσῃς. (μ) Τὸν Ἰούλιον λέγει. (ν) Ἐκ μέσου ἀφανῆ ποιήσας. (ξ) Τῆς βασιλίσσης ἀποπειρώμενον. (ο) Τὴν τοῦ Ἰουλίου. (π) Ἀπογνώσει. (ρ) Προεφασίζετο γὰρ ὡς οὐχ ἑκὼν, εἴτ᾽ οὖν ἐθελοκάκως ἐδίωκεν ἀσεβείας τὸν Ἰούλιον, ἀλλ᾽ ἀναγκαζόμενος, ἵνα μὴ δηλ: τὴν αὐτὴν ἐκείνῳ δῷ δίκην, ὡς παρασιωπήσας, ἣν σύνοιδεν ἀσέβειαν. (σ) Τοῦ Ἰουλίου. (τ) Ἡ ἀσέβεια.
(υ) Τοῦ κατηγόρου. (φ) Χρήμασι πολλοῖς τὸν θανατῶντα Κατήγορον. (χ) Μεθ᾽ ἣν. (ψ) Χρόνας ἐν οἷς ἐνεκλήθη ἢ ὑπόληψιν, ἢ ἀξίαν, ἢ ἐξ ὄψεως τοῦ βασιλέως γενόμενος. (ω) Παρ᾽ ἐμοῦ ὑπέρ τε Ἰουλίου ἢ τῶν αὐτοῦ,

ταῖς κατ' ἐμοῦ λοιδορίαις παθεῖν τι κακὸν ὑπ' ἐμοῦ· πολλοῦ γε καὶ δεῖ· μισεῖσθαι μὲν γὰρ καὶ πάνυ· λυπεῖν γὰρ οἰόμενος λέγει, καὶ ὡς διεξόμενος φθέγγεται. ἡ προαίρεσις οὖν οὐκ ἀνεύθυνος, ἀλλ' ὑπαίτιος· ἴσω μέντοι, μᾶλλον δὲ μὴ ἴσω (α2)· παύσαιτο γὰρ ἂν εὖ ποιῶν (β2) ἡμᾶς· σὺ μέντοι σαφῶς ἴσθι τὸ πάλαι λεγόμενον, ὑπ' ἐχθρῶν ὡς ἐστιν ὠφελεῖσθαι, νῦν ἔργῳ φαινόμενον· τί γὰρ εἰς εὔκλειαν ὁ ἀνὴρ ἡμῖν οὐ συντελεῖ; πᾶς ὅστις ἡμᾶς ἐπαινεῖν βούλεται, μηδὲν ἕτερον ἐξευρίσκων εἰπεῖν, λέγει τοῦτο πρῶτον καὶ μόνον καὶ μέγιστον, ὡς Γέλιος αὐτὸν ἀγορεύει κακῶς· ἐνὶ δὲ τούτῳ τῷ λόγῳ, ποῖος οὐκ ἐσμὸς (γ2) ἀγαθῶν; τὸ γὰρ ἀντικειμένως ἔχειν πρὸς παντοδαπὴν πονηρίαν (δ2), οἰκείως δηλονότι ἔχειν πρὸς παντοδαπὴν ἀρετήν. ἐγὼ μὲν οὖν οὐδὲν ἂν ἐμαυτῷ συνειδείην τοιοῦτον, ἐκεῖνος δέ φησιν· οἷς γὰρ τἀναντία φησὶ (ε2), τοῦτο πιστοῦται· ὥστε καὶ χάριν ἂν εἰδείην αὐτῷ, νὴ τὴν ἱερὰν σου κεφαλὴν, καὶ τὴν τῶν παιδίων μου σωτηρίαν· οὐκ ἔστιν ὅ,τι ἂν (ζ2) μοι μεῖζον τοῦ λοιδορεῖσθαι χαρίσαιτο· καὶ γὰρ καὶ πρὸς Θεοῦ καὶ πρὸς ἀνθρώπων, ἐν τῷ καλλίστῳ μοι κείσεται τοῦτο. ἀλλὰ καὶ τῆς προαιρέσεως δώσει δίκας· ἐμοὶ μὲν, οὔ· τυχὸν μὲν γὰρ οὐδ' ἂν εἰ δυναίμην, βουλοίμην· πάντως δὲ, οὐδ' ἂν εἰ βουλοίμην, δυναίμην· τί γὰρ παρὰ τὸν ἐπὶ καιροῦ δυνάστην ἄνθρωπος οὕτως ἀτυχὴς, ὡς ἀλᾶσθαι φεύγων τὴν ἑαυτοῦ, καὶ μηδ' ἐλπίδας ἔχειν καθόδου, τῶν πολεμίων ἐστρατοπεδευκότων ἐν τοῖς ἐμοῖς, κἀκείνοις ὁρμητηρίοις κατὰ Κυρήνης χρωμένων; τίνι μέντοι, τίνι δώσει δίκας; αὐτῇ τῇ δίκῃ· ἐγγυῶμαι γὰρ ἐγὼ τοῦτο, σαφῶς εἰδέναι δοκῶ· μετελεύσεται γὰρ αὐτὸν ὑπὲρ ἐμοῦ καὶ τῆς κοινῆς πατρίδος, ὑπὲρ ἧς τἀναντία πεπολιτεύμεθα, καὶ δι' ἣν ἀλλήλοις ἀπηχθήμεθα· οὐ γὰρ ὑπὲρ τῶν ἐμαυτοῦ τινός· οὐδ' ἂν αὐτὸς εἰπεῖν ἔχοι· ἀλλὰ τὰ πρῶτα μὲν, ὅτι τὸ στρατιωτικόν τε καὶ τὸ

ϗ τῆς πόλεως. (α2) Ὡς εἴη ὑπεύθυνος. (β2) Λοιδορῶν. (γ2) Ἀντὶ οὗ πᾶς τις ἐσμός. (δ2) Πρὸς Γέλιον δηλ: τὸν παμπόνηρον. (ε2) Ταῖς γὰρ κατ' ἐμοῦ λοιδορίαις πιστοῦ κτ: (ζ2) Ὁ ἂν ἀσθενιστολογικὸς, καινοτρόπως

βουλευτικὸν ἑώρων εἰς θητικὸν (η 2), καὶ ἐπειρώμην ἀντέχειν· ἔπειτα μέντοι τὰ περὶ τὴν πρεσβείαν (θ 2) καὶ πάνυ λαμπρῶς διεστασίασεν ἡμᾶς. ἐῶ τὰ κατὰ τὸν ἑταῖρον (ι 2) Διοσκουρίδην, ὅτι μετρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι Θεοῦ τε καὶ ἀνθρώπων Νέμεσιν· αὕτη μέντοι σαφῶς ἐστι περὶ ἧς πρὸς Λύραν ᾄδομεν·

Λήθουσα δὲ παρὰ πόδα βαίνεις·
Γαυρούμενον αὐχένα κλίνεις·
Ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς·

ἀλλὰ ψηφίζεσθαι δέον· ἐγὼ μὲν ἔγραφον ὑπὲρ τῆς πατρίδος, ἀστρατείαν (κ 2) εἶναι τοῖς ξένοις· ὁ δὲ, ἀντέλεγεν ὑπὲρ Ἑλλαδίου καὶ Θεοδώρου (λ 2). καίτοι τίς οὐκ οἶδεν, ὅτι καὶ τοὺς φύσει στρατιωτικῶς ἔχοντας (μ 2) τῶν ἀρχόντων, οἱ ξένοι μεταδιδάσκουσι, καὶ μετασκευάζουσιν εἰς ἐμπόρους (ν 2); πάλιν ἔγραφον ὑπὲρ τοῦ λελύσθαι τὴν παρ' ἡμῖν στρατηγίαν (ξ 2), ὅπερ ἅπαντες ὁμοφώνως οἱ τῇδε ἄνθρωποι μόνον εἶναί φασι λυτήριον τῶν δεινῶν· ἐπανελθεῖν (ο 2) εἰς τὴν ἀρχαίαν ἡγεμονίαν τὰς πόλεις, ποῦ τ' ἔστιν ὑπὸ τὸν Αἰγυπτίων ἄρχοντα καὶ τὰς Λιβύων τετάχθαι· ὁ δὲ, ἀντέλεγεν ὑπὲρ τῶν κερδῶν (π 2), καὶ ἄντικρυς ἀπετόλμα λέγειν, ὅτι λυσιτελεῖ ταπεινοὺς εἶναι στρατιώτας (ρ 2). ἀλλ' ὦ τᾶν· ἄξιον γὰρ διὰ σοῦ πρὸς αὐτὸν εἰρῆσθαι· διὰ ταῦτα, νῦν μὲν ἐπάρατος εἶ, τῆς κοινῆς τύχης (σ 2) ἐπὶ τἀναντία πειρώ-

μενος

εὐκτικῇ, δέον ὑποτακτικῇ. (η 2) Ξένους, μισθωτοὺς ὄντας. (θ 2) Τὴν εἰς τὸν βασιλέα ὑπὲρ τῆς πατρίδος· καθ' ὃ οἷς μὲν ἔγραφον ἐγὼ, ἐκεῖνος ἀντέλεγε κτ: (ι 2) Ὅσα αὐτὸν Γέλιος ἠδίκησεν, ὅτι ἀνεκτὰ, καὶ οὐχ οἷα παροξῦναι κατ' αὐτοῦ τὴν θείαν δίκην. (κ 2) Μὴ ξένους μισθοῦσθαι στρατιώτας. (λ 2) Τῶν ξένων στρατιωτῶν. (μ 2) Τοὺς ἀμισθὶ στρατεύεσθαι πεφυκότας. (ν 2) Εἰς τὸ καὶ αὐτοὺς ἐμμίσθους κατὰ τοὺς ξένους στρατεύεσθαι. (ξ 2) Ὥστε μὴ Λίβυας Λυβύων ἄρχειν· ὅρα ἐπιστ: 73, ἧς ἡ ἀρχή· Σὺ γὰρ δὴ καὶ φιλόσοφος εἶ κτ: (ο 2) Ἔγραφον ἐγώ. (π 2) Τῶν ἰδίων ἑαυτοῦ. (ρ 2) Μισθωτοὺς δηλ: ξένους· ὡς τῶν ἀμίσθων γαύρων ὄντων. (σ 2) Τῆς

μένος· εὐτυχεῖς γὰρ ἐν ἀτυχοῦσιν· ἐγὼ δὲ τῇ πόλει συνατυχῶ· ἴσθι μέντοι σαφῶς, ὅτι φύσεώς ἐστι νόμος, ἐμπεριέχεσθαι τῷ καθόλου τὰ μέρη· καὶ ὅταν πάνυ πολὺς ἀπὸ τοῦ σώματος συμφορᾶς (τ 2) ὁ σπλὴν αὐξηθῇ, ἕως μὲν ἀντέχει (υ 2) τὸ ὅλον, εὐσθενεῖ τε καὶ πιαίνεται (φ 2)· ἀπολλυμένῳ δὲ συναπόλλυται. καὶ σὺ τὸ παρὸν (χ 2) εὖ τιθέμενος, λήσεις τοῖς σαυτοῦ πολιτεύμασιν εἱμαρμένη (ψ 2) τῆς πατρίδος τε ὤν, καὶ σαυτοῦ. μέχρι τούτου Λασθένης ὠνομάζετο φίλος Φιλίππου, μέχρι προὔδωκεν Ὄλυνθον· τὸν δὲ ἄπολιν, πῶς εἰκός ἐστιν εὐτυχεῖν;

Ὀλυμπίῳ, 96.

Ἐγὼ μάρτυρα ποιοῦμαι Θεὸν, ὃν καὶ φιλοσοφία καὶ φιλία πρεσβεύει, πολλὰς μὲν ἂν θανάτους ἀνθ' ἱερωσύνης εἱλόμην· τοῦ Θεοῦ δὲ ἐπενεγκόντος οὐχ ὅπερ ᾔτουν, ἀλλ' ὅπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην, ὡς μὴ φανῆναί μοι τὸ πρᾶγμα φιλοσοφίας ἀπόβασιν, ἀλλ' εἰς αὐτὴν ἐπανάβασιν. τέως (α) δὲ ὥσπερ εἴ τι μοι τῶν ἡδέων συνεπεπτώκει, ἐκοινωσάμην ἂν σοὶ τῇ πάντων φιλτάτῃ μοι κεφαλῇ (β), οὕτω καὶ τῶν δυσχερῶν (γ) εἰς σὲ παραπέμπω τὴν ἀκοὴν, ἵνα συνάχθοιό τε, καὶ ἔτι δύναιο πρὸς τὴν ἐμὴν φύσιν (δ) τὸ πρᾶγμα ἐξετάσας, εἰσηγήσαιο γνώμην, ὅ,τί με δεήσει ποιεῖν. νῦν γὰρ ἐγὼ πόρρωθεν οὕτω διαπειρῶμαι τοῦ πράγματος, ὡς ἕβδομον ἤδη μῆνα γενόμενος ἐν τῷ δεινῷ (ε), μακρὰν ἀποδημῶ τῶν ἀνθρώπων, παρ' οἷς ἱεράσομαι (ζ), ἕως ἂν ἀκριβῶς ὁποῖόν ποτέ ἐστι

τῇ

τῆς πόλεως ἀτυχίᾳ ἐπὶ τῇ σαυτοῦ εὐτυχίᾳ χρώμενος· ὡς ἑξῆς ἑρμηνεύει. (τ 2) Καχεξίας. (υ 2) Τὸ σῶμα ἀντέχει τῇ καχεξίᾳ. (φ 2) Ὁ σπλὴν δηλ: (χ 2) Τὸ σαυτοῦ. (ψ 2) Κακὴ τύχη.

(α) Νῦν δέ. (β) Γύναμοι συνήδοιο. (γ) Τῆς ἐμοὶ δυσχεροῦς Ἱερωσύνης. (δ) Ἀγωγὴν, προαίρεσιν ὡς ἑξῆς. (ε) Μεθ' ὃ ἐγενόμην ἐν τῷ δεινῷ, τῇ ἱερωσύνῃ, εἴτ' οὖν, μεθ' ὃ ἱεράτευσα. (ζ) Τὰ τῆς ἱερωσύνης

τῇ φύσει κατανοήσω. κἂν μὲν ἐγχωρῇ μετὰ φιλοσοφίας τὸ πρᾶγμα, ἐργάσομαι· εἰ δὲ ἀλλοῖόν ἐστιν (η), ἢ κατὰ τὴν ἐμὴν ἀγωγήν τε καὶ προαίρεσιν, τί ἄλλο, ἢ τὴν εὐθὺ τῆς κλεινῆς Ἑλλάδος ἀποπλέων οἰχήσομαι; ἀπειπαμένῳ γὰρ τὴν ἱερωσύνην, ἀπογνωστέον ἐστὶ καὶ τῆς πατρίδος, εἰ μή με δεῖ πάντων ἀτιμότατον εἶναι, καὶ ἐπαρατώτατον ἐν ὄχλῳ μισούντων ἀναστρεφόμενον.

Τῷ αὐτῷ. 97.

Τὴν ἐπιστολὴν ἀναγινώσκων, ἐν ᾗ διηγήσω περὶ τῆς ἀῤῥωστίας, καὶ ἐφοβήθην ἀρχόμενος, καὶ παυόμενος ἀνεθάῤῥησα. ἀπειλήσας γὰρ κίνδυνον, εὐηγγελίσω τὰ λῷονα. περὶ ὧν δὲ ᾔτησας πεμφθῆναι (α) παρ᾽ ἡμῶν, ἢ κομισθῆναι (β), τὰ δυνατὰ πάντα πάντως ἢ πεμφθήσεται, ἢ κομισθήσεται. τίνα δὲ αὐτῶν τὰ δυνατὰ, καὶ τὰ μὴ δυνατὰ, περιττὸν γράφειν· αὐτὴ γὰρ ἡ δόσις ἐπιδείξει. ἐῤῥωμένως καὶ εὐδαίμων διαβιῴης Θεῷ κεχαρισμένος, ἑταῖρε τριπόθητε. γένοιτο ἡμᾶς καὶ συμμίξαντας, ἀλλήλων αὖθις ἀπολαῦσαι, καὶ μὴ προεξέλθοις (γ), πρὶν ἂν ἀλλήλοις ἐντύχωμεν· εἰ δὲ Θεὸς ἄλλῃ πη (δ) βεβούλευται, σὺ δὲ καὶ ἀπόντων ἡμῶν μέμνησο· βελτίοσι μὲν γὰρ Συνεσίου ἐντεύξῃ πολλοῖς, φιλοῦσι δὲ μᾶλλον, οὐκ ἂν ἄλλοις ἐντύχοις.

Τῷ αὐτῷ. 98.

Πῶς οἴει με διψῶντα ταῖς ἡδίσταις ἐπιστολαῖς ἐντετυχηκέναι; περὶ ποῖα δὲ μέρη τῶν ἐπιστολῶν, οὐχὶ πάσῃ διαχυθῆναι τῇ ψυχῇ,

---

μέλλω πράττειν, μετέρχεσθαι. (η) Διαφέρον τῆς ἐμῆς ἀγωγῆς καὶ προαιρέσεως κτλ.

(α) Δι᾽ ἄλλου. (β) Δι᾽ ἐμοῦ ἐρχομένου. (γ) Τῆς Ἀλεξανδρείας. (δ) Ἀντὶ τοῦ ἄλλωσπως, ὥστε δηλ. προεξελθεῖν σε.

χῆ, ἀφ' ὧν ἦλθον εἰς πολλαπλασίαν διάθεσιν, καὶ οὐκ εἰς μακρὰν προσδοκῶ τὴν Ἀλεξάνδρειαν ἕξουσαν ἔτι τὴν φίλην κεφαλὴν ὄψεσθαι; καὶ ἐφ' οἷς τὸν Σεκοῦνδον εὖ ἐποίησας, ἡμᾶς ἐτίμησας, καὶ ἐφ' οἷς οὕτω γράφων τιμᾷς, ἐξηρτήσω σαυτοῦ, καὶ ἐποίησας εἶναι σοὺς, παρ' ὅσον τῶν χαμαὶ ἐρχομένων ὄντες, οὐκ ἐπιγινώσκομεν τὴν ἀξίαν (α), διπλῇ τιμώμενοι, καὶ τῷ μεγέθει τῶν γραφομένων (β), καὶ τῇ σπουδῇ τοῦ γινομένων. τῷ δεσπότῃ μου τῷ κόμητι γέγραφα μὲν ἤδη πολλάκις, ἐπεὶ δὲ ἐν ταῖς διὰ τοῦ παιδὸς ἐπιστολαῖς, αἰτιᾷ μὴ γεγραφότα πρὸς αὐτὸν, ἐπέθηκα (γ) καὶ τῷ δεσπότῃ μου τῷ ἀδελφῷ πρὸς αὐτὸν γράμματα. ἐῤῥωμένος καὶ εὐδαιμονῶν διατέλει φιλοσοφίας ἔχων φροντίδα, ὅση προσήκει τῷ μετὰ θείων ἐρώτων ἠργμένῳ ταύτης. ἀπὸ τῆς κλίνης σοι γέγραφα, μόλις ἀνεχόμενος εἰς διασκευὴν τῶν γραμμάτων· εὔξαι τὰ ἄριστα ἡμῖν, ἅπερ ἂν ὁ Θεὸς ἄριστα δοκιμάσῃ. ἐὰν ἀνασφήλω, ἐπὶ τὴν Ἀλεξάνδρειαν εὐθὺς ἵεμαι.

Τῷ αὐτῷ. 99.

Καινὸς οὗτος τρόπος ἐπιτηδεύεται παρ' ἐμοῦ χρείας ἐπιστολῶν· οὐ γὰρ ἵνα συστήσω τῇ φιλίᾳ τῇ σῇ τὸν ἐπιδιδόντα τὴν ἐπιστολὴν γέγραφα, ἵνα δέ σοι τὸν ἄνδρα χαρίσωμαι, κέρδος οὐ μικρὸν ἐσόμενον σοί τε καὶ τῷ μεγάλῳ Διογένει τοῖς σοῖς παιδικοῖς (α). καὶ μὴ χαλεπήνῃς (β) εἰ κέρδος οὐχ ὑμᾶς Θεοτίμῳ, Θεότιμον

δὲ

(α) Τὴν εὐτέλειαν ἡμῶν, ἐκ τοῦ διπλῶς τιμᾶσθαι· ἀντὶ τοῦ, ὄντες χαμερπεῖς καὶ εὐτελεῖς, ἐπιλελήσμεθα τῆς εὐτελείας ἡμῶν ἤδη διπλῇ τιμώμενοι παρὰ σοῦ. (β) Τοῦτο πρὸς τὸ, ἐφ' οἷς Σεκοῦνδον εὖ ἐποίησας. (γ) Ἔδωκα.

(α) Ἀντὶ τῷ σῷ φίλῳ, ἐπεράστῳ. Συνέσιος γὰρ τοῖς παιδικοῖς ἐπὶ σεμνοῦ ἔρωτος εἰώθει χρῆσθαι, ὡς κἀν τῇ 91, ἐπιστ: καὶ ναὶ μὰ τοὺς λόγους τἀμὰ καὶ σὰ παιδικά. κἀν τῷ περὶ Βασιλείας πρὸς τῷ τέλει. ἐθέλω τι καὶ ὑπὲρ τῶν αὐτὸς ἐμαυτοῦ παιδικῶν εὔξασθαι, εἴτ' οὖν τῶν ἐμοὶ ἐρασμίων. ἐπιφέρει γὰρ, ἐρασθείης, ὦ βασιλεῦ, φιλοσοφίας. (β) Ὅρα ἵνα μὴ χαλεπήνῃς.

δὲ ὑμῖν εἶναι δοκιμάζω ϗ λέγω, ἀλλὰ τοῦτο (γ) εἴ γε ποιητὴς ἀνὴρ (δ) τῦ νῦν ἐνθεώτατος δυνάμεως δέοιτο· δυνάμεως δὲ δεῖταί τις ποιητικῆς, ἵνα ϗ τοῖς μετέπειτα δόξῃ, ϗ μηδὲ τοὺς ὄντας λάθῃ· τὰ γὰρ μεγάλα τῶν ἔργων, ἂν μὴ τύχῃ λόγων κηρύκων, ἀπορρεῖ τῆς μνήμης, καὶ λήθην ἀμπίσχεται, παρ' αὐτὸν μόνον τὸν τοῦ πράττεσθαι καιρὸν ἐν τοῖς ὁρῶσιν ἀνθήσαντα. ταύτῃ τε οὖν τιμητέον ὑμῖν τὸ ἕρμαιον, ϗ ἀντὶ παντὸς σπουδαστέον, ϗ δίχα τῆς χρείας· αἰδοῖ γὰρ μουσῶν, ὧν ἱερεῖς αὐτῶν ἄξιον περιέπειν, ϗ μὴ δευτέρους τίθεσθαι τῦ κολακεύειν τὰς θύρας εἰδότων. προσκείσθω ϗ τρίτη τὶς αἰτία τῆς παρ' ὑμῶν εἰς τὸν ἄνδρα τιμῆς, Συνέσιος (ε) ἀγαθεὶς (ζ) αὐτοῦ πάντα, ἐφ' οἷς ἀνθρώπους ἄνθρωποι ϗ ἐπαινοῦσι ϗ μακαρίζουσιν (η). ἐῤῥωμένος διαβιώης πάντων ἕνεκα ἐμοὶ τίμιε. προσαγορεύουσι τὴν ἱεράν σου διάθεσιν πάντες οἱ τὴν αὐτὴν ἡμῖν οἰκίαν οἰκοῦντες, ἐξ ἁπάντων δὲ μάλιστα ὁ σὸς Ἰσίων· καὶ ἡμεῖς σὲ ἅμα σοὶ, μάλιστα δὲ τὸν ἐμὸν Ἀβράμιον. τῷ κόμητί γε δοῦναι ἃ γέγραφα, αὐτὸς δοκιμάσεις, εἴτε μή.

Πυλαιμένει. 100.

Οὗτος ἐκεῖνος ὁ πολὺς (α) ἐν τοῖς λόγοις ἡμῶν Ἀναστάσιος. ϗ σὲ δ' ἂν αὐτῷ δείξας, τὸν αὐτὸν ἔπαινον (β) εἶπον ἂν περὶ σοῦ. ὥσπερ οὖν (γ) ἐν ἐμοὶ συνελθόντες πάλαι, ϗ τὴν συντυχί-

(γ) Διὰ τοῦτο χαλεπήνοις ἄν. (δ) Εἴγε αὐτὸς ὢν τοιοῦτος ποιητὴς, δυνάμεως χρήζει τῆς παρ' ὑμῶν. (ε) Προσκείσθω δηλ: (ζ) Ὅς τις ἐγὼ Συνέσιος ἠγάσθην τοῦ Θεοτίμου πάντα. (η) Μακαρίζει μέν τις ἐπὶ τοῖς ἔξωθεν, ἐπαινεῖ δὲ ἐπὶ τοῖς ἔνδοθεν ἀγαθοῖς (αὐτὸς οὗτος Συνέσιος περὶ Βασιλείας.)

(α) Ὁ περιᾳδόμενος ἐν ταῖς ἐμοῦ τε ϗ σοῦ πρὸς ἀλλήλους ὁμιλίαις.
(β) Ὅτι δηλ: οὗτος ἐκεῖνός ἐστιν ὁ πολὺς ἐν τοῖς λόγοις ἡμῶν Πυλαιμένης.
(γ) Τὸ, ὥσπερ ἀντὶ τοῦ, ὥσπερεί.

χίαν (δ) ἀναγνωρισμὸν ποιησάμενοι, φιλοφρονήσασθέ τε ἀλλήλους, καὶ κοινῇ σκοπεῖτε πῶς ἂν (ε) ἀγαθόν τί με ποιήσητε· σχολὴ δὲ μέγιστον ἀγαθὸν, ἣν εἴποι τὶς ἂν ὥσπερ (ζ) χώραν πάμφορον ἅπαντα καλὰ φέρειν τῇ τοῦ φιλοσόφου ψυχῇ· καρπώσομαι δὲ σχολὴν, ἂν τοῦ συντετάχθαι τῇ πολιτείᾳ (η) Ρωμαίων ἀπαλλαγῆναί μοι γένηται· τοῦτο δὲ παρέσται, τῆς λειτουργίας (θ) ἀνειμένῳ τοῦ καταράτου, ἧς τὸ μὲν ἐπὶ βασιλεῖ, γέγονα ἐκτός· ἐμαυτὸν δ' ἂν αἰτιασαίμην δικαίως, αἰσχυνθεὶς ὄνασθαι (ι) σπουδῆς οἰκείας. ἐπιλογήσομαι τοίνυν αὐτὸς ἐμαυτῷ· δόξω γὰρ αὐτουργεῖν (κ) πάλιν τὴν πρεσβείαν· πάλιν γὰρ ἐμὴ γλῶττα πρεσβεύει, καὶ οὐδεὶς ἀντερεῖ τῶν Πυθαγόραν ἐπαινεσάντων, ὃς τὸν φίλον ἄλλον ἑαυτὸν ὡρίσατο.

Τῷ αὐτῷ. 101.

Φυκέντιος ἄνθρωπος· Κυρηναίων δ' ἐπίνειον ὁ Φυκοῦς· ἐπέδωκέ μοι φέρων ἐπιστολὴν τὸ σὸν ἐπιγεγραμμένην ὄνομα (α). ταύτην ἀνέγνων ἡδέως (β) ἅμα καὶ ἀγαμένως· ὠφείλετο γὰρ (γ) τὸ

(δ) Εἴτ' οὖν συνέλευσιν. (ε) Ἴσ: ποιήσοιτε διὰ τὸν δυνητικόν· δίχα γὰρ αὐτοῦ, πρὸς ὁριστικὴν τὸ ἐρωτηματικόν.

(ζ) Τὸ, ὡς, παραβολικὸν ὂν, πρὸς ὁριστικὴν φέρεται, τὰ δ' ὁριστικὰ εὐθεῖαν προϋποτίθησι· τὸ ἄρα ὥσπερ χώραν σημειῶδες, δέον, ὥσπερ χώρα, ἥτις εὐθεῖα πρὸς τὸ ἀπὸ κοινοῦ ὑπακουόμενον φέρει ἐφέρετο ἄν. (η) Τῇ διοικήσει Ρωμαίων εἴτ' οὖν τοῖς τὰ πολιτικὰ πράττουσιν. (θ) Ἴσως τὴν φορολογίαν ἐννοεῖ, ὡς ἐν τῇ 148, ἐπισ: (ι) προβαλέσθαι ὑμᾶς τοὺς ἐμοὶ οἰκείους μεσίτας, καὶ διὰ τῆς ὑμῶν σπουδῆς εἴτ' οὖν πρεσβείας ὠφεληθῆναι, ὅ ἐστιν ἀπαλλαγῆναι τῆς λειτουργίας. (κ) Ὑμῶν γὰρ ὑπὲρ ἐμοῦ πρεσβευόντων, ἐγὼ καὶ οὕτω διὰ τῆς ἐμῆς γλώττης δοκῶ πρεσβεύειν ὑπὲρ ἐμαυτοῦ· εἴγε ὑμεῖς ὡς ἐμοὶ φίλοι, ἄλλος ἐγὼ ἐστέ.

(α) Κἀντεῦθεν δῆλον ὅτι τοπάλαι οἱ ἐπιστέλλοντες, ταῖς ἐπιστολαῖς ἐπέγραφον τὰ ἑαυτῶν ὀνόματα. (β) Μεθ' ἡδονῆς τε ἅμα καὶ θαύματος. (γ) Ὤφειλον ἡσθῆναι μὲν, διὰ τὴν πρὸς ἐμὲ σοῦ φιλικὴν διάθεσιν· ἐπαινέται δὲ μετὰ θαύματος, διὰ τὴν τῆς ἐπιστολῆς εὐφράδειαν.

τὸ μὲν, τῇ διαθέσει τῆς ψυχῆς· τὸ δὲ, τῷ κάλλει τῆς γλώττης· καὶ δῆτα παρεσκεύασά σοι θέατρον ἐπὶ Λιβύης ἑλληνικὸν, ἐπαγγείλας ἥκειν ἀκροασομένοις ἐλλογίμων γραμμάτων· καὶ νῦν ἐν ταῖς παρ᾽ ἡμῖν πόλεσιν ὁ Πυλαιμένης πολὺς, ὁ δημιουργὸς τῆς θεσπεσίας ἐπιςολῆς. ἓν τοῦτο ἄτοπον ἐφάνη καὶ παρὰ δόξαν (δ) ἀπήντησε τῷ θεάτρῳ· τὰς κυνηγετικὰς (ε) ᾔτεις τὰς ἐμὰς, ὡς δή τι σπουδαῖον αὐταῖς ἐνόν. ἔδοξας οὖν σεσηρὸς ἦθος παρέχεσθαι, καὶ εἰρωνείας ἀνάπλεων (ζ)· οὐ γὰρ ἠξίουν (η) τὸν παρὰ σφίσι τὸν φαυλότατον εἰπεῖν, ἐξενέγκαι τὶ παίγνιον τοῦ παρὰ σοὶ σπουδῆς ἄξιον· ἐγὼ δὲ τούτου μὲν σε παρῃτ●μην (θ) τῆς εἰρωνείας (ι)· ἐδίδασκον δὲ, ὅτι πρὸς τοῖς ἄλλοις, ὅσοι πάρεσιν ἀγαθὰ, φιλανθρωπότατός τε εἴης (κ), καὶ τῶν ἐγκωμίων φιλοδωρότατος (λ)· οὔκουν ἐπὶ (μ) καταγέλωτι πεποιῆσθαι (ν) τὴν αἴτησιν, ἀλλ᾽ ἵνα ἡδοίμην, τῇ παρὰ τοῦ τοιοῦδε μαρτυρίᾳ (ξ) τιμώμενος. γράφε οὖν ὁσάκις ἂν ἐγχωρῇ, καὶ ἑςία Κυρηναίους τῷ λόγῳ, ὡς οὐδὲν ἂν αὐτοῖς ἥδιον ἀνάγνωσμα γένοιτο τῶν Πυλαιμένους γραμμάτων, ἤδη κατεσχημένοις ὑπὸ τοῦ δείγματος (ο)· πάντως δὲ συχνοῖς ἐντεύξῃ τοῖς δεῦρο ἀφι-

(δ) Τὴν Ὑπόληψιν, ἣν εἶχον κελευσθέντες ὑπ᾽ ἐμοῦ ἥκειν ἐλλογίμων γραμμάτων ἀκροασόμενοι.

(ε) Οὐχὶ κύνας θηρευτικὰς δοκεῖ λέγειν, ἀλλὰ μᾶλλον βίβλους κυνηγεσίου θηρευτικοῦ διδασκάλους, ἃς εἰκὸς αὐτὸν συντάξαι Συνέσιον, ὡς φιλοπαίγμονα, καὶ παιδόθεν ὁπλομανεῖν, καὶ ἱππομανεῖν εἰθισμένον πέρα τοῦ δέοντος· (ὅρα ἐπις: 105.) ὥσπερ οὖν καὶ φαλακρὸς ὢν, ὑπὲρ φαλάκρας ἐξήνεγκεν, εἶτ᾽ οὖν συνέγραψε παίγνιον (ἐπις: 1, καὶ 74.) (ζ) Ἐπιγελῶν, κατειρωνευέσθαι με, καὶ διὰ τοῦτο ἐφάνη ἄτοπον τὸ τοιοῦτον αἴτημα· λέγει δὲ τοῦτο μετριοφρονῶν ὁ Συνέσιος· ὁ δὲ οὖν, ἀντὶ τοῦ γὰρ ἐκληπτέος. (η) Εἰπεῖν, ὡς ἐγὼ ὁ τῶν παρ᾽ αὐτοῖς λογίων φαυλότατος, ἐξέδωκα παίγνιόν τι ἄξιον, ὥςε καὶ σπουδασθῆναι τοῦτο παρὰ σοί. (θ) Ἀπέλυον, ἠλευθέρουν. (ι) Τὸ, εἰρωνείας, ἐξήγησίς ἐςι τοῦ, τούτου. (κ) Καὶ οὐκ εἴρων· ὁ γὰρ εἴρων οὐ φιλάνθρωπος.

(λ) Καὶ ἐκ τῆς τυχούσης αἰτίας ἐγκωμιάζειν φιλῶν.

(μ) Τὸ τελικὸν αἴτιον σημαίνει ἡ πρόθεσις. (ν) Λάβε ἀπὸ κοινοῦ τὸ ἐδίδασκον εἰς ἐξάρτησιν τοῦ ἀπαρεμφάτου. (ξ) Τοῖς ἐγκωμίοις. (ο) Τῆς πείρας, τοῦ γνωρίσματος τῆς σῆς σοφίας.

ἀφικνουμένοις· καὶ εἰ μηδέσιν ἄλλοις, ἀλλὰ τοῖς ἄρξασιν (π) ἡμῶν καὶ τὴν ἐλάττω, καὶ τὴν μείζω, καὶ τὴν Αἰγυπτίων ἀρχὴν, οὓς οὐκ εἰκὸς ἀγνοεῖσθαι διὰ τὴν ἀκολουθίαν τῶν δανειστῶν (ρ). ἐπεὶ δὲ διαφέρει σοι τἀμὰ εἰδέναι, φιλοσοφοῦμεν, ὦ 'γαθὲ, τὴν ἐρημίαν ἀγαθὴν ἔχοντες συνεργὸν, ἀνθρώπων δὲ οὐδένα, οὐδ' ἔστιν ὅτου ποτὲ (σ) ἐπὶ Λιβύης ἀκήκοα φωνὴν ἀφιέντος φιλόσοφον, ὅτι μὴ τῆς ἠχοῦς ἀντιφθεγγομένης ἡμῖν· ἀλλὰ κόσμει, φησὶν, ἂν ἔλαχες Σπάρταν· κἀγώ μοι δοκῶ τὴν εἱμαρμένην (τ) ἀγαπήσειν τε καὶ κοσμήσειν τὴν αὐτὸς ἐμαυτοῦ, ἡγούμενος ἀγώνισμα τοῦτο προκεῖσθαι τῷ βίῳ καὶ βάσανον, εἰ μηδὲ ἀτυχοῦσαν (υ) ἀπολιμπάνω φιλοσοφίαν· ἐμοὶ γὰρ εἰ μηδεὶς ἄλλος μαρτυρεῖ (φ), ἀλλ' αὐτός γε πάντως ὁ Θεὸς, οὗ σπέρμα ὁ νοῦς ἐς ἀνθρώπους ἥκει· δοκῶ δέ μοι καὶ τοὺς ἀστέρας εὐμενῶς ἐνατενίζειν ἑκάστοτε, ὃν ἐν ἠπείρῳ πολλῇ μόνον ὁρῶσι θεωρὸν αὐτῶν σὺν ἐπιστήμῃ γινόμενον. σύνευξαι τοίνυν ἡμῖν ἐν οἷς ἐσμὲν εἶναι· σαυτῷ δὲ ἀπολιπεῖν τὴν κακοδαίμονα ἀγορὰν, ὦ κακῶς σὺ τῇ φύσει (χ) χρώμενε. μάλιστα μὲν οὖν ἀξιῶ σε καὶ εὐρούντων τῶν ἔξωθεν (ψ), ἰδεῖν εἰς τὰ εἴσω· τὸ γὰρ εὐτυχίας εὐδαιμονίαν ἀλλάξασθαι (ω), χρύσεια χαλκείων ἐστί· κἀγὼ χαίρω καταγελῶ-

(π) Γρ: τοῖς ἄρξουσιν, ἢ ἄρχουσι. (ρ) Ἠκολούθουν γὰρ οἱ δανεισταὶ, οἷς ἐδανείσαντο ἄρχουσιν, ἵνα τὸ δάνειον ἀπολαύωσι. (σ) Πόθεν οὖν ἐν τῇ ἐρήμῳ (ἐν ἐκείνῃ γὰρ ὢν, ἔλαβε τὴν ἐπιστ:) Ἑλληνικὸν θέατρον παρεσκεύασεν; εἰ μή τι λέγοι ἐρημίαν αὐτὴν τὴν Κυρήνην ὡς ἀμοιροῦσαν ἀνθρώπων ἀφιέντων φωνὴν φιλόσοφον κατὰ τὸν Διογένην ἐν ἀνθρώποις ἄνθρωπον ζητοῦντα, τοὺς ἀφιλοσόφους τῆς ἀνθρώπου κλήσεως καὶ οὗτος ἀπαξιῶν. (τ) Ἣν ἔλαχον παροικεῖν ἐρημίαν, (υ) Ἀμοιροῦσαν ἐν τῇ ἐρήμῳ ἀντιφθεγγομένων φιλοσόφων. (φ) Ἐπαινεῖ με ὡς φιλόσοφον· τὸ γὰρ μαρτυρῶ δοτικῇ ἐπὶ καλοῦ τίθεται· πῶς δὲ οὐδείς σοι ἐν τῇ ἐρήμῳ μαρτυρεῖ, ἢ τοσούτους ἔχει ἐν αὐτῇ Ἕλληνας, τοῦτ' ἔστι λογίους, ὡς φῂς, ἄνδρας, ὡς θέατρον ἐξ αὐτῶν παρασκευάσαι, καὶ σεαυτὸν τά γε εἰς λόγου δύναμιν τὸν φαυλότατον, ὡς ἔφησθα, τῶν ἐν αὐτοῖς κρίνεσθαι; ἢ ὅτι κατὰ τὸ ἀνωτέρω ληπτέον καὶ τοῦτο. (χ) Τῷ πεφυκότι, τῷ ἐμφύτῳ πλεονεκτήματι, τῇ φυσικῇ ἀρετῇ. (ψ) Εἰ καὶ πλουτεῖς, εὐτυχεῖς τοῖς ἔξωθεν. (ω) Λέγει δὲ τὸ-

λώμενος, ὅτι τῶν συγγενῶν σπουδαρχούντων (α 2) μόνος ἐν πολλοῖς (β 2) ἰδιώτης εἰμί· τὴν γὰρ ψυχὴν ἀρεταῖς (γ 2) δορυφορεῖσθαι προτιμῶ μᾶλλον, ἢ στρατιώταις τὸ σῶμα (δ 2), οὐκέτι τῶν πραγμάτων χωρούντων (ε 2) ἐπιμελητὴν πολιτείας Φιλόσοφον· εἰ δὲ μηδ' ἐν τοῖς κατ' ἀγορὰν (ζ 2) βέλτιον πέπραχας, ὥσπερ οὐδὲ οἶμαι, οὐ δ' ἔστιν ὅτε περὶ σοῦ πονηρὰς ἔχον ἐλπίδας (η 2), ὡς ἄρα ἐκστήσῃ σεαυτοῦ (θ 2), καὶ ὁμότροπος ἔσῃ τοῖς εὐδοκιμοῦσι τῶν γραμματέων· οὐ γὰρ ἂν εἴποιμι τῶν ῥητόρων· ἑτέρως δὲ (ι 2) οὐκ ἔστι πλουτεῖν ἐν ταῖς καθ' ὑμᾶς ἀγοραῖς, μὴ πάντα μιγνύντα καὶ θεῖα καὶ ἀνθρώπινα δίκαια, καὶ κέρκωπα (κ 2) ἀντ' ἐλευθέρου γινόμενον. εἰ τοίνυν οὐδὲ πλουτεῖς, ἔτι μᾶλλον εἰς φιλοσοφίαν ἴδε· κἂν μὲν ἐντύχῃς ἀνδρὶ συντόνως (λ 2) ἐργαζομένῳ φιλοσοφίαν (ἀνεμέσητον δὲ ἐκπερινοστεῖν καὶ τὴν Ἑλλάδα, καὶ τὴν βάρβαρον ἐπὶ θήρᾳ τοιᾷδε) καὶ ἡμῖν τὸ ἕρμαιον κοίνωσαι· εἰ δὲ ὡς ἐν αὐχμώσῃ τῇ φορᾷ (μ 2) καὶ ἡμεῖς ἀρκεῖν σοι δοκοῦμεν, ἧκε μεθέξων καὶ ἡμῶν, καὶ τῶν ἡμετέρων, ἐπὶ τὰ ἴσα καὶ τὰ ὅμοια, φησὶ τὸ γράμμα τὸ Λακωνικόν (ν 2). πρόσειπε παρ' ἐμοῦ πάνυ πολλὰ τὸν σεβασμιώτατον Μαρκιανόν, ὃν εἰ προλαβὼν Ἀριστείδην, Ἑρμοῦ λογίου τύπον εἰς ἀνθρώπους ἔφην ἐληλυθέναι, μόλις ἂν ἔτυχον τῆς ἀξίας, ὅτι πλέον ἐστὶν, ἢ τύπος· ἐπιστολὴν δὲ ἐξ εὐθείας πρὸς αὐτὸν ἐπιθεῖναι, καί τοι προθυμηθεὶς ἐνάρκησα, ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς πανδέκταις (ξ 2), τοῖς

τυχίαν μὲν τὰ ἐκτὸς, εὐδαιμονίαν δὲ τὰ ἐντός. (α 2) Ἄρχειν σπουδαζόντων.
(β 2) Συγγενέσι. (γ 2) Ὅπερ ἐστὶν εὐδαιμονίας.
(δ 2) Ὅπερ ἐστὶν εὐτυχίας. (ε 2) Τοῦ Πλάτωνος εἰπόντος τότε αἱ πόλεις εὐδαιμονήσουσιν, ὅταν ἢ βασιλεῖς φιλοσοφήσωσιν, ἢ φιλόσοφοι βασιλεύσωσι, νῦν ὅμως, φησὶν ὁ Συνέσιος, αἱ πόλεις οὐκέτι χωροῦσι φιλόσοφον ἄρχοντα.
(ζ 2) Τοὺς ἔξωθεν εὐροεῖς εὐδοκιμῶν ἐν ῥήτορσι. (η 2) Τὸ γὰρ τοῖς ἔξω εὐροεῖν σε κακοδαιμονίαν ἐγὼ τίθεμαι. (θ 2) Τοῦ πεφυκότος σοι.
(ι 2) Οὐδὲ, ἀντὶ οὐ γάρ. (κ 2) Κολακευτικὸν θεωπαρεσκόδουλον.
(λ 2) Ὁλοψύχως, ἀνενδότως, ἀνυποκρίτως. (μ 2) Ἀφορίᾳ, ἀκαρπίᾳ, χήτει φιλοσόφων. (ν 2) Ὥς φησι τὸ γράμμα τὸ Λακωνικόν. (ξ 2) Λέξις

τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα· οὐ γὰρ μικρὸς ὁ κίνδυνος ἐν τῷ πανελληνίῳ τὴν ἐπιστολὴν ἀναγνωσθῆναι· καλῶ γὰρ οὕτω τὸν τόπον, ἐν ᾧ πολλάκις ἐφρόντισα τὰς βαρείας φροντίδας, τῶν ἁπανταχόθεν ἐλλογίμων συνιόντων, ἐφ᾽ ᾧ τῆς ἱερᾶς ἀκοῦσαι τοῦ πρεσβύτου (ο 2) φωνῆς, παλαιὰ καὶ νέα καταμαστευούσης (π 2) διηγήματα. ἀλλὰ καὶ τὸν ἑταῖρον Εὐχάριστον χαίρειν κέλευσον παρ᾽ ἐμοῦ, καὶ πάντας ὅσους ἄξιον.

Τῷ αὐτῷ. 102.

Συνίστημι τῇ φιλίᾳ, καὶ τῇ προστασίᾳ τῇ σῇ τὸν θαυμάσιον Σωσηνᾶν· ᾧ τὴν διὰ λόγων (α) τραφέντι καὶ αὐξηθέντι, τὰ παρὰ τῆς τύχης οὐκ ἀπαντᾷ κατὰ λόγον (β). αἰτιᾶται δὴ τὴν τῆς πατρίδος ἀκληρίαν· καὶ πείθει τις αὐτὸν λόγος, ὡς ἔστι συμμεταβαλεῖν τῷ χωρίῳ τὴν τύχην· ἀφίξεται δὲ παρὰ τὴν ἔχουσαν τὸν βασιλέα πόλιν, ὡς ὅπου βασιλεὺς, ἐκεῖ καὶ πάνυ τῆς τύχης οὔσης, καὶ τυχὸν ἐπιγνωσομένης αὐτόν. εἰ δή τίς σοι δύναμις, συντέλεσον αὐτῷ πρὸς ὅ,τι βούλεται· σοῦ γὰρ ἄξιον τό τε δύνασθαι, καὶ τοῦ δεομένους συνιστάναι τῇ ἀγαθῇ τύχῃ. ἐὰν δέηται τῶν σοὶ φίλων αὐτὸς προσοίσεις αὐτόν.

Τῷ

ἰδιάζουσα τῆς Συνεσίου ἀνερμήνευτος παρὰ τῷ Σουΐδᾳ· λέγει δὲ πανδέκτας τοὺς ὥς αὐτός φησι πανελλήνιον· τοὺς γοῦν ἁπαταχόθεν εἰς ἓν συνιόντας ἐλλογίμους, εἰκὸς καὶ πανταχόθεν δέχεσθαι ἐπιστολὰς, καὶ ἀλλήλοις ταύτας κοινολογεῖν. (ο 2) Μαρκιανοῦ. (π 2) Δίκην μαστοῦ πηγαζούσης, βλυζούσης τοῖς ἐρωτῶσι, ζητοῦσι.

(α) Τροφὴν καὶ αὔξησιν. (β) Ὧ τινι ἐτράφη καὶ ηὐξήνθη. Τὸν αὐτὸν Σωσηνᾶν συνίστησι κἀντῇ 43 ἐπιστ. ἀξιῶν ἐν ἐκείνῃ κληρονόμον αὐτὸν γενέσθαι ἀλλοτρίου πατρὸς, καθ᾽ ὅ,τι, φησὶ, καὶ τὸν τοῦ Σωσηνᾶ πατέρα ἀλλότριος υἱὸς ἐκληρονόμησεν· οὕτω γὰρ ἂν, φησὶ, γένοιτο ἐξ ἀδικίας τὸ δίκαιον· ὅπερ οὐκ ἔχει λόγον, τὸν ὑφ᾽ ἑτέρων, φημὶ, ἀδικηθέντα, ἄλλους ἀδικοῦντα δικαιοῦσθαι· τοῦτο γάρ ἐστι κακῷ τὸ κακὸν ἰᾶσθαι.

Τῷ αὐτῷ. 103.

Οὐ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὐκ ἔγωγε, ὦ Πυλαιμένες, ἀπέσκωψά σου (α) τὴν εἰς τὴν ἐνεγκοῦσαν εὔνοιαν· οὐχ οὕτως ἄπολίς εἰμί τις, οὐδὲ ἀνέστιος (β)· ἀλλὰ σὺ κακῶς ἐξεδέξω τὸν νοῦν τῆς ἐπιστολῆς, καὶ κατηγόρηκας ἡμῶν ἄττα οὐκ ἄξιον (γ). ἐγὼ γὰρ ὅτι μὲν Ἡρακλείας ἐρᾷς, καὶ πρόθυμος εἶ ποιεῖν τι τὴν πόλιν ἀγαθὸν, ἐπαινῶ· τοὺς λόγους δ᾽ ἐποιούμην (δ) ὑπὲρ τοῦ δεῖν ἀνθελέσθαι φιλοσοφίαν τῆς ἀγοραίου ταύτης διατριβῆς· εἶτα σύ μοι δοκεῖς (ε), δίκας ἀγορεύων οἴεσθαι μᾶλλον, ἢ φιλοσοφῶν, ὠφελιμώτερος ἔσεσθαι τῇ πατρίδι· πῶς τοῦτο (ζ); ὅτι τοῦ μὴ μετατεθεῖσθαί σου τὴν προαίρεσιν, ᾐτιάσω τὸ τῆς γνώμης φιλόπατρι. τοῦτ᾽ οὖν ἀπέσκωψα (η), καὶ οὐχὶ τὴν εὔνοιαν, ὅτι κακῶς οἴει παρέργου σοί τι ποιήσειν (θ) εἰς τὸν καλὸν τοῦτον ἔρωτα, τὸ προσεδρεύειν ταῖς δίκαις· καὶ γὰρ εἰ λέγοιμι (ι) φιλοσοφίαν ἱκανὴν εἶναι (κ) τὰς πόλεις ὀρθοῦν, ἐλέγξει με Κυρήνη (λ), κειμένη πολὺ δήπου τῶν ἐν τῷ Πόντῳ πόλεων ἀκριβέστερον· ἀλλ᾽ εἰ-

---

(α) Ἐν τῇ προτέρᾳ ἐπιστολῇ, ἐν ᾗ ἀπολιπεῖν σοι τὴν κακοδαίμονα ἀγορὰν συνεβούλευον. (β) Οὐδ᾽ ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης, ἀλλ᾽ ἐκ πόλεως ὢν, φιλόπολίς εἰμι κἀυτός. (γ) Ἀπόλιδας ἡμᾶς καὶ ἀνεστίους ὀνομάσας.
(δ) Συνεβούλευόν σοι. (ε) Σύ μοι δοκεῖς οἴεσθαι ὠφελιμώτερος ἔσεσθαι τῇ πατρίδι δίκας ἀγορεύων μᾶλλον, ἢ φιλοσοφῶν. (ζ) Πῶς δὲ, ἢ πόθεν τοῦτο δοκεῖς μοι οἴεσθαι; ἐκ τούτου, ὅτι δηλ: τοῦ μὴ κτ: (η) Τὸ, ὅτι οἴει δικολογῶν μᾶλλον, ἢ φιλοσοφῶν, ὠφελήσειν τὴν πατρίδα, καὶ ὅτι κακῶς οἴει κτ. (θ) Τοῦτ᾽ ἔστιν οἴει τὸ τῆς ῥητορικῆς ἐπιτήδευμα ἱκανόν σοι ἔσεσθαι αὐτὸ καθ᾽ ἑαυτὸ (οὕτω γὰρ ἐλήφθη ἐνταῦθα τὸ, παρέργου) εἰς τὴν τῆς πατρίδος ὠφέλειαν· λέγω καθ᾽ ἑαυτὸ, δίχα δηλονότι τῶν καιρῶν καὶ τῆς τύχης περὶ ὧν ἑξῆς ἐρεῖ. (ι) Ἐν ἄλλοις γράφεται, εἰ μὴ λέγοιμι, ἀλλ᾽ ἀνακόλουθον τοῦτο· ὁ γὰρ νοῦς, τοιοῦτος· καὶ τί λέγω, φησὶ, περὶ ῥητορικῆς ὡς ἱκανῆς οὔσης καθ᾽ αὑτὴν ὠφελῆσαι πόλιν, ὁπότε οὐδ᾽ αὐτὴ ἡ φιλοσοφία ἱκανὴ εἰς τοῦτο καθ᾽ ἑαυτήν; καὶ γὰρ εἰ λέγοιμι κτ: (κ) Αὐτὴν καθ᾽ ἑαυτὴν δίχα φημὶ καὶ τῶν καιρῶν τῶν καλούντων τὸν ῥήτορα ἐπὶ τὸ πολιταρχεῖν· καιροὺς δὲ λέγω τὰ περιστατικὰ τοῦ καιροῦ. (λ) Ψευδόμενον ἢ φιλόσοφον μὲν ἔχουσα πολιοῦχον καὶ οἰκήτορα ἐμὲ, πε-

λ' εἴποιμι μὲν ἂν, ὅτι φιλοσοφία καὶ ῥητορικῆς, καὶ ἧς τινος βούλει καὶ τέχνης καὶ ἐπιστήμης, ἅτ' ἐπὶ πάσαις οὖσα, παρέχεται τὸν ἔχοντα καὶ ἰδιώτῃ καὶ οἴκῳ καὶ πόλεσιν ὠφελιμώτερον· οὐ μὴν ἀρκεῖ τὸ καθ' ἑαυτὴν ἀγαθόν τι ποιεῖν τοὺς ἀνθρώπους· ἔχει γὰρ οὕτως, ὦ λῷστε Πυλαίμενες. τὰ καλὰ τῶν ἐπιτηδευμάτων (μ), δυνάμεις (ν) τινές εἰσι, καὶ παρασκευαὶ ψυχῆς, καὶ οἷον αὐτὸ μόνον τὸ χρώμενον (ξ)· καιροὶ δὲ καὶ τύχαι (ο) φέρουσιν ἄνω καὶ κάτω (π) τὰ τῶν πόλεων πράγματα· καὶ νῦν μὲν οὕτως ἔχει (ρ), νῦν δ' ἑτέρως, ἀνάγκῃ φύσεως (σ) ἧς μετείληφε. φιλόπολις μὲν οὖν εἶ σύ, τυγχάνω δὲ ὢν καὶ ἐγώ. καὶ σὺ μὲν ἐργάζῃ ῥητορικήν· καὶ συγχωρῶ σοι (τ) μὴ ταύτην ἐπιτηδεύειν (υ), ἀλλὰ

τὴν

πτωκυῖα δὲ, καὶ χαμαὶ κειμένη μᾶλλον τῶν παραλίων πόλεων, τῶν μὴ ἐχουσῶν οἰκήτορα φιλόσοφον, πένης τε καὶ κατηφὴς, καὶ μέγα ἐρείπιον, καὶ βασιλέως δεομένη, εἰ μέλλοι τι πράξειν τῆς περὶ αὐτὴν ἀρχαιολογίας ἐπάξιον (ὡς ἐν τῷ περὶ Βασιλείας εἴρηται. (μ) Ὧν ἐστι καὶ ἡ ῥητορικὴ, καὶ ἡ φιλοσοφία. (ν) Ἕξεις ἐπίκτητοι. (ξ) Ὧτινι χρῆται ὁ τοῦτο ἐπιτηδεύων· χρῆσις γὰρ τῷ τεχνίτῃ τὸ τούτου ἐπιτήδευμα, μόνον δὲ λέγεται, εἴτ' οὖν καθ' αὑτὸ, ὅταν γυμνὸν τῆς τύχης θεωρῆται. (ο) Τύχην ἐννοεῖ ὁ Συνέσιος τὴν ἀρχικὴν ἐξουσίαν καὶ δύναμιν, ἣν καὶ ἰσχὺν ἐν τῷ μέσῳ τῆς ἐπιστολῆς λέγει, δηλῶν ὡς οὔτε ῥήτωρ, οὔτε φιλόσοφος δύναται ἀγαθόν τι ποιῆσαι τὴν πόλιν διὰ μόνης τῆς ῥητορικῆς, ἢ τῆς φιλοσοφίας, ἂν μὴ καὶ ἰσχὺς, εἴτ' οὖν ἀρχικὴ δύναμις αὐτῷ παρῇ, τῶν καιρῶν αὐτῷ, εἴτ' οὖν τῶν περιστατικῶν τοῦ καιροῦ πρυτανευόντων αὐτήν. Ἐπεὶ καὶ Σειράμνης ὁ Πέρσης πρὸς τοὺς θαυμάζοντας, ὅτι τῶν λόγων αὐτοῦ νοῦν ἐχόντων, αἱ πράξεις οὐ κατορθοῦνται, τῶν μὲν λόγων, ἔφη, κύριος αὐτὸς εἶναι, τῶν δὲ πράξεων τὴν τύχην μετὰ τοῦ βασιλέως. (π) Ἀνορθοῦσιν, ἢ πταματίζουσι. (ρ) Ἡ τῶν πόλεων κατάστασις. (σ) Ἀναγκαζομένη ὑπὸ τοῦ καιροῦ καὶ τῆς τύχης· ταύτην γὰρ ἐννοεῖ φύσιν. (τ) Συμβουλεύω σοι.

(υ) Ἣν Πλάτων ἐν Γοργίᾳ, οὐχ, ὡς καὶ δοκεῖ, τέχνην, ὡς οὐκ ἔχουσαν τὴν φύσιν καὶ τὴν αἰτίαν ἑκάστου, ὧν, προσφέρει εἰπεῖν (οὐδ' ἂν ᾖ ἄλογον πρᾶγμα, ἐγὼ, φησὶ, τέχνην οὐ καλῶ) ἀλλ' ἐμπειρίαν καλεῖ, οὐχ ὡς τοῦ βελτίστου στοχαστικὴν, ἀλλὰ χάριτός τινος καὶ ἡδονῆς ἀπεργαστικὴν, καὶ πολιτικῆς μορίου αἰσχρὸν εἴδωλον, καὶ ἁπλῶς κολακείας μόριον, συντάττων αὐτὴν τῇ τε κομμωτικῇ καὶ τῇ ὀψοποιητικῇ, ὧν ἁπασῶν τὸ κεφάλαιον κολακεία· ἑκάστη γὰρ τούτων ὑποδῦσα, τὴν γυμναστικὴν μὲν ἡ κομμωτικὴ, τὴν νομοθετικὴν δὲ ἡ σο-

τὴν ὀρθὴν (φ) καὶ γενναίαν, ἣν οὐδὲ Πλάτων, οἶμαι, διαγράφειν πειρᾶται· ἐγὼ δὲ φιλοσοφίαν τιμῶ τε, καὶ τῶν ὅσα ἀνθρώπινα ἀγαθὰ προτιμῶ. τί οὖν ταύτῃ (χ) παρ' ἡμῶν πλέον ταῖς πόλεσιν, εἰ μὴ καὶ βίοι (ψ) τινὲς ὑποβληθεῖεν ἀρκοῦντες ταῖς προαιρέσεσι; δεῖ μὲν γὰρ ὕλης (ω) ἐπιτηδείας, δεῖ δὲ ὀργάνων (α 2) τῷ χρῆσθαι δυναμένῳ· τὸ δὲ ταῦτα παρασκευάζον, ἡ τύχη (β 2). εἰ μὲν οὖν ἐκείνως μόνον, τοῦτ' ἔστι διὰ τῆς ῥητορικῆς (γ 2) οἴει σοι παρέσεσθαι τὴν τύχην, ὥστε ἄρξαι ποτὲ παρασχεῖν, ἢ ὑπάρξαι τὴν μεγίστην ἀρχήν, τί κατέγνωκας (δ 2) ἀτυχίαν φιλοσοφίας; εἰ δ' ἐπίσης ἀμφοῖν (ε 2) ἐνδέχεται καὶ ἀπεῖναι καὶ

πα-

φιστική, τὴν ἰατρικὴν δὲ ἡ ὀψοποιητική, τὴν δικαιοσύνην δὲ ἡ ῥητορική, προσποιεῖται μὲν εἶναι τοῦτο, ὅπερ ὑπέδυ, φροντίζουσα δὲ τοῦ μὲν βελτίστου οὐδὲν, τοῦ ἡδίστου δὲ ἀεὶ, ἐξαπατᾷ. (φ) Τὴν κατ' αὐτὸν Πλάτωνα (ἐν Γοργίᾳ) παρασκευάζουσαν ὅπως ὡς βέλτισται ἔσονται τῶν πολιτῶν αἱ ψυχαὶ, μὴ καταχαριζομένην, ἀλλ' ἀεὶ διαμαχομένην ἐν τῷ λέγειν τὰ βέλτιστα, εἴτε ἡδίω εἴτε ἀηδέστερα εἴη τοῖς ἀκούουσι· καὶ ἁπλῶς πρὸς τοῦτο τὸν νοῦν ἔχουσαν, ὅπως ἂν τοῖς πολίταις δικαιοσύνη μὲν καὶ σωφροσύνη ταῖς ψυχαῖς ἐγγίγνηται, ἀδικία δὲ καὶ ἀκολασία ἀπαλλάττηται· καὶ ταύτῃ δὲ οὐ πρότερον ἐπιχειρητέον, πρὶν ἄν τις ἰδίᾳ ἑαυτὸν, ἢ καί τινα τῶν φίλων βελτιώσῃ, ἵνα μὴ ᾖ ἀνοήτως, τοῦτο δὴ τὸ λεγόμενον, ἐν πίθῳ τὴν κεραμείαν ἐπιχειρῶν μανθάνειν, ἐν ταῖς τῶν ἄλλων ψυχαῖς, τὰ τοῦ Γρηγορίου φάναι, ἐκμελετῶν τὴν δικαιοσύνην. ἢ καὶ οὕτω μὴ ταύτην, ἀλλ' εἴπερ οὐ βούλει τὴν φιλοσοφίαν, τὴν γοῦν κατὰ δεύτερον, ὅ φασι πλοῦν, ὀρθὴν ῥητορικήν. (χ) Ἐντεῦθεν, διά τε τῆς σῆς ῥητορικῆς, καὶ τῆς ἐμῆς φιλοσοφίας τὸ κέρδος, καὶ τὸ ὄφελος; οὐδέν. (ψ) Εἰ μὴ καὶ βίον ἔχοιμεν ὑποκείμενον ἡμῖν, οὐχὶ ἰδιωτικὸν, ἀλλὰ ἀρχικὸν τὸν δυνάμενον ἀρκέσαι, βοηθῆσαι, συμπρᾶξαι τῇ προαιρέσει ἡμῶν· καὶ συνελόντι, εἰ μὴ καὶ ἀρχικὴν ἰσχὺν ἐν τῇ πόλει ἔχοιμεν συνεργοῦσαν τῇ παρασκευῇ τῆς ψυχῆς ἡμῶν. (ω) Χρημάτων τυχὸν, καὶ τῶν, ὅσα ξυντελεῖ εἰς ἀνόρθωσιν κειμένης πόλεως.
(α 2) Τῶν συνεργούντων ἀνδρῶν τῷ πόλιν ἀνορθοῦν πειρωμένῳ. (β 2) Ἡ ἀρχικὴ ἐξουσία καὶ δύναμις, καὶ βίος ἀρχικὸς ὁ ἐπαρκῶν τῇ προθέσει τοῦ πόλιν ἀνορθοῦν ᾑρημένου. (γ 2) Μόνης, δίχα τῆς, ὡς εἴρηται, ἀπαιτουμένης ἐπιτηδείου ὕλης, καὶ τῶν ὀργάνων, καὶ μάλιστα τῆς τύχης. (δ 2) Πῶς δηλ: οὐχὶ καὶ τῇ φιλοσοφίᾳ αὐτῇ καθ' ἑαυτὴν ἡ τύχη παρέσεται; εἰ γὰρ τῇ ῥητορικῇ, πολλῷ μᾶλλον τῇ φιλοσοφίᾳ, τῇ τῆς ῥητορικῆς καλλίονι. (ε 2) Τοῦ δυικοῦ ὧδε ἐκα-

παραγγυέσθαι, τί μὴ τέως αἱρῇ τῶν φαινομένων τὸ ἄριστον; αὐτὸ μὲν γὰρ καθ' αὑτὸ φιλοσοφίαν καὶ σὺ φῂς εἶναι κάλλίω ῥητορικῆς· τὸ δὲ δεῖν ὀνασθαί σου τὴν πόλιν, ἀναγκαιότερόν σοι τὸ χεῖρον ποιεῖ· ὡς δὴ νῦν μὲν ἔξεστιν ἐλπίζειν τὰ ἀμείνω (ζ2), φιλοσοφήσαντι δὲ οἱ Θεοὶ πάντες (η2) ἐχθροὶ, καὶ τὴν τύχην ἀποχετεύουσιν, ὡς μηδ' ἐν ταῖς ἐλπίσιν ἀπολελεῖφθαι (θ2). ἐγὼ δὲ οὔπω καὶ τήμερον τοῦτον ἀκηκοὼς οἶδα τὸν λόγον, ὅτι τῇ σεμνῇ φιλοσοφίᾳ θεῖός ἐστι κλῆρος (ι2) ἀτυχεῖν· ἀλλὰ μόλις μὲν ἂν ἐν τῇ κοινῇ τῇ θνητῇ (κ2) φύσει συνέλθοιεν ἰσχύς τε καὶ φρόνησις (λ2), ἔστι μὴν ὅτε συνήγαγεν (μ2) αὐτὰς ὁ Θεός. ἔξεστιν οὖν ἐκ τοῦ λόγου (ν2), μᾶλλον δὲ πᾶσα ἀνάγκη, τὸν αὐτὸν εἶναι καὶ φιλόσοφον καὶ φιλόπολιν, καὶ μηδ' ἀπογινώσκειν τῆς τύχης, ἀλλὰ καὶ προσδοκᾶν τὰ ἀμείνω, διὰ τὴν οἰκείαν ἀξίαν (ξ2)· οὐχ ἥκιστα γὰρ μόνῳ πλεονεκτοῦσιν ὡς ὁ παλαιὸς λόγος (ο2) οἱ χρηστοὶ τῶν πονηρῶν ταῖς ἀγαθαῖς ἐλπί-

σι

τεραι αἱ συζυγίαι τῶν πτώσεων ἐνεργετς εἰσιν· αἱ μὲν γὰρ, ἐν τῷ δυϊκῷ γενικαὶ, εἰσὶ τοῦ ἀπεῖναι· αἱ δὲ δυϊκῷ δοτικαὶ τοῦ παρεῖναι· ὅπερ ἢ οὐδόλως, ἢ σπανίως εὕρηται ἐν τοῖς δυϊκοῖς ἀλλαχοῦ. (ζ2) Τὴν τύχην τῆς μεγίστης ἀρχῆς.
(η2) Ἡ ἐν ἑλληνισμῷ ὢν, ἔγραψε τὴν ἐπιστ:, ἢ πρὸς τὴν δόξαν μᾶλλον τοῦ Πυλαιμένους· οἶμαι δὲ οὐ δὲ ἑλληνίζοντα τὸν Συνέσιον πολυθεΐαν δοξάζειν.
(θ2) Μηδὲ ἐλπίζεσθαι τὴν τύχην. (ι2) Ἐκ Θεοῦ ἐκληρώσατο ἡ φιλοσοφία.
(κ2) Ἐν τῷ αὐτῷ ἀνθρώπῳ. (λ2) Τύχη τε καὶ φιλοσοφία, ὥστε φιλόσοφον ἄρχειν, ἢ ἄρχοντα φιλοσοφεῖν· διὰ μὲν γὰρ τῆς φρονήσεως, ἥτις ἐστι τὸ πρακτικὸν μέρος τῆς φιλοσοφίας, τὴν φιλοσοφίαν ἐννοεῖ· διὰ δὲ τῆς ἰσχύος τὴν ἀρχὴν, ἣν καὶ τύχην προσεῖπεν. (μ2) Ὡς ἐν Σόλωνι φέρε, καὶ Λυκούργῳ τοῖς νομοθέταις, καί τισι τῶν παρά τε Ῥωμαίοις καὶ Ἕλλησι στρατηγῶν· παρ' ἡμῖν δὲ, ὡς ἐν Μωσῇ καὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ μετά τινας τῶν κριτῶν ἐν Δαβὶδ, καὶ Σολομῶντι, Κωνσταντίνῳ τε τῷ μεγάλῳ, καὶ Ἰουστινιανῷ, καὶ Λέοντι τῷ σοφῷ, καί τισιν ἄλλοις εὐαρίθμοις. (ν2) Ἐκ τῆς ἀκολουθίας τῶν εἰρημένων· εἰ γὰρ ὁ φιλόδικος φιλόπατρις, πολλῷ μᾶλλον ὁ φιλόσοφος, οὗ τὸ πρακτικὸν τῆς φιλοσοφίας μέρος, τοῦ κοινοῦ στοχάζεται. (ξ2) Διὰ τὸ τῆς φιλοσοφίας ἀξίωμα, ἧς ἡ πρακτικὴ μερὶς δεῖται καὶ τύχης, ἵνα δι' αὐτῆς ἔχῃ ῥυθμίζειν καὶ ἰδιώτην καὶ οἶκον καὶ πόλιν. (ο2) Ἰσοκράτους πρὸς Δημόνικον παραινέσεις

σι. πῶς οὖν ἔλαττον αὐτοῦ ἔχειν συγχωρήσομεν; ἀνάγκη δ', εἰ πρὸς τὸν παρὰ σοῦ λόγον ἐνδοίημεν, ὃς εἰς τοῦτό σε προήγαγεν ἁμαρτίας, τὸ φάναι τῆς πόλεως ἕνεκα δεῖν μένειν ἐπὶ τῆς τέχνης (ἀνάγκη γάρ μου μετατιθέντος εἰς κατηγορίαν τὴν περὶ τοῦ σκώμματος ἀπολογίαν, ὃ δὴ μὴ ὂν (π 2), ἔδοξεν εἶναί σοι πρότερον· οὐ γὰρ οἶμαι νῦν ἔτι δοκεῖ· ἐπεί τοι (ρ 2) κινδυνεύω καὶ διαβεβλῆσθαι πρὸς τὴν ἱερὰν Κυρήνην ὑπὸ σοῦ, καὶ ταῦτα τῆς φίλης μοι κεφαλῆς) εἰ γὰρ δὴ πεισθεῖεν αἱ πόλεις, ὅτι ῥητορικὴ μόνη δύναται μεταθεῖναι τὰς παρούσας αὐτοῖς (σ 2) συμφοράς, καὶ μόνον ἐστὶ τοῦτο γέρας τῶν βοηθούντων (τ 2) τοῖς ἔχουσι περὶ συμβολαίων τὰς δίκας, χαλεπανοῦσιν ἡμῖν τοῖς ἄλλο τι θεραπεύουσιν (υ 2) ἀντὶ τοῦ βήματος (φ 2). εἷς οὖν ἐμοὶ πρός σέ τε καὶ τὰς πόλεις ἁπάσας ὑπὲρ φιλοσοφίας ὁ λόγος, ὅτι παρούσης μὲν (χ 2) τύχης, καὶ καλεσάντων αὐτὴν (ψ 2) ἐπὶ τὰ πράγματα (ω 2) τῶν καιρῶν (α 3), οὐδεμιᾶς ἐστι τέχνης, ἀλλ' οὐδ' ἅμα πασῶν ἐρίσαι φιλοσοφίᾳ (β 3) περὶ τοῦ τὴν συντονωτέραν ἁρμόσαι, καὶ μετατάξαι, καὶ βελτίω τοῖς ἀνθρώποις ποιῆσαι τὰ πράγματα· τῆς εἱμαρμένης δὲ οὔπω ταύτῃ ῥυείσης, νοῦν ἔχει πολλὴν οἰκειοπραγεῖν (γ 3), ἀλλὰ μὴ παραδιοικεῖν,

μηδ'

(π 2) Σκῶμμα. (ρ 2) Τοῦτο καινότροπός ἐστιν ἐπανάληψις τοῦ, ἀνάγκη γάρ· ἄλλως γὰρ περιττὸν, ἔχοντος οὕτωσι τοῦ λόγου· ἀνάγκη γὰρ καὶ διαβεβλῆσθαι εἰ πρὸς τὸν παρὰ σοῦ λόγον ἐνδοίημεν· ἦν δ' ἂν καὶ τὸ ἀνάγκη περιττὸν, εἰ τὸ, ἐπεὶ ἀντ' αὐτοῦ προελήφθη οὕτωσί· ἐπεὶ εἰ πρὸς τὸν παρὰ σοῦ λόγον ἐνδοίημεν, κινδυνεύω κτ': Ἐμοὶ δ' ἔδοξε διὰ μέσου ἀναγνωστέον εἶναι καὶ τοῦτο μέχρι τοῦ, κεφαλῆς, αἰτιολογία ὂν τοῦ ἀνάγκη γάρ μου· τὸ δὲ εἰ γὰρ δὴ πειθ: ἐπανάληψις τοῦ εἰ ἐνδοίημεν. (σ 2) Ἡ πρὸς τοὺς ἐνοικοῦντας ἀπεδόθη, ἢ αὐταῖς γραπτέον, (τ 2) Τῶν δίκας ἀγορευόντων. (υ 2) Τὸν Θεὸν τῷ νοΐ. Μήποτε δὲ λέγει τὴν φιλοσοφίαν; (φ 2) Τῆς ῥητορικῆς. (χ 2) Τῷ τὰ καλὰ ἐπιτηδεύοντι τῆς ἀρχικῆς δυνάμεως. (ψ 2) τουτ' ἔστι τὸν τὴν τύχην ἔχοντα. (ω 2) Ἐπὶ τὴν τῆς πόλεως διοίκησιν. (α 3) Τῶν περιστατικῶν, εἴτ' οὖν τῶν ἐν ἐκείνῳ τῷ καιρῷ πολιτῶν. (β 3) Καὶ εἰπεῖν πρὸς αὐτὴν, ὡς δὴ ἐγώ εἰμι ἰσχυροτέρα μᾶλλον ἢ σὺ, εἰς τὸ ἁρμόσαι κτ': τὰς πόλεις. (γ 3) Νῦν ἔχοντός ἐστιν ἰδιοτεύειν καὶ πράσσειν τὰ ἴδια, ἀλλὰ μὴ τοῖς ἐκ ἐ-

μὴ δ᾽ ἀχημονεῖν ἀξιοῦντας ὠθίζεσθαι παρὰ τὸ τοῦ δεῖνος ἀρχεῖον, οἷς μὴ πᾶσα ἀνάγκη· ἀνάγκᾳ δὲ οὐδὲ Θεοὶ, φασὶ, μάχονται. ἡμῖν δὲ ἔστιν ἄλλα σεμνότερα, καὶ ὅταν ὁ νοῦς ἀνενέργητος ᾖ (δ 3) περὶ τὰ ἐνθάδε, περὶ τὸν Θεὸν ἐνεργεῖ· δύω γὰρ αὗται μερίδες φιλοσοφίας, θεωρία καὶ πρᾶξις· καὶ δῆτα δύω δυνάμεις ἑκατέρᾳ παρ᾽ ἑκατέραν (ε 3) μερίδα, σοφία καὶ φρόνησις· αὕτη μὲν δεομένη τύχης (ζ 3), σοφία δὲ αὐτάρκης (η 3), καὶ ἀκώλυτος ἡ κατ᾽ ἐκείνην ἐνέργεια.

Τῷ ἀδελφῷ. 104.

Τοὺς αὐτοὺς ἂν ἴδοις (α) ἐν μὲν εἰρήνῃ θρασεῖς, ἐν δὲ πολέμῳ δειλοὺς, τοῦτ᾽ ἔστιν ἁπανταχοῦ πονηροὺς (β)· ὥστε μοι δοκεῖ ταύτην τὶς δικαίως εἰδέναι τῷ πολέμῳ χάριν, ὅτι βάσανός ἐστι τοῦ περὶ τὴν καρδίαν αἵματος ἀκριβὴς, καὶ συχνοὺς ἀλαζόνας (γ) παραλαβὼν, μετριωτέρους ἡμῖν ἀποδίδωσιν· οὐ γὰρ οἶμαι τὸ ἀπὸ τοῦδε σοβήσειν διὰ τῆς ἀγορᾶς Ἰωάννην τὸν ἀλιτήριον, οὐδὲ πὺξ ἐντενεῖν, οὐδὲ λὰξ ἐναλεῖσθαι τῶν ἐπιεικεστέρων τινί· χθές τοι πάνυ λαμπρῶς συνηγορήκει τῇ παροιμίᾳ, μᾶλλον δὲ τῷ χρησμῷ· χρησμὸς γὰρ ἄντικρυς τοῦτό γε πάντως οἶσθα τὸ,

Οὐδεὶς κομήτης, ὅς τις οὐ ψηνίζεται (δ)·

ἡμέ-

π᾽ αὐτῷ, καὶ ἁπλῶς ἀλλοτρίοις ἐπιχειρεῖν. (δ 3) Οὐκ ἔχῃ παροῦσαν τὴν τύχην. (ε 3) Οὐ τοῦτο λέγει, ὅτι ἄμφω ὁμοῦ αἱ δυνάμεις παρ᾽ ἑκατέραν μερίδα, ἀλλὰ διῃρημένως ἡ μὲν, παρὰ τήνδε, ἡ δὲ, παρὰ τήνδε.
(ζ 3) Ἀρχικῆς δυνάμεως οἷα δὴ πρακτική. (η 3) Ὡς μὴ πρακτικὴ, ἠθῶν, φημὶ, ἰδίων ἢ κοινῶν διορθωτικὴ, ἀλλὰ τῆς τῶν ὄντων φύσεως θεωρητικὴ, τύχης ἀνενδεής ἐστιν.

(α) Ὡς κἀν τῇ περὶ Ἀνδρονίκου 79. ἐπιστ: εἴρηται. (β) Ἐν παντὶ καιρῷ καὶ πράγματι πονηροὺς, ὡς ἀπὸ τοῦ μέσου, ὅπερ ἐστὶν ἀρετὴ, ἐπὶ τὰ ἄκρα ἐκκλίνοντας, ὑπερβολὴν λέγω καὶ ἔλλειψιν, ὧν ἑκάτερον κακία· καλῶ δὲ ὑπερβολὴν μὲν τὴν θρασύτητα, ἔλλειψιν δὲ τὴν δειλίαν, μέσον δὲ τὴν ἀνδρείαν, ἥτις ἐστὶ μεσότης περὶ θάῤῥη καὶ φόβους. Ἀριστοτέλης Ἠθικ: Νικομαχ: βιβλ: α, κεφ: 1. (γ) Θρασεῖς ἐν εἰρήνῃ. (δ) Φαλακρὸς ὢν ὁ Συνέσιος,

ἡμέρας μὲν γάρ τινας ἑξῆς οἱ πολέμιοι προσηγγέλλοντο, κἀμοί τε ἀπαντητέον ἐδόκει· καὶ Βαλαγρίτας συντεταγμένους ἐξῆγεν ὁ φύλαρχος· εἶτα φθάσαντες (ε) εἰς τὴν πεδινὴν, περιεμένομεν· οὐδαμοῦ δὲ φαινομένων, περὶ βουλυτὸν (ζ) ἀπεχωροῦμεν ἕκαστος οἴκαδε, συνθέμενοι πάλιν ἥξειν εἰς τὴν ὑστεραίαν· ὁ δὲ φρὺξ Ἰωάννης τέως μὲν οὐδαμοῦ, ὤκνει ὥστε καὶ φανερὸς εἶναι· φήμας δὲ ὑπέπεμπε, νῦν μὲν ὡς κατεαγὼς εἴη, καὶ διαπρίεται τὸ σκέλος· νῦν δὲ ὡς τὸ ἆσθμα νοσεῖ· νῦν δὲ ἄλλο τὶ κακὸν ἐξαίσιον ἔχει· τοιοῦτοί τινες ἐφοίτων λογοποιοὶ (η), ἄλλος ἄλλοθεν ἥκειν φάμενοι, τοῦ μηδὲ σαφὲς εἶναι ποῖ γῆς Ἰωάννης δέδυκεν, ἢ κρύπτεται. μεταξὺ δ' ἂν (θ) διηγούμενοι, περὶ τὴν ἀκαιρίαν (ι) τῆς συμφορᾶς ἐσχετλίαζον, ὑπεδάκρυον· νῦν ἔδει τοῦ γυναίου λήματος (κ), νῦν τῶν ἐκείνου χειρῶν, τί ἂν ἐποίησε; τί ἂν ἐγένετο; καὶ ἐπὶ πᾶσιν, ὢ τοῦ δαίμονος, εἰπὼν ἂν (λ) ἕκαστος, καὶ τὼ χεῖρε πατάξας, ἀπηλλάττετο. ἦσαν δὲ οὗτοι τῶν ἐπ' οὐδενὶ χρησίμῳ πάλαι παρατρεφομένων αὐτῷ, κομῆται καὶ οὗτοι, καὶ οὐδὲν ὑγιὲς,

Ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες·

καὶ νὴ τὸν Θεὸν, ἔστιν ὅπου καὶ γυναικῶν. τοιούτους λοχίτας (μ) ἐκ πολλοῦ παρεσκεύασται, μεθ' ὧν εἶναι μὲν ἀνὴρ οὐδ' ἐπιχειρεῖ· χαλεπὸν γάρ· σοφιστὴς δ' ἐστὶ, καὶ ὡς ἂν δόξειεν ἀνὴρ εἶναι παρὰ τοὺς ὄντας ἄνδρας, ἄριστα σκέπτεται. ἀλλά μοι δοκεῖ καλῶς αὐτῷ τὸ δαιμόνιον ἀντιπολιτεύσασθαι (ν)· πέμπτην μὲν γὰρ ἤδη ἐν τοῖς ὅπλοις μάτην προεληλύθειμεν, ἔτι τὰ με-

---

οὕτως ἀπηχθάνετο τοῖς κομήταις δηχθεὶς ὑπὸ τοῦ κομήτου Δίωνος, ὡς καὶ θιασώτας τῆς Κότυος αὐτοὺς καλεῖν, ταὐτὸν εἰπεῖν παχητιῶντας καθ' ὁμοιότητα τῶν ἐψηνισμένων σύκων· καὶ ὅρα τὸν Σουίδαν ἐν τῷ ψῆνες. (ε) Προλαβόντες τῶν πολεμίων. (ζ) Δείλης ὀψίας, ὅτε οἱ βόες τῶν ἔργων ἀπολύονται. (η) Ψευδολόγοι. (θ) Ὁ ἂν ὧδε παρέλκει. (ι) Διὰ τὴν ἄκαιρον συμφορὰν, τοῦτ' ἔστι διὰ τὸ μὴ παρεῖναι αὐτὸν ἐν τῷ καλοῦντι καιρῷ. (κ) Τοῦ γυναίου φρονήματος. (λ) Καὶ ὧδε παρέλκει ὁ ἄν. (μ) Κρυφαρπακτῆρας· τὸ δὲ ἀνὴρ, ὅπερ ἑξῆς φησιν, ἀντὶ τοῦ ἀνδρεῖος. (ν) Ἣ δὲ

μετεωρότερα (ξ) κακεργέντων τ̃ πολεμίων· ὁ δὲ, παντάπασιν ἀπογνὲς ἥξειν αὐτὲς, ὡς ἐκ ἂν τὸ βάθος (ο) τ̃ χώρας θαῤῥήσοντας, παρῆν, καὶ πάντα εὐθὺς ἀκοσμίας ἐμπίπλησι· καὶ ἀσθενείας μὲν (π) ἐκ ἐμέμνητο· κατεγέλα (ρ) γέ τοι καὶ ἀναχομένων ἀκȣ̃σαι· αὐτὸς δὲ ἥκειν ἔφη πόῤῥωθεν, ἐκ οἶδα ὅθεν· ἐκεῖ γὰρ εἰς συμμαχίαν παρακεκλῆσθαι· παρ᾽ ὃ καὶ σεσῶσθαι (σ) ἐκ ἐπικαλεσαμένες (τ) ἀϛρὲς (υ)· ἐδὲ γὰρ ἐμβεβληκέναι ἐκ πολεμίες, πρὸς τὴν φήμην τ̃ Γωάννε παρεσίας καταπλαγέντας. ἀσφαλῶς δὲ τἀκεῖ καταϛησάμενος, πρὸς τὸ πονȣ̃ν (φ) ἔφη δεδραμηκέναι· προσδέχεσθαι γὰρ ὅσον ἔπω ἐκ ἄνδρας, τὴν λάθη παρὼν, καὶ μὴ διαδοθῇ τȣ̃νομα. εὐθὺς ȣ̃ν ἅπαντα ἀκοσμίας ἐμπίπλησι, παραϛρατηγεῖν (χ) ἀξιῶν, καὶ ἐν βραχεῖ τέχνην τ̃ νικᾷν παραδώσειν ὑπισχνέμενος, βοῶν ἐπὶ μέτωπον, ἐπὶ φάλαγκα, καὶ κτ̃ τὸ κέρας πολὺ, τὸ πλαίσιον· ποιῶν ὀνόματα τάξεων, ὧν ἠγνόει τὴν χρείαν· καί τισιν ἀπὸ τέτε ἔδοξέ τις εἶναι, καὶ τήν γε φύσιν ἐμακάριζον, καὶ ἐμαθητίων πολλοί. ἤδη δὲ δείλη τε ἦν ὀψία, καὶ καιρὸς ἐφόδε· καὶ δὴ πρόσω τ̃ ὀρεινῆς καταβαίνοντες ἐγινόμεθα· κἀνταῦθα νεανίαι τέσσαρες, ἐϛαλμένοι χωριτικῶς (ψ), καὶ κεκραγότες ὅσον ἐχώρεν αἱ κεφαλαὶ, δρόμῳ πρὸς ἡμᾶς ἔθεον, ὡς μηδενὶ μάντεως δεῖν, ὅτι πολεμίες πεφόβηνται, καὶ σπεύδετιν εἴσω τ̃ ὅπλων (ω) γενέσθαι· πρὶν δὲ καὶ καλῶς αὐτῶν ἐκείνων ἀκȣ̃σαι, λεγόντων

τύχῃ, εἴτ᾽ ȣ̃ν τὰ ἐν τῷ πολέμῳ συμβάντα τȣ̃ναντίον, οἷς αὐτὸς δοκεῖν ἐσοφίζετο, ἐκ ἄνδρα ἀλλὰ δείλανδρον αὐτὸν ἤλεγξε. (ξ) Τὰ ὀρεινὰ τῆς χώρας, καὶ μήπω εἰς τὴν πεδινὴν, ὅπε ἡμεῖς περιεμένομεν αὐτὲς καταβάντων. (ο) Τὴν πεδινήν. (π) Ἣν ἔλεγον αὐτὸν ἀσθενεῖν οἱ ἄλλος ἄλλοθεν ἥκοντες λογοποιοί. (ρ) Ἡμῶν ὅτι ὅλως ἠνεχόμεθα ἀκȣ̃σαι τῶν εἰπόντων ὅτι ἠσθένει. (σ) Ὑπ᾽ αὐτȣ̃ ἔφη. (τ) Αὐτὸν εἰς συμμαχίαν. (υ) Τὸ περιέχον συνάμα τῷ περιεχομένῳ. (φ) Πρὸς ἡμᾶς δηλαδή. (χ) Ποιεῖν ἀπαιδεύτως τὰ τακτικὰ, μᾶλλον δὲ ψιλὰ ὀνόματα τακτικῶν· αὐτὸς γὰρ ἑαυτὸν ἐξῆς ἡρμήνευσεν ὁ Συνέσιος. (ψ) Γρ: χωρικῶς, ὡς κἀν τῇ 4 ἐπις: (ω) Τῶν ἡμετέρων.

των ὅτι καὶ δὴ πάρεισιν, ὁρῶμεν ἐφ᾽ ἵππων ἀνδράρια πονηρὰ, καὶ ὡς ἐμοὶ δοκεῖν (α 2) ὑπὸ λιμοῦ στρατηγούμενα, προχειρότατα δ᾽ οὖν ὑπὲρ τῶν ἡμετέρων ἀγαθῶν ἀποθνήσκειν ἐθέλοντα· ἐπειδὴ δ᾽ οὖν εἶδον καὶ ὤφθησαν, πρὶν εἴσω βέλους ἐλθεῖν, οἱ μὲν, ἀποβάντες ὥσπερ εἰώθεσαν, τῶν ἵππων, ὡς εἰς μάχην διεσκευάζοντο, κἀμοὶ καλῶς ἔχειν ἐδόκει μιμεῖσθαι τοὺς ἄνδρας· καὶ γὰρ ἄφιππα ἦν (β 2)· ὁ δὲ γυνάδας οὐκ ἔφη παρανομήσειν εἰς τὴν ἱππικὴν, ἀλλὰ τὸν ἀγῶνα τῶν ἵππων ποιήσειν. τί οὖν; παρενεγκὼν βίᾳ τὸ ψάλιον, καὶ μεταστραφεὶς, ἔφευγεν ἀνὰ κράτος ἐξελαύνων, ἐξαιματῶν τὸν ἵππον, ἅπασαν ἡνίαν ἀφεὶς, κέντρῳ παντὶ χρώμενος· καὶ ἡ μάστιξ πυκνὴ, καὶ ἡ βοὴ τὸ κελευστικὸν (γ 2) ἤχει. ἐν τούτῳ δὲ οὐκ ἔστι ῥᾴδιον εἰπεῖν ὅν τινά τις μᾶλλον ἐπῄνεσε, πότερον τὸν ἵππον, ἢ τὸν ἱππέα· ὁ μὲν γὰρ, ὁμοίως κατὰ πρανῶν, ὁμοίως κατ᾽ ὀρθίων ἐφέρετο, καὶ διὰ τῶν δασέων, καὶ διὰ τῶν ψιλῶν, ῥύμῃ μιᾷ διεπήδα τάφρους, ὑπὲρ τοὺς ὄχθους ἤρετο· ὁ δὲ, διὰ πάντων τῶν χωρίων ἔποχος ἦν, καὶ ἐν οὐδενὶ τῆς καθέδρας ὠλίσθησε· δοκεῖ γάρ τοι καὶ τοῖς πολεμίοις καλὴ θέα γενέσθαι, καὶ ὡς πολλὰ ἂν εὔξαιντο τοιαῦτα θεάσασθαι, οὐ μὴν τό γ᾽ ἐφ᾽ ἡμῖν, εἶδον, ἀλλ᾽ ἀθυμότεροι μὲν ὡς τὸ εἰκὸς ἐγενόμεθα, ψευσθέντες παρὰ πολὺ τῶν εἰς τὸν κομήτην ἐλπίδων· ἐταξάμεθα γοῦν, ὡς εἴ τις ἐπίοι, δεξόμενοι· αὐτοὶ δὲ μάχης ἄρχειν οὐ διενοούμεθα· καὶ γὰρ ὅς τις αὐτὸς εὔψυχος ἦν, ἠπίστει τῷ πέλας πρὸς παράδειγμα τὸ γεγονὸς ὁρῶν. ἔνθα οὐδὲν ἦν αἴσχιον κόμης (δ 2)· οὕτω (ε 3) γὰρ ἦν, πρῶτος οὗτος ἐπιδοξότατος πρὸς τὸ προδώσειν ἡμᾶς· οὐ μὴν ἀλλὰ καὶ τοῖς πολεμίοις ταὐτὸν ἴσως τοῦτο παρέστη· καὶ ταξάμενοι, περιέμενον ἡμᾶς, ὡς ἦν ἐμβάλωμεν, ἀμυνούμενοι. ἐπεὶ δὲ παρ᾽ οὐδετέρων ἐπεχειρεῖτο, πρῶτον μὲν αὐτοὶ τὴν ἐπὶ τὰ λαιὰ φέρουσαν, καὶ μετ᾽ ἐκείνους ἡμεῖς τὴν ἐπὶ θάτερα ἐτραπόμεθα, οὐδέτεροι θᾶττον ἢ βά-

---

(α 2) Τὸ ν πλεονάζει, (β 2) Τὰ τῆς χώρας διὰ τὸ εἶναι πετρώδη.
(γ 2) Τὸ παρορμητικὸν εἰς πόλεμον. (δ 2) Εἴτ᾽ οὖν κομήτου ἀνδρός. (ε 2) Γεῖ.

βάδην (ζ2), ἀλλὰ χολαίῳ βαδίσματι, τῷ μὴ δοκεῖν εἶναι φυγὴν τὴν ἀναχώρησιν· εἶτα μέντοι καίπερ ἐν τούτοις ὄντες, ἐπυνθανόμεθα ποῖ γῆς Ἰωάννης· ὁ δ᾽ ἑνὶ πνεύματι καταλαβὼν ἄρα τὴν Βομβαίαν, δίκην ἀρουραίου μυὸς ἐνεδεδύκει τῇ πέτρᾳ. ὄρος ἐστὶν ἡ Βομβαία (η2) κοῖλον, ὃ συνελθοῦσαι τέχνη καὶ φύσις εἰργάσαντο φρούριον ἐρυμνότατον. τοῦτο καὶ πάλαι μὲν εὐδοκίμει δικαίως (θ2)· καί τινες αὐτὸ παρὰ τὰς Αἰγυπτίας ἐξήταζον (ι2) σύριγγας (κ2)· νυνὶ δὲ κέκριται (λ2) τὰ πανταχοῦ τείχη νικᾶν (μ2), οἷς (ν2) ὁ παρὰ πάντας ἑαυτοῦ προμηθέστατος, ἵνα μὴ λίαν ἀγροίκως (ξ2) εἴπω δειλότατος (ο2), αὐτὸ τὸ τοῦ πράγματος ὄνομα, τούτῳ (π2) παρακάθηται, καὶ τὴν σωτηρίαν (ρ2) προυτίμησε· καὶ γὰρ εἰσελθόντι λαβυρινθῶδές ἐστι, καὶ δυσδιεξίτητον, ὡς μόνους ἂν χωρῆσαι τοὺς Ἰωάννου δρασμούς (σ2).

Τῷ

ὅτῳ· λέγει δὲ ὅτι ᾧτινι τῶν ἡμετέρων ἦν κόμη, οὗτος προδηλότατος μιμήσασθαι τὸν Ἰωάννην. (ζ2) Οὐχὶ σπουδαιότερον τοῦ βάδην, ἀλλὰ βάδην δηλ: (η2) παρ᾽ ὃν ἀποτελεῖ ποιὸν ἦχον, εἴτ᾽ οὖν βόμβον, ἐκλήθη οὕτω. (θ2) Πρὸ τοῦ τειχισθῆναι τὰς πόλεις· ἀτειχίστων γὰρ οὐσῶν τὸ πάλαι τῶν καθ᾽ ὑμᾶς πόλεων, εὐλόγως κατέφευγον εἰς τὴν Βομβαίαν οἱ ἐν πολέμῳ καταπονούμενοι. (ι2) παρέβαλον. (κ2) Κρυπτοὺς ὑπονόμους. Ἡλιόδωρος βιβλ: ά, τῶν Αἰθιοπικῶν. (λ2) Νενόμισται, ὑπείληπται τῷ Ἰωάννῃ. (μ2) Ὑπερβάλλειν, ἀσφαλέστερον εἶναι τῶν ἁπανταχοῦ τετειχισμένων πόλεων. (ν2). Δι᾽ οὗ ὁ μᾶλλον πάντων ἡμῶν προμηθέστερος ἑαυτοῦ Ἰωάννης. (ξ2) Χωριάτικα, χοντρά· λέγει δὲ τοῦτο καθ᾽ ὅ,τι οἱ ἀγροῖκοι οὐκ οἴδασι κρύπτειν κατὰ τοὺς ἀστυκοὺς τὴν τῆς ψυχῆς περὶ τῶν πραγμάτων ἀπόφανσιν, ἀλλ᾽ ἁπλῶς ὃ οἴδασι καὶ βλέπουσι, λέγουσι. (ο2) Δειλότατος ὅπερ ἐστὶν αὐτὸ τὸ ὄνομα τοῦ πράγματος· δειλότατος γὰρ εἰκὼν αὐτὸ τὸ πρᾶγμα, τοῦτ᾽ ἔστι τὴν ἀλήθειαν εἴρηκα. (π2) Τῷ ἐρυμνῷ χωρίῳ τῇ Βομβαίᾳ δηλ: (ρ2) Τινὲς γράφουσι· καὶ εἰς τὴν σωτηρίαν, ἵν᾽ ἣ προυτίμησε τοῦτο τῶν ἄλλων χωρίων ἵνα σωθῇ ἐν αὐτῷ ἐρυμνοτάτῳ ὄντι· σκοπεῖν δὲ μὴ βέλτιον λέγειν προυτίμησε τὴν σὺν αἰσχρῷ σωτηρίαν τῶν μετὰ δόξης κινδύνων. (σ2) Ἀντὶ τοῦ, τὸν Ἰωάννην καὶ τοὺς ὁμοίως αὐτῷ φεύγοντας.

*) Τῷ αὐτῷ. 105.

Ἀνόητος ἂν εἴην, εἰ μὴ πολλὴν χάριν εἰδείην Πτολεμαΐοις, ὅτι με τοσούτων ἀξιοῦσιν, ὅσων οὐδὲ αὐτὸς ἐμαυτόν· ἀλλ' οὐκ εἰ μεγάλα χαρίζονται, τοῦτο προσήκει σκοπεῖν, ἀλλ' εἰ λαβεῖν ἐμοὶ δυνατά· τὸ γὰρ ἄνθρωπον ὄντα, μικροῦ θείας καρποῦσθαι τιμὰς, δικαίῳ μὲν ὄντι τυγχάνειν, ἥδιστον εἰς ἀπόλαυσιν ἔρχεται· λειπομένῳ δὲ παρὰ πολὺ τῆς ἀξίας, ἐλπίδα πικρὰν ὑποτείνει τοῦ μέλλοντος· οὐ γὰρ νεώτερόν ἐστι τὸ δέος, ἀλλὰ καὶ λίαν ἀρχαῖον, τὸ, μήτι περὶ Θεὸν ἀμπλακὼν (α), τιμὰν πρὸς ἀνθρώπων ἐφεύρω. ἐγὼ δὲ καταμανθάνων (β) ἐμαυτὸν, εὑρίσκω παντάπασιν ἐνδεέστερον, ἢ ὡς ἁρμόσαι τῇ τῆς ἱερωσύνης σεμνότητι· καὶ δῆτα διαλέξομαι πρὸς σὲ περὶ τῶν τῆς ἐμαυτοῦ ψυχῆς κινημάτων· οὐ γὰρ ἔχω πρὸς ὅντινα ἄλλον ἀντὶ τῆς σῆς φίλης καὶ συντρόφου μοι κεφαλῆς· σὲ γὰρ εἰκὸς καὶ μετέχειν μοι τῶν ἴσων φροντίδων, καὶ νύκτωρ ἀγρυπνεῖν, καὶ μεθ' ἡμέραν σκοπεῖν, ὅπως ἂν ἀγαθόν τί μοι γένηται, καὶ ὅπως ἂν κακόν τι διαφύγοιμι. ἄκουε τοίνυν ὡς ἔχει τἀμά· τὰ πλείω δ' ἂν αὐτὸς καὶ εἰδείης. μικρὸν ἀράμενος φορτίον (γ), καλῶς ἐνεγκεῖν μοι δοκῶ τὸ μέχρι τοῦδε φιλοσοφίαν· διὰ δὲ τὸ δόξαι μὴ παντάπασιν αὐτοῦ ἁμαρτάνειν, ἐπαινεθεὶς ὑπ' ἐνίων, ἀξιοῦμαι μειζόνων, παρὰ τῶν οὐκ εἰδότων κρῖναι ψυχῆς ἐπιτηδειότητα· φοβοῦμαι δὲ μὴ χαῦνος γενόμενος, καὶ προσιέμενος τὴν τιμὴν, ἀμφοῖν (δ) διαμάρτω, τοῦ μὲν (ε), ὑπε-

---

*) Κἀντεῦθεν δῆλον ὡς ἀτάκτως ἐτέθησαν αἱ ἐπιστολαί. ὁ γὰρ ἐν ταῖς προαγούσαις Γερατεύων, ἐν ταύτῃ ἀρτίως εἰς ἱερωσύνην ψηφίζεται.

(α) Ἀλλὰ τὸ Ἰβύκου ἔπος αὐτὸν ἐπῄει, μήτι περὶ Θεοὺς ἀμπλακὼν (εἴτ' οὖν ἁμαρτήσας.) τιμὰν πρὸς ἀνθρώπων ἀμείψηται. ἔστι δὲ πρὸς ἱερωσύνην συνᾷδον τὸ Ἰβύκειον τουτὶ ῥησείδιον. (β) Ἐξετάζων ἐρευνῶν. (γ) Τὴν φιλοσοφίαν ὡς ἀπράγμονα, πρὸς ἀντιδιαστολὴν τοῦ μεγίστου φορτίου τῆς πολυπράγμονος ἱερωσύνης. (δ) Τῆς τε φιλοσοφίας καὶ τῆς ἱερωσύνης.

(ε) Τῆς μὲν φιλοσοφίας, ὑπελθὼν κτ. αἱ δὲ μετοχαὶ τὸ ὑπελθὼν καὶ ἀφικόμενος τὸ ποιητικὸν αἴτιον δηλοῦσιν, ἡ δὲ γενικὴ τῆς ἀξίας, προθετική ἐστι τῆς

περιδών, ἓ δὲ, τ̃ ἀξίας οὐκ ἐφικόμενος· σκόπει γὰρ ὅτω. δύω τέτοις ἑκάστοτε μερίζω τὸν χρόνον, παιδιᾷ, καὶ σπεδῇ· καὶ σπεδάζων ἴδιός εἰμι (ζ), μάλιστά γε τὰ θεῖα· καὶ παίζων, κοινότατος· οἶδα γὰρ ὡς ὅταν ἀνακύψω τῶν βιβλίων, ἐπιῤῥεπής εἰμι πρὸς ἅπασαν παιδιάν· πολιτικῆς δὲ φροντίδος ἀμοιρῶ καὶ φύσει, καὶ μελέτῃ. τὸν δὲ ἱερέα, ἄνδρα δεῖ θεσπέσιον εἶναι, ὅν γε πρὸς μὲν παιδιὰν ἅπασαν, ἴσα καὶ Θεῷ ἀμείλικτον εἶναι χρή· ὃς ἵνα τηρῇ τὴν ὑπόθεσιν, ὑπὸ μυρίων ὀμμάτων φρερεῖται (η)· ὧν ἐδὲν, ἢ μικρὸν ὄφελος (θ), εἰ μή τις εἴη κατεσκευασμένος σεμνός τε, καὶ πρὸς ἅπασαν γλυκυθυμίαν (ι) ἀνένδοτος· τὰ δέ γε πρὸς τὸν Θεὸν, οὐκ ἂν ἴδιος, ἀλλὰ κοινότατος εἴη, νομοδιδάσκαλος ὢν, καὶ νενομισμένα φθεγγόμενος (κ)· χρὴ δὲ αὐτὸν καὶ πράγματα πράττειν, ὅσα πάντες ἅμα· τὰ γὰρ ἁπάντων μόνον δεῖ πράττειν, ἢ πάσαις αἰτίαις ἐνέχεσθαι (λ). πῶς ἐν οὐκ εἴη εὐμεγέθες ψυχῆς καὶ κρατίστης, ἐνέγκαι τοσῦτον ὄγκον φροντίδων, καὶ μὴ κατακλύσαι τὸν νοῦν, καὶ μὴ κατασβεσθεῖσαν ἐν τῇ ψυχῇ περιϊδεῖν τὴν μοῖραν τὴν θείαν (μ), ὅτω παντοδαπῶν ἐπιτηδευμάτων ἀπαγαγόντων αὐτόν; εὖ οἶδα ὅτι δυνατὸν ἐνίοις τῦτο, καὶ μακαρίζω τὰς φύσεις αὐτῶν, κἀκείνες ἀληθῶς εἶναι ἡγῦμαι ἐσω θείες ἄνδρας, ἓς τὸ ὁμιλεῖν πάνυ πράγμασιν ἀνθρωπίνοις ἐκ ἀποκόπτει τ̃ θείε· ἀλλὰ καὶ ἐμαυτὸν οἶ-

ἐν τῇ μετοχῇ ἐπὶ, κίνησιν σημαινέσης· ὅρα γραμματ. φύλ. 1023.
(ζ) Κατ' ἐμαυτὸν συνεςαλμένος, σύννες καὶ ἀπρόϊτος, ἀμείλικτος.
(η) Τῦτ' ἔςιν ὑπὸ μυρίων ὀμμάτων ἀναγκάζεται τηρεῖν τὴν ἑαυτῦ ὑπόληψιν, εἴτ' ἐν τὴν ἀξίαν ἀνεπίληπτον. (θ) Α'πὸ τ̃ τιμιωτέρε μέρες, τῶν ὀμμάτων φημὶ, τὸ ὅλον εἴτ' ἐν τὲς ἐρῶντας ἐννοεῖ, ἓς ἢ ἐδὲν, ἢ μικρὸν ὠφελήσει, μὴ τοῖς πᾶσι τὰ πάντα γιγνόμενος. (ι) Διαχυτικὴν παιδιὰν, καὶ τὴν ἐντεῦθεν ἡδονὴν τῆς ψυχῆς. (κ) Τῦτ' ἔςιν εἰ μὴ φθέγγοιτο· ἐν δὲ τέτοις τὸ τῆς ἀναςάσεως μυςήριον ὑπαινίττεται, τὸ πᾶσι μὲν τοῖς πιςοῖς καθωμιλημένον, τῷ δὲ Συνεσίῳ τέως ἀπόῤῥητον, εἴτ' ἐν ἄπιςον. (λ) Δεῖ γὰρ αὐτὸν ἢ τὰ πάντων πράττειν, ἢ μὴ πράττοντα, ἐνέχεσθαι καὶ τλ.
(μ) Τὸν νῦν δηλαδὴ, ὅς καὶ ἀποῤῥὼξ τ̃. Θεῦ λέγεται ἐν τοῖς τ̃ Γρηγορίε

οἶδα (υ) εἰς ἄςυ τε κατιόντα, καὶ ἀπ' ἄςεος ἀνιόντα, καὶ ἐνειλημμένον τοῖς πρὸς τὰ γεώδη μεθέλκουσι, καὶ ἐμπιπλάμενον κηλῖδος, οὐκ ἄν εἴποι τὶς ὅσης· τῷ γὰρ οἰκείους εἶναί μοι καὶ πάλαι μολυσμοὺς, καὶ τὸ τυχὸν μέρος ἐπιγινόμενον εἰς προσθήκην μέγα συμβάλλεται· ῥώμη δ' οὐκ ἔςι μοι, καὶ τἄνδον (ξ) οὐχ ὑγιῆ, καὶ πρὸς τὸ ἐκτὸς (ο) ἀρκεῖν οὐχ οἷός τέ εἰμι, καὶ πολλοῦ δέω τὴν ἐκ τοῦ συνειδότος φέρειν ἀνίαν· καὶ ὁσάκις ἄν μέ τις ἔροιτο, λέγειν διαῤῥήδην οὐκ ἀναδύομαι, ὡς τὸν ἱερέα διὰ πάντων ἀκηλίδωτον (π) εἶναι προσήκει πολλῷ τῷ περιόντι, ὡς καὶ ἑτέρους τῶν μιασμάτων ἐκπλυνοῦντα (ρ). κἀκεῖνο δεῖ προσεῖναι τοῖς πρὸς τὸν ἀδελφὸν γράμμασι· πάντως δὲ ἀναγνώσονται συχνοὶ τὴν ἐπιςολήν· καὶ γὰρ οὐχ ἥκιςα τούτου χάριν αὐτὴν ὑπηγόρευσα, τοῦ πᾶσι καταφανὲς εἶναι τὸ πρᾶγμα (σ), δεδιὼς (τ) ὡς ὅ,τι ἂν ἀποβῇ, καὶ πρὸς Θεοῦ καὶ πρὸς ἀνθρώπων ἀναίτιος ὦ, καὶ οὐχ ἥκιςα πρὸς τοῦ πατρὸς Θεοφίλου· τιθεὶς γὰρ ἐν μέσῳ τἀμὰ, καὶ διδοὺς ἐξ ἁπάντων αὐτῷ βουλεύσασθαι περὶ ἡμῶν, πῶς ἂν ὑπαίτιος εἴην (υ); ἐμοὶ τοιγαροῦν, ὅ,τε Θεὸς, ὅ,τε νόμος, ἥ τε ἱερὰ Θεοφίλου χεὶρ, γυναῖκα ἐπιδέδωκε. προαγορεύω τοίνυν ἅπασι καὶ μαρτύρομαι, ὡς ἐγὼ ταύτης οὔτε ἀλλοτριώσομαι (φ) καθά-

---

ἔπεσι διὰ τὸ αὖλον. (ν) Ὁ μὲν καὶ, παρέλκει, ὁ δὲ ἀλλὰ, ἀντὶ τοῦ γάρ· ἵνα λέγῃ, ἐγὼ γὰρ ἐμαυτὸν οἶδα κτ. (ξ) Τὸ συνειδὸς, καταγινώσκον ἐπὶ τοῖς οἰκείοις μολυσμοῖς. (ο) Τὰς τῶν ἁπάντων ἐκκλησιαςικὰς φροντίδας. (π) Καὶ τῷ συνειδότι καὶ τοῖς ἐκτός. (ρ) Ἀντὶ τοῦ ἐκπλύνειν. (σ) Τὰ τῆς ἐμῆς ψυχῆς φρονήματα καὶ κινήματα. (τ) Οὐ τοῦτο λέγει, ὅτι δεδιὼς ἵνα ἀναίτιος ᾖ, ὑπηγόρευσε τὴν ἐπιςολήν· ἀδιανόητον γὰρ τοῦτο, ἀλλ' ὅτι δεδιὼς τὸ ἀποβησόμενον, ὑπηγόρευσε τὴν ἐπις: ἵνα ἐὰν μετὰ τὴν ἱερωσύνην ἐλεγχθῇ τἀναντία τοῖς θρυλλουμένοις δόγμασι φρονῶν, ἀναίτιος ᾖ, ὡς προειπὼν τοῦτο. (υ) Μετὰ ταῦτα ἐν οἷς ἔφθην ἐν μέσῳ τιθεὶς, εἴτ' οὖν δηλώσας τἀμά; (φ) Τὸ Ἀγυναίους εἰς ἐπισκοπὴν προχειρίζεσθαι, μακρῷ μὲν ὕςερον ἐκανωνίσθη ἐπὶ τῆς ϛ'· εἴθιςο δὲ πρὸ τούτου τῶν ἐπιγυναίων τοὺς εἰς ἐπισκοπὴν ἀγομένους, ἢ ἀπαλλοτριοῦσθαι, εἴτ' οὖν ἀποδιΐςασθαι τῶν ἰδίων γυναικῶν διοικιζομένους, ἢ ἐν ἐγκρατείᾳ συνοικεῖν, ὡς καὶ οἱ πατέρες τοῦ τε Βασιλείου

θάπαξ, ὔτε ὡς μοιχὸς αὐτῇ λάθρα συνέσομαι· τὸ μὲν γὰρ ἥκιστα εὐσεβὲς (χ), τὸ δὲ, ἥκιστα νόμιμον (ψ)· ἀλλὰ βυλήσομαί τε καὶ εὔξομαι συχνά μοι πάνυ καὶ χρηστὰ γενέσθαι παιδία. ἓν δὴ τῦτο δεῖ τὸν κύριον τῆς χειροτονίας μὴ ἀγνοῆσαι· μαθέτω δὲ αὐτὸ παρὰ τῶν ἀμφὶ τὸν ἑταῖρον Παῦλον καὶ Διονύσιον (ω), ὓς πρεσβευτὰς ᾑρῆσθαι (α 2) παρὰ τῦ δήμυ (β 2) πυνθάνομαι. ἐκεῖνο δὲ ὐδὲν δεῖ μαθεῖν αὐτὸν (γ 2), ἀλλ᾽ ὑπομνησθῆναι· διαλέξομαι δὲ πλείω περὶ αὐτῦ· καὶ γὰρ ἂν ἅπαντα τἄλλα (δ 2) μικρὰ, πρὸς ἕν τις ἂν τῦτο θεῖτο. χαλεπόν ἐστιν, εἰ μὴ καὶ λίαν ἀδύνατον, εἰς ψυχὴν τὰ διὰ ἐπιστήμης εἰς ἀπόδειξιν ἐλθόντα (ε 2) δόγματα σαλευθῆναι· οἶσθα δ᾽ ὅτι πολλὰ φιλοσοφία τοῖς θρυλλυμένοις τύτοις ἀντιδιατάττεται δόγμασιν. ἀμέλει τὴν ψυχὴν (ζ 2) ὐκ ἀξιώσω ποτὲ σώματος ὑστερογενῆ νομίζειν· τὸν κόσμον ὐ φήσω (η 2) καὶ τἄλλα μέρη συνδιαφθείρεσθαι· τὴν κα-

---

καὶ Γρηγορίυ. πρὸς γῦν τὸ ἀκανονίστως ἐπικρατῦν ἔθος, φησὶν ὁ Συνέσιος ὅτι ὔτε ἄλλοτε: κτ: (χ) Τὸ ἐγκράτειαν ὁμολογήσαντα, εἶτα μοιχικῶς συνεῖναι. (ψ) Οὓς γὰρ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.
(ω) Τῦτ᾽ ἔστι παρὰ Παύλυ καὶ Διονυσίυ· περιφραστικῶς. (α 2) Περὶ ἐμῦ πρὸς τὸν Θεόφιλον. (β 2) Τῆς Πτολεμαΐδος. (γ 2) Ὡς προειδότα τῦτο, τὰ ἐμὰ δηλαδὴ φιλοσοφικὰ δόγματα. (δ 2) Τὰ περὶ τῆς γυναικὸς, καὶ εἴ τι ἄλλο παρὰ τὰ ἐμὰ δόγματα. (ε 2) Τὰ ἀποδειχθέντα τῇ ψυχῇ.
(ζ 2) Τὴν ψυχὴν προτέραν τῦ σώματος ἐτίθη Πλάτων ἐν Φαίδωνι, καὶ ἐν Τιμαίῳ, κἀν τῷ ί, καὶ ιγ', τῶν νόμων. ὡσαύτως καὶ Συνέσιος ὡς Πλατωνικός. πρὸς γῦν τὴν Πλατωνικὴν τῶν ψυχῶν προϋπαρξιν ἐκ διαμέτρυ ἀντιφερόμενοι, ὡς ἔοικεν, οἱ ἡμέτεροι, τῦ σώματος ὑστερογενῆ ἔλεγον τὴν ψυχὴν, προβαλλόμενοι τὸ ἐν τῇ Γενέσει, καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς αὐτὸν πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. (Γένεσ. 2, 7.) ἄλλως γὰρ ἅμα σῶμα ἀνθρώπυ, φημὶ δὴ διοργανωμένον (τὸ γὰρ ἀδιάρθρωτον, σῶμα μὲν, ἀλλ᾽ ὔπω καὶ ἀνθρώπυ) ἅμα λογικὴ ψυχή· καὶ ὐδέτερον ὐδετέρυ πρότερον ἢ ὕστερον.
(η 2) Οἱ τῆς Περιπατητικῆς αἱρέσεως, δογματίζυσι τὸν ὐρανὸν ἀγένητόν τε καὶ ἄφθαρτον σὺν τῷ κόσμῳ παντί, καὶ πρώτη μὲν κατασκευάζει τὸ δόγμα, ὁδὲ Βλεμμύδης εὐφυῶς ἀνασκευάζει τῦτο ἐν τοῖς φυσικοῖς κεφ. κγ'.

καθωμιλημένην ἀνάστασιν (θ 2) ἱερόν τι καὶ ἀπόῤῥητον ἥγημαι, καὶ πολλοῦ δέω ταῖς τοῦ πλήθους ὑπολήψεσιν ὁμολογῆσαι. νοῦς μὲν οὖν φιλόσοφος ἐπόπτης ὢν τἀληθοῦς, συγχωρεῖ τῇ χρείᾳ τοῦ ψεύδεσθαι· ἀνάλογον γάρ ἐστι φῶς πρὸς ἀλήθειαν, καὶ ὄμμα πρὸς δῆμον (12). ἡ οὖν ὀφθαλμὸς εἰς κακὸν ἂν ἀπολαύσειεν ἀπλήστου φωτὸς, καὶ ἡ τοῖς ὀφθαλμιῶσι τὸ σκότος ὠφελιμώτερον, ταύτῃ καὶ τὸ ψεῦδος ὄφελος εἶναι τίθεμαι δήμῳ, καὶ βλαβερὸν τὴν ἀλήθειαν τοῖς οὐκ ἰσχύουσιν ἐνατενίσαι πρὸς τὴν τῶν ὄντων ἐνάργειαν. εἰ ταῦτα καὶ οἱ τῆς καθ' ἡμᾶς ἱερωσύνης συγχω-

Ἀποδείκνυς γενητὸν, ἑπομένως δὲ καὶ φύσει φθαρτὸν τόδε τὸ πᾶν, εἰ καὶ ἡ τοῦ δημιουργοῦ, φησὶν, ἀγαθότης ὑπερνικῶσα σύμπασαν φύσιν, ὥσπερ ἐκ τοῦ μηδόλως ὄντος τὸν κόσμον παρήγαγεν, οὕτω πρὸς τὸ κρεῖσσον παρασκευάσει τὴν δημιουργίαν αὐτοῦ. (ψαλμ. 101, 26. πρὸς Ῥωμ. 8, 20, 21. α', πρὸς Κορ. 7, 31. β', Πέτρ. 3, 13. Ἀμμ. 5, 8.) ὁ γοῦν Συνέσιος οὐ μόνον Πλάτωνα ἀλλὰ καὶ Ἀριστοτέλην ἡγεμόνας ἑαυτοῦ ἐπιγραφόμενος, ὡς ἐν τῷ περὶ Βασιλείας, κἀντῇ 54, ἐπιστ: φαίνεται, ἐκ μὲν Πλάτωνος ἔλαβε τὴν τῶν ψυχῶν προΰπαρξιν, ἐκ δ' Ἀριστοτέλους τὸ τοῦ παντὸς ἀγέννητόν τε καὶ ἄφθαρτον, τοῦ Πλάτωνος γενητὸν τιθέντος τὸ πᾶν κατὰ Βλεμ. κεφ. κγ'. τοῦ β'. βιβλ.

(θ 2) Οἱ ψυχῶν προΰπαρξιν πρεσβεύοντες, ἑπομένως νεκρῶν ἀνάστασιν οὐχ ὡμολόγουν· τὰς γὰρ ἐν οὐρανῷ προϋπαρχούσας, φασὶ, ψυχὰς ἐνοικισθῆναι τοῖς σώμασιν ἐπὶ τῷ δοῦναι δίκην ἀνθ' ὧν ἐν τῷ οὐρανῷ ἥμαρτον· μετὰ γοῦν τὴν ἀνάστασιν κεκαθαρμένας ἀποκαθισταμένας ἐν τῷ οὐρανῷ, μηκέτι δεῖσθαι τῆς εἰς τὰ σώματα ἐπανόδου· ἤλεγξε δὲ τὴν μυθολογίαν ταύτην ὁ Νυσσαέων φωστὴρ Γρηγόριος ἐν τῷ περὶ κατασκευῆς τοῦ ἀνθρώπου. τὸν μέν τοι Συνέσιον καίπερ οὕτως ἔχοντα, ἔπεισαν οἱ κατ' ἐκεῖνο καιροῦ τὰ τῆς ἐκκλησίας διέποντες, ὑπελθεῖν τὸν τῆς ἱερωσύνης ζυγὸν, εὖ μάλα στοχασάμενοι, ὡς ταῖς ἄλλαις τοῦ ἀνδρὸς ἀρεταῖς ἕψεται καὶ ἅττα τέως οὐ παρεδέχετο, τῆς χάριτος μηδὲν ἐλλιπὲς ἔχειν ἀνεχομένης· καὶ οὐκ ἐψεύσθησαν τῆς ἐλπίδος (Εὐάγριος ὁ σχολαστικός). ἀλλὰ γὰρ ἄδηλον εἰ μὴ καὶ μετὰ τὴν ἱερωσύνην, τὰ μὲν ἔσω φιλοσοφῶν, τὰ δὲ ἔξω φιλομυθῶν διετέλεσεν, ὁπότε οὐχ ὅπως φιλοσοφήσας, ἀλλ' οὐδὲ φιλομυθήσας πω φαίνεται μετὰ ταῦτα, περὶ ὧν ἡ κατ' αὐτὸν φιλοσοφία ἀντιδιατάττεται δογμάτων. (12) Ἐν ἄλλοις γράφεται καὶ ὄμμα πρὸς λήμην, ἥγε μὴν τῶν ἐν ταῖς ἐπιστολαῖς τυπικῶν σφαλμάτων διόρθωσις ἔχει, καὶ ὄμμα πρὸς δῆμον, ἢ καὶ μᾶλλον, ὡς καὶ ἑξῆς δήμου οὐ λήμης μνημονεύουσα, ἣν κἀγὼ παρεδεξάμην· καθ' ἣν τοιοῦτος ὁ προκείμενος νοῦς, ἑρμηνευόμενος·

χωροῦσιν ἐμοὶ νόμοι, δυναίμην ἂν ἱερᾶσθαι, τὰ μὲν οἴκοι (κ 2) φιλοσοφῶν, τὰ δ' ἔξω φιλομυθῶν (λ 2), εἰ μὴ διδάσκων (μ 2) ἀλλ' οὐδὲ μέντοι μεταδιδάσκων (ν 2), μένειν δὲ ἐῶν ἐπὶ τῆς προλήψεως· εἰ δὲ φασιν οὕτω δεῖν καὶ κινεῖσθαι, καὶ δῆμον εἶναι τὸν ἱερέα ταῖς δόξαις, οὐκ ἂν φθάνοιμι φανερὸν ἐμαυτὸν ἅπασι καθιστάς· δήμῳ γὰρ δὴ καὶ φιλοσοφίᾳ, τί πρὸς ἄλληλα; τὴν μὲν ἀλήθειαν τῶν θείων ἀπόῤῥητον εἶναι δεῖ· τὸ δὲ πλῆθος ἑτέρας ἕξεως (ξ 2) δεῖται. αὖθις δὲ καὶ πολλάκις ἐρῶ, μηδεμιᾶς ἀνάγκης (ο 2) παρούσης· οὔτ' ἐλέγχειν σοφὸν (π 2), οὔτ' ἐλέγχεσθαι· καλούμενος δ' εἰς ἱερωσύνην οὐκ ἀξιῶ προσποιεῖσθαι (ρ 2) δόγματα· ταῦτα Θεὸν (σ 2), ταῦτα ἀνθρώπους μαρτύρομαι· οἰκεῖον ἀλήθεια ᾧ διὰ πάντα (τ 2) ἀναίτιος εἶναι βούλομαι· ἓν τοῦτο μόνον οὐχ ὑποκρίνομαι (υ 2)· ἐπεὶ καὶ φιλοπαί-

---

φῶς καὶ ἀλήθεια ἀναλογοῦσιν ἀλλήλοις, ὡς ἑκάτερα φωτιστικὰ, τὸ μὲν, τῶν σωματικῶν. ἡ δὲ, τῶν ψυχικῶν ὀμμάτων, φημὶ δὴ τοῦ νοός. ὡσαύτως σωματικοὶ ὀφθαλμοὶ καὶ δῆμος ἀναλογοῦσιν ἀλλήλοις, καθ' ὃ ἐπεισάκτως ἑκάτεροι ἐπιδέχονται, ὅπερ οἴκοθεν ἀμοιροῦσιν, οἱ μὲν, φωτὸς, ὁ δὲ, τῆς τῶν ὄντων ἀληθείας. καὶ δὴ ὡς ἔχει φῶς πρὸς ὄμμα, οὕτως ἀλήθεια πρὸς δῆμον· ὥσπερ γὰρ τὸ ἄπληστον φῶς βλάπτει τῶν ὀφθαλμιώντων τὰ ὄμματα, οὕτω καὶ ἡ λόγον ἀπλήστου φωτὸς ἔχουσα ἀλήθεια, βλάπτει τοῦ δήμου τὸν ἀμβλυώττοντα εἴτ' οὖν ἀφιλόσοφον νοῦν. καὶ ὥσπερ τοῖς ὀφθαλμιῶσι τὸ σκότος μᾶλλον, ἢ τὸ φῶς λυσιτελεῖ, οὕτω καὶ τῷ τὸν νοῦν λημῶντι δήμῳ τὸ ψεῦδος μᾶλλον ἐπωφελὲς, ἢ ἡ ἀλήθεια. (κ 2) Κατ' ἐμαυτόν.

(λ 2) Πρὸς δὲ τὸν δῆμον συμψευδόμενος. εἴρηκε γὰρ ὅτι τῷ δήμῳ τὸ ψεῦδος ὄφελος, καὶ βλαβερὰ ἡ ἀλήθεια· καὶ ὅτι ὁ φιλόσοφος συγχωρεῖ τῇ χρείᾳ τοῦ ψεύδους. (μ 2) Τὸν δῆμον τὰ ἐμαυτοῦ δόγματα. Ἐμοὶ δέ γε δοκεῖ οὐ τὰ ἑαυτοῦ ἀλλὰ τὰ τῆς ἐκκλησίας δόγματα ὑπαινίττεσθαι. (ν 2) Ἀπάγων αὐτοὺς ὧν ἐδιδάχθησαν προλήψεων. (ξ 2) Διδασκαλίας οὐκ ἀληθοῦς δηλονότι, ἀλλὰ μυθώδους· τοῦτο γὰρ ἐκ τῶν ἀνωτέρω συνάγεται. (ο 2) Τῆς ἐκκλησίας μὴ καταναγκαζούσης. (π 2) Χρῆμα. ὑπαινίττεται ἐν τούτοις, ὅτι οἱ πειρώμενοι ἐλέγξαι τὸν Συνέσιον ἐν οἷς φρονεῖ, ἐλεγχθήσονται ὑπ' αὐτοῦ. τὰ δὲ ἀπαρέμφατα ἀπὸ τοῦ ἐρῶ ἤρτηται. (ρ 2) Ὑποκρίνεσθαι ἐπηλυγάζειν. (σ 2) Ἀντὶ τοῦ, πρὸς ταῦτα, ἐλλειπτικὸν τῆς πρός. (τ 2) Ἀντὶ τοῦ κατὰ πάντα.

(υ 2) Οὐ προσποιοῦμαι. οὐ γὰρ ὡς πρὸς τοὺς ἔξω καθ' ὑπόκρισιν φιλομυθῶ.

παίγμων ὤν, ὅς γε παιδόθεν αἰτίαν ἔχων ὁπλομανεῖν τε καὶ ἱππομανεῖν πέρα τοῦ δέοντος, ἀνιάσομαι μέν· τί γὰρ καὶ πάθω τὰς φιλτάτας κύνας ἀθήρους ὁρῶν, καὶ τὰ τόξα θριπηδέστατα; καρτερήσω δέ, ἂν ἐπιτάττῃ Θεός· καὶ μισόφροντις ὤν, ὀδυνήσομαι μέν, ἀνέξομαι δὲ δικιδίων καὶ πραγμάτων, λειτουργίαν τινὰ ταύτην, εἰ καὶ βαρεῖαν, ἐκπιμπλὰς τῷ Θεῷ· δόγματα δὲ οὐκ ἐπηλυγάσομαι, οὐδὲ στασιάσει μοι πρὸς τὴν γλῶτταν ἡ γνώμη (φ 2)· οὕτω λέγων ἀρέσκειν οἶμαι Θεῷ· οὐ βούλομαι δὲ καταλελεῖφθαί τινα περὶ ἐμοῦ λόγον (χ 2), ὡς ἀγνοηθεὶς ἥρπασα τὴν χειροτονίαν· ἀλλ' εἰδὼς ὁ θεοφιλέστατος (ψ 2) πατὴρ Θεόφιλος, καὶ ὡς ἐπίσταται, σαφές μοι ποιήσας, οὕτω βουλευσάσθω περὶ ἐμοῦ· ἢ γὰρ (ω 2) κατὰ τὴν χώραν ἐάσει μένειν ἐπ' ἐμαυτοῦ φιλοσοφοῦντα, ἢ τοῦ μετὰ ταῦτα κρίνειν καὶ διαγράφειν ἡμᾶς τοῦ χοροῦ

τῶν

κατ' ἐμαυτὸν φιλοσοφῶ, οὕτω καὶ πρὸς τοὺς ἔξω καθ' ὑπόκρισιν μὴ παίζων, κατ' ἐμαυτὸν παίξομαι. τοῦτο δὲ καὶ ἄκων ὁμολογεῖ, καθ' ὅ,τι οὐκ ἔχει ὥσπερ τὰ ἔσω φιλοσοφῶν, οὕτω καὶ κυνηγετῶν, ἢ παίζων, λανθάνειν τὸν δῆμον. Ἐμοὶ δὲ δοκεῖ καὶ τοῦτο περὶ τῶν δογμάτων λελέχθαι, οὐ περὶ τοῦ παίζειν καὶ κυνηγετεῖν· τούτων γάρ, φησί, καίτοι παιδόθεν ἐθάδης ὤν, καὶ ἄκων ἀποστήσεται, καὶ καρτερήσει, ἂν ἐπιτάττῃ Θεός· τὰ δέ γε δόγματά εἰσι, φησίν, ἅπερ οὐκ ἐπηλυγάσεται (ὑποκρινεῖται καλύψει) ἄλλα μὲν φρονῶν, ἄλλα δὲ λέγων ἵν' ἀγνοηθεὶς, ἁρπάσῃ τὴν χειροτονίαν· ὥστε τό, ἓν τοῦτο μόνον οὐχ ὑποκρίνομαι, βέλτιον, οἶμαι, ἔχει πρὸς τὰ δόγματα ἀποδιδόμενον.

(φ 2) Κατὰ τό, ἡ μὲν γλῶττ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος.

(χ 2) Κατηγορίαν, ἔγκλημα. (ψ 2) Ἀλλ' εἰδὼς - - - καὶ σαφὲς ποιήσας - - ἀντὶ τοῦ βουλευσάσθω καὶ σαφές μοι ποιησάτω· κατὰ γὰρ τὸ βουλευσάσθω καὶ αἱ μετοχαὶ ἐκληπτέαι. Ἐμοὶ δὲ δοκεῖ βέλτιον ὑστεροχρόνους ταύτας ἐκλαβεῖν, ὡς εἶναι τὸν νοῦν τοιοῦτον. ἀλλ' ὁ θεοφιλέστατος πατὴρ Θεόφιλος μετὰ τὸ μαθεῖν τὰμὰ φρονήματα, καὶ ποιῆσαί μοι σαφές, εἴτ' οὖν δηλῶσαί μοι ὡς ἐπίσταται ταῦτα, ἢ ἐμὲ τοιαῦτα φρονοῦντα, τότε βουλευσάσθω κτ.

(ω2) Οὕτω γὰρ ποιήσας, ἢ κατὰ τὴν χώραν ἐάσει μένειν ἐπ' ἐμαυτοῦ φιλοσοφοῦντα, ἢ (ἐγκρίνας με ἱερεῦσιν) οὐχ ὑπολείψει ἑαυτῷ χώραν εἴτ' οὖν οὐχ ἕξει λόγον, αἰτίαν τοῦ μετὰ ταῦτα κρίνειν καὶ διαγράφειν, ὅ ἐστιν ἀπωθεῖν καὶ ἀποκηρύττειν με τοῦ χοροῦ τῶν ἱερέων διὰ ταῦτα, ὡς προειδὼς ταῦτα.

τῆς ἱερέων ἑαυτῷ χώραν οὐχ ὑπολείψει. πρὸς ταῦτα, λῆρός ἐστιν ἅπασα γνώμη (α 3)· τὸ γὰρ ἀληθὲς, εὖ οἶδ' ὅτι τῷ Θεῷ προσφιλέστατον· καὶ νὴ τὴν ἱεράν σου κεφαλὴν, καὶ ἔτι πρὸ ταύτης, νὴ τὸν ἔφορον ἀληθείας Θεὸν, ἄχθομαι μέν· πῶς γὰρ οὔ μέλλω, δεῆσαν ὥσπερ εἰς βίον ἀπὸ βίου μετασκευάζεσθαι; εἰ δὲ τούτων φανερῶν γινομένων, ἅπερ οὐκ ἀξιῶ λανθάνειν, ἐγκρίνειεν (β 3) ἡμᾶς ἱερεῦσιν, ᾧ τοῦτο δέδωκεν ὁ Θεὸς, ὑποδύσομαι τὴν ἀνάγκην, καὶ ὡς θεῖον σύνθημα καταδέξομαι· λογίζομαι γὰρ ὅτι βασιλέως ἂν ἐπιτάξαντος, καὶ κακοδαίμονός τινος Αὐγουσταλίου, δίκην ἂν ἔδωκα μὴ πειθόμενος· τῷ Θεῷ δὲ ἐθελοντὴν δεῖ πείθεσθαι· εἰ δὲ μὴ προσίεταί με (γ 3) λειτουργὸν ὁ Θεὸς, καὶ ἐκ προοιμίων δεῖ τὸ θειότατον ἀγαπᾶν, τὴν ἀλήθειαν (δ 3), ἀλλὰ μὴ διὰ τῶν ἐναντιωτάτων, ὁποῖόν ἐστι τὸ ψεῦδος, εἰς τὴν ὑπηρεσίαν αὐτοῦ παραδύεσθαι· γίνου δὴ τοῦ σοῦ χολαστικὸς εἰδέναι ταῦτα, καὶ πρὸς ἐκεῖνον ἐξαγγεῖλαι.

Τῷ αὐτῷ. 106.

Ἠρόμην τὸ μειράκιον ὑπὲρ τοῦ σιλφίου (α), πότερον ἀπὸ γεωργίας σοὶ γέγονεν, ἢ δῶρον λαβὼν, ἔθου μερίδα κἀμοί· καὶ δῆτα μαθὼν ὡς τὸ σπουδαζόμενον (β) ὑπὸ σοῦ κηπίον, πρὸς ἅπασι καὶ τοῦτον ἐκόμισε τὸν καρπὸν, ἥσθην διπλῆ, τῷ τε κάλλει

(α 3) Ἡ περὶ ἐμοῦ ἄλλ' ἄττα ἐναντίως, οἷς ἀληθεύων προδιεμαρτυράμην οἰομένη. (β 3) Συγκαταριθμήσειεν ἡμᾶς τῷ χορῷ τῶν ἱερέων ἐκεῖνος, ᾧ τοῦτο δέδωκεν ὁ Θεός· λέγει δὲ τὸν Θεόφιλον. (γ 3) Ἑτέρα γραφὴ ἔχει, εἰ δὲ δὴ προσίεταί με, ἣ καὶ καταλληλοτέρα ἐπιστήσαντι· φησὶ γὰρ κατ' ἐπανάληψιν ἐν πλεονασμῷ τοῦ δέ· Εἰ τοίνυν προσίεταί με ὁ Θεὸς λειτουργὸν, οὐ θέλω διὰ ψεύδους τὴν ὑπηρεσίαν ὑπελθεῖν, ἀλλὰ διὰ τῆς ἀληθείας ἐκ προοιμίων, πρὸ τῆς χειροτονίας ὁμολογῶν ἄττα δὴ καὶ φρονῶ.
(δ 3) Ἀγαπᾶν τὴν ἀλήθειαν, τὸ θειότατον χρῆμα.
(α) Σίλφιον εἶδος βοτάνης ἡδυόσμου. (β) Καλλιεργούμενον, ἐπιμελού-

λει τοῦ Λαχάνου, καὶ τῇ φήμῃ (β) τοῦ τόπου. ὄναιο τοῦ παμφόρου χωρίου, καὶ μήτε σὺ κάμοις ἐπαντλῶν ταῖς φιλτάταις πρατιαῖς, μήτ᾽ ἐκεῖναί ποτε πρὸς τὰς ὠδῖνας ἀπαγορεύσειαν, ἵν᾽ ἔχῃς αὐτός τε χρῆσθαι, καὶ ἡμῖν διαπέμπειν ὅσα φέρουσιν ὧραι.

Τῷ αὐτῷ. 107.

Ἡδὺς εἶ κωλύων ἡμᾶς ὅπλα κατασκευάζεσθαι, τῶν πολεμίων μὲν ἐπεχόντων, καὶ λείας ἅπαντα ποιουμένων, καὶ ἀποσφαττόντων ὁσημέραι δήμους ἀθρόους, στρατιωτῶν δὲ οὐκ ὄντων, ὥστε καὶ φαίνεσθαι· εἶτα λέξεις ὡς οὐκ ἐξὸν ἰδιώτας ἀνθρώπους ὁπλοφορεῖν, ἀποθνήσκειν δὲ ἐξὸν, εἴπερ καὶ ἡ πολιτεία χαλεπαίνει τῷ πειρωμένῳ σώζεσθαι; ἀλλ᾽ εἰ μηδὲν ἄλλο κερδανῶ, τὸ γοῦν τοὺς νόμους γενέσθαι κυρίους ἀντὶ τούτων τῶν ἀλαστόρων, καὶ πόσου τοῦτο τιμῶμαι, πάλιν εἰρήνην ἰδεῖν, καὶ βῆμα κεκοσμημένον, καὶ κήρυκα σιγὴν ἐπιτάττοντα; αὐτίκα τεθναίην, τὸ πρῶτον σχῆμα τῆς πατρίδος ἀπολαβούσης.

Τῷ αὐτῷ. 108.

Ἐμοὶ λόγχαι μὲν ἤδη γεγόνασι τριακόσιαι, καὶ κοπίδες τοσαῦται, ξίφη δὲ ἀμφήκη καὶ πρότερον ἦν, οὐ πλείω τῶν δέκα· παρ᾽ ἡμῖν δὲ οὐ χαλκεύεται τὰ πάνυ προμήκη ταῦτα σιδήρια· ἀλλ᾽ οἶμαι τὰς κοπίδας ἐῤῥωμενέστερον ἐμβάλλειν τοῖς τῶν ἀντιτεταγμένων σώμασι. τούτοις οὖν χρησόμεθα· εἰ χρηστέον δὲ, καὶ κορύνας ἕξομεν· ἀγαθοὶ δὲ οἱ κότινοι παρ᾽ ἡμῖν· ἐνίοις δὲ ἡμῶν, εἰσὶ καὶ πελέκεις ἑτερόστομοι περὶ τὴν ζώνην ἑκάστῳ, οἷς τὰς ἀσπίδας αὐτῶν ἀλοήσαντες, ἐν ἴσῳ στησόμεθα αὐτοῖς οἱ μηδὲν ἔχοντες ὅπλων πρόβλημα. ὁ δὲ ἀγὼν, ὡς εἰκάσαι, τῆς ὑστε-

μενον. (γ) Η᾽ ἔχει περὶ οὗ φέρει λαχάνου.

ὑστεραίας· τοῖς γὰρ σκοποῖς ἡμῶν προεντυχόντες ἔνιοι τῶν πολεμίων, καὶ διώξαντες ἀνὰ κράτος, ὡς ἔγνωσαν κρείττους ὄντας ἢ ἁλῶναι, ἐκέλευσαν ἀγγέλλειν ἡμῖν ἅττα ἥδιστα (α)· εἰ μηκέτι δεήσει πλανᾶσθαι, ζητοῦντας ἀνθρώπους ἐνδυομένους ἠπείρου πλάτη· μένειν γὰρ ἔφασαν, καὶ ἐθέλειν μαθεῖν οἵτινες ὄντες, ἡμερῶν τοσούτων ὁδὸν ἀποσπάσαι τῆς χώρας ἐτολμήσαμεν, ἐφ' ᾧ σύμμίξαι πολεμισταῖς ἀνθρώποις, βίον ζῶσι νομαδικὸν, καὶ τὰ εἰς πολιτείαν οὕτω καταστησαμένοις, ὥσπερ ἡμεῖς τὰ ἐπὶ τῆς στρατιᾶς (β); ὡς οὖν αὔριον σὺν Θεῷ τοὺς πολεμίους νικήσων, ἂν μέντοι δέῃ (γ) πάλιν νικήσων· μηδὲν γὰρ ἀπαίσιον φθεγξαίμην (δ)· ἐπισκήπτω σοι τῶν παιδίων ἐπιμεληθῆναι, προσήκει δὲ ὄντι θείῳ εἰς αὐτὰ ἀπομνημονεῦσαι τὴν χάριν (ε).

Τῷ αὐτῷ. 109.

Οὐκ ὄνος, οὐχ ἡμίονος, οὐχ ἵππος ἐστί μοι, ἁπάντων ἀνειμένων εἰς πόαν, οἷς χρησάμενος ἂν ἦλθον εἰς σὲ τὴν φιλτάτην μοι κεφαλήν· βαδίζειν δὲ πάνυ μὲν ἐβουλόμην, καὶ τυχὸν ἠδυνάμην· οὐ μὴν ἔφασαν οἱ προσήκοντες δεῖν, ἵνα μὴ διατριβῇ (α) τοῖς ἀπαντῶσι χρῴμεθα· τούτους γὰρ, οἵτινες ἂν ὦσιν, οὕτω πάνυ σοφοὺς ἡγοῦνται, καὶ τοσοῦτον νοῦν ἔχειν, ὡς ἕκαστον αὐτῶν ἄμεινον ἂν ἐμοῦ σκέψασθαι περὶ τῶν πρεπόντων ἐμοί· τοσούτων ἡμᾶς ἐξαρτῶσι κριτῶν, οἱ πρὸς δόξαν τὴν ἔξω ζῆν ἀναγ-

---

(α) Ἥδιστον γὰρ ἦν ἡμῖν τὸ μὴ περιπλανωμένους ζητεῖν τοὺς νομάδας, ἀλλὰ μένουσιν αὐτοῖς πολεμεῖν. (β) Τοῖς οὕτω διὰ βίου πολιτευομένοις, ὡς ἡμεῖς νῦν στρατευόμεθα, τοῦτ' ἔστι τοῖς διὰ παντὸς πολεμικῶς βιοῦσιν.
(γ) Ἂν ἐν τῇ πρώτῃ συμπλοκῇ νικήσω, δεήσῃ ὅμως καὶ αὖθις συμπλακῆναι, ὡς πάλιν νικήσων. (δ) Ὅτι ἡττηθήσομαι. (ε) Ἣν ὀφείλεις πρός με.

(α) Εἴην γὰρ ἂν προσιστάμενος ἑκάστῳ τούτων ἀπαντώντων, ἐρωτῶντί με, τί δήποτε σὺ ὁ καὶ φιλόσοφος καὶ τῶν ἐν τῇ πόλει τὰ πρῶτα φερόντων, ἀναξίως σεαυτοῦ πεζῇ πορεύῃ;

ναγκάζοντες. περιεγένοντο δὲ οὐ νουθετοῦντες, ἀλλὰ τὸν βιαιότερον (β) τρόπον, ἐπειδὴ (γ) προῄειν, οὐκ ἐπιτρέποντες, ἀλλ' ἀντιλαμβανόμενοι τοῦ τριβωνίου. τί οὖν τὸ λοιπόν, ἢ τὴν ἐπιστολὴν ἀντ' ἐμοῦ στεῖλαι πρὸς σέ; δι' ἧς ἀσπάζομαί τέ σε, καὶ πυνθάνομαι τίνα τὰ ἀπὸ Πτολεμαΐδος ἀγώγιμα, λόγους καινούς, οὓς εἰκός σε κομίζειν ἀπὸ τοῦ στρατηγίου· καὶ μάλιστα τί τὸ θρυλλούμενον ἀπόρρητον ἀπὸ τῆς ἑσπέρας; οἶδα γὰρ ὅτι πάνυ μοι διαφέρει γενόμενον οὕτω, καὶ μὴ γενόμενον. εἰ μὲν οὖν ἕκαστα σαφῶς ἔχουσαν ἐπιστολὴν ἐκπέμψεις, ἕξω τὴν χώραν· εἰ δὲ μή, καὶ σὺ μέμψῃ περὶ τοῦ δρόμου (δ).

Τῷ αὐτῷ. 110.

Χείλας ὁ πορνοβοσκός, ὃν οὐκ εἰκὸς ὑπὸ πολλῶν ἀγνοεῖσθαι, διὰ τὴν ἐκ τῆς τέχνης λαμπρότητα (α)· καὶ γὰρ ἡ μῖμος Ἀνδρομάχη, τῆς τούτου γέγονε φάλαγγος (β), ἡ τὸ κάλλιστον τῶν γυναικῶν (γ) ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀνθήσασα· οὗτος ἐνεάσας τοῖς οὕτω καλοῖς ἐπιτηδεύμασι, πρέπον ᾠήθη τοῖς προβεβιωμένοις αὐτῷ, ἐν γήρᾳ στρατιωτικαῖς ἐλλαμπρύνεσθαι τάξεσιν. ἔναγχος οὖν ἥκει παρὰ βασιλέως στρατηγεῖν εὑράμενος τῶν γενναιοτάτων (δ) Μαρκομάνων, οὓς εἰκὸς ἡμῖν εἶναι καὶ πρότερον ἀγαθοὺς (ε) στρατιώτας ὄντας, νῦν ἐπιτυχόντας καὶ πρέποντος στρατηγοῦ (ζ), μέγα τι καὶ γενναῖον (η) ἔργον ἐπιδείξασθαι. ἔλεγε γοῦν Συριανῷ συγγινόμενος· οἶδα τὸν ἐκ γειτόνων τὸν ἰατρόν·

ὁ

(β) Βιάζοντές με. (γ) Τὸ ἐπειδὴ ἀντὶ τοῦ ὅτε. (δ) Τῆς εἰς σὲ πεζοπορίας.

(α) Ἀντιφραστικῶς, Αἰσχρότητα. (β) Τὸ πορνικὸν τῶν γυναικῶν σύστημα φάλαγγα καλεῖ, ὡς τοῦ Χείλα μετὰ ταῦτα στρατηγήσαντος. στρατηγοῦ δὲ ἡ φάλαγξ. (γ) Ἢ ὅτι ἡ ὡραιοτάτη τῶν γυναικῶν, ἢ ἀντιφραστικῶς ἡ ἅτε δὴ πόρνη αἰσχροτάτη τῶν γυναικῶν. (δ) Ἀντιφραστικῶς τῶν ἀνάνδρων. (ε) Καὶ τοῦτο ἀντιφραστικῶς. (ζ) Γυναικώδεις, οἷα δὴ πορνοβοσκοῦ. (η) Καὶ τοῦτο ἀντιφραστικῶς.

ὁ δὲ Συριανὸς ἀπήγγειλε πρὸς ἡμᾶς, ἐν οἷς ἀπολίποι (θ) τὸ θεῖον στρατόπεδον (ι). τὰ μὲν οὖν ἄλλα τί ἂν δέοι πρὸς σὲ γράφειν, ὧν κἀγὼ παρέργως ἠκροασάμην; ἐφ' οἷς δὲ αὐτὸς ἀκούσας ἥσθην ὑπερφυῶς, σέ τε δι' αὐτὴν εὐφρανθῆναι βούλομαι, τά δε ἐστίν· ὁ θαυμαστὸς Γωάννης, μικρὸν εἰπεῖν, ἐν τοῖς αὐτοῖς ἐστιν, ἐπιδιδούσης τῆς τύχης ἐν τοῖς ἐκείνου πράγμασιν, ὅσον ἐπιδόσεως χωρεῖ, καί τινα καθ' ἑαυτὴν ὑπερβολὴν (κ) ἐξευρούσης· αὐτῷ τε γὰρ ἀνεῖται τὰ βασιλέως ὦτα, καὶ περὶ τούτων ἡ γνώμη χρῆσθαι πρὸς ὅ,τι δέοιτο· καὶ ὅσα Ἀντίοχος δύναται, δύναται τούτῳ· δύναται δὲ Ἀντίοχος ὅσα βούλεται· Ἀντίοχον ἡγοῦ μὴ τὸν ἀπὸ Γρατιανοῦ, τὸ ἱερὸν ἀνθρώπιον, τὸ βέλτιστον μὲν τοὺς τρόπους, εἰδεχθέστατον δὲ τὴν ὄψιν· ἀλλ' ἕτερός ἐστιν ὁ νεανίσκος ὁ πρόκοιλος (λ), ὁ Μαρσῇ τῷ Πέρσῃ (μ) παραδυναστεύσας, καὶ ἐπιδυναστεύσας (ν)· τοῦτον ἐξ ἐκείνου (ξ) μέχρι νῦν ἡ τύχη μέγαν ποιεῖ (ο). τούτων οὕτως ἐχόντων, εἰκός ἐστι κορώνης.

(θ) Ἔλεγχε ὁ Χείλας, τῷ Συριανῷ ἐν οἷς αὐτὸς ἔτος ὁ Χείλας ἀπέλιπε τὸ στρατόπεδον, ἐν οἵᾳ καταστάσει δηλαδὴ οὐχὶ ἐν Γωάννῃ καὶ Ἀντιόχῳ ὥς φησι παρακατιὼν ὁ διδάσκαλος. (ι) Στρατόπεδον ὧδε, ὡς καὶ ἀλλαχοῦ τὰ ἀρχεῖα λέγει, θεῖα δὲ αὐτὰ ἀποσεμνύνων καλεῖ διὰ τὸν ἐν αὐτοῖς θεῖον βασιλέα· ἔλεγε γοῦν ὁ Χείλας ἀπολιπεῖν αὐτὸ τὸ στρατόπεδον ἐν Γωάννῃ καὶ Ἀντιόχῳ, τοῦτ' ἔστιν· ἀπολιπεῖν ἐν τοῖς ἀρχείοις Γωάννην καὶ Ἀντίοχον τοὺς τὰ μέγιστα μὲν δυναμένους παρὰ τῷ βασιλεῖ, φίλους δὲ Συνεσίῳ καὶ τῷ τούτου ἀδελφῷ, τῷ δὲ Χείλᾳ τὸν μὲν Γωάννην συγγενῆ, τὸν δὲ Ἀντίοχον οἰκεῖον διὰ Γωάννου. (κ) Ἡ δὲ ὑπερβολὴ ὅτι οὐ βασιλέως τά τε ὦτα καὶ ἡ γνώμη αὐτῷ ἀνεῖται· ὥστε χρῆσθαι αὐτὸν τῇ οὐ βασιλέως γνώμῃ κτ. (λ) Γρ: πρόκοιτος. (μ) Τῷ Ῥωμαίων στρατηγῷ Σουΐδας. (ν) Μετ' αὐτὸν ἀντ' αὐτοῦ στρατηγὸς καταστάς. (ξ) Τοῦ Ναρσῆ. (ο) Κακῶς ἡ τύχη ἐπὶ τῶν τοιούτων τοιαύτην φήμην ἐκληρονόμησεν· οἱ γὰρ τὰς πράξεις χειρίζοντές εἰσιν αἴτιοι, αἷς σεμνότης μὲν ἐπιτρέχουσα καὶ μέγεθος, εὐτυχεῖς, τοὐναντίον δὲ, εἴτ' οὖν διαμαρτία, δυστυχεῖς ποιεῖ· καὶ ἄλλως οὐ ταῖς τῶν ἀνθρώπων βουλαῖς, ἀλλὰ τῇ ἐκ Θεοῦ ῥοπῇ πρυτανεύεται τὰ ἀνθρώπινα· ὃ δὴ τύχην καλοῦσιν οἱ μὴ εἰδότες ὅτου δὴ ἕνεκα πρόεισι τὰ ξυμβαίνοντα, εἴπερ αὐτοῖς οὐκ εὔδηλα γίνεται· τῷ γὰρ ἀλόγῳ δοκοῦντι εἶναι φιλεῖ τὸ τῆς τύχης ὄνομα προσχωρεῖν, εἴγε τύχη παρ' Ἕλλησιν, ἀπροοη-

ρώνης (π) ἐνιαυτὸν ἄρξαι παρ' ἡμῖν τὸν δικαιότατον ἄρχοντα (ρ), τοῦ μὲν, ὄντα συγγενῆ, τοῦ δὲ, οἰκεῖον γενόμενον.

Τρωΐλῳ. 111.

Πυνθάνῃ περὶ Διοσκορίου πόσους ἀπαγγέλλει στίχους ἑκάστης ἡμέρας; πεντήκοντα· τούτους ἀποδίδωσιν, οὐ προαστείων, οὐ διλογῶν, οὐκ ἐφιστάμενος ἐφ' ᾧ τὴν ἀνάμνησιν ἀθροῖσαι σὺν χρόνῳ, ἀλλ' ἐπειδὰν ἄρξηται λέγειν, κατατείνει συνεχῶς· καὶ ἡ σιωπὴ τέλος ἐστὶ τῆς ἀπαγγελίας.

Τρωΐλῳ 112.

Οὔτε ἐπὶ τοῖς αὐτοῖς (α) ἄνθρωποι φιλοῦσι καὶ ἐπαινοῦσιν, οὔτε μία δύναμις τῆς ψυχῆς ἐπ' ἄμφω τέτακται ταῦτα· ἀλλὰ τῷ παθητικῷ (β) μὲν οἰκειούμεθα (γ) καὶ ἀλλοτριούμεθα (δ)· τῷ δὲ κρίνειν δυναμένῳ, καὶ λόγον ἔχοντι (ε) τῆς ψυχῆς, ἐπαινοῦμέν τε καὶ μεμφόμεθα.

Τῷ Ἀδελφῷ. 113.

Εἶτα σοῦ μὲν (α) κακοδαίμονας τούτους ὁρῶμεν ἀποθνήσκειν ἐθέλον-

τος κόσμου διοίκησις, ἢ φορὰ ἐξ ἀδήλων εἰς ἄδηλον, καὶ ταυτόματον· οἱ δὲ Χριστιανοὶ Θεὸν ὁμολογοῦμεν διοικεῖν τὰ πάντα· Σουΐδας. (π) Παμπόλλους ἐνιαυτούς· μακροβιώτατον γὰρ ἱστορεῖται τὸ ζῶον. (ρ) Εἰρωνικῶς, ἢ καὶ ἀντιφραστικῶς τὸν Χεῖλαν οὕτω καλεῖ· οὐκοῦν φίλοι τῷ Συνεσίῳ καὶ τῷ τούτου ἀδελφῷ ὁ Ἀντίοχος καὶ Γωάννης ὡς ἔφθης εἰπών, ἀλλὰ μᾶλλον ἐχθροί· οὐ δὴ χάριν καὶ εἰρωνίαν τοσαύτην καταχεῖ τοῦ διὰ τούτων στρατηγήσαντος Χεῖλα.

(α) Οὐ δή ἄτις φιλεῖ τινα, διὰ αὐτὰ ταῦτα καὶ ἐπαινεῖ αὐτὸν, ἀλλὰ φιλεῖ μὲν αὐτὸν ὡς ἡδὺν, ἢ καὶ χρήσιμον αὐτῷ, ἐπαινεῖ δὲ, εἰ καὶ ἀγαθὸς εἴη, εἴτ' οὖν σπουδαῖος, ἐνάρετος. (β) Τῷ ἀλόγῳ μέρει τῆς ψυχῆς, τῷ ἐπιθυμητικῷ λέγω, καὶ τῷ θυμικῷ, καθ' ἃ κινουμένη ἡ τῷ σώματι συνδεδεμένη ψυχὴ, πάσχει, πρὸς ἀντιδιαστολὴν τοῦ ἀπαθοῦς λογιστικοῦ. (γ) Τῷ ἐπιθυμητικῷ. (δ) Τῷ θυμικῷ. (ε) Τοῦτ' ἔστι τῷ λογικῷ.

(α) Πολλαχοῦ πλεοναστικῶς χρῆται ὁ Συνέσιος τῷ, εἶτα.

θέλοντας ὑπὲρ τῶν ἀλλοτρίων, ἅττα ἂν λείαν περιποιήσωνται, τοῦ μηκέτι προέσθαι τοῖς κυρίοις αὐτά· ἡμεῖς δὲ ὑπὲρ χώρας, ὑπὲρ ἱερῶν, ὑπὲρ νόμων, ὑπὲρ κτημάτων, οἷς ἡμᾶς ὁ χρόνος συνηθεστέρους ἐποίησεν, οὐκ ἀφειδήσομεν ἑαυτῶν, ἀλλὰ περιεξόμεθα τῶν ψυχῶν; οὐκ ἄρα δόξομεν (β) ἄνδρες εἶναι· ἐμοὶ μὲν οὖν ἰτητέον (γ) ἐστὶν ἐπ' αὐτοὺς ὡς ἔχω, καὶ πεῖραν ληπτέον τῶν πάντα τούτων τολμώντων, οἵτινες ὄντες ἀξιοῦσι Ῥωμαίων καταγελᾷν, ἐχόντων ὅπως ποτὲ ἔχουσιν (δ); ἀλλ' ἡ κάμηλος γάρ τοι, φασὶ, καὶ ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία· ἀλλὰ μὴν καὶ ἀποθνήσκοντας, ὡς ἐπίπαν ἐν τοῖς τοιούτοις (ε) ὁρῶ τοὺς περὶ πλείστου ποιουμένους τὸ ζῆν, καὶ ζῶντας ὅσοι τοῦ ζῆν ἀπεγνώκεισαν· τούτων ἔσομαι· μαχήσομαι γὰρ ὡς ἀποθανούμενος· καὶ εὖ οἶδ' ὅτι περιέσομαι· Λάκων γὰρ ἄνωθέν εἰμι (ζ), καὶ οἶδα τὴν περὶ Λεωνίδαν (η) ἀποστολὴν τῶν τελῶν (θ)· μαχέσθων ὡς τεθναξόμενοι, καὶ οὐ τεθνάξονται.

Τῷ αὐτῷ. 114.

Εἶτα θαυμάζεις, ὅς τις (α) οὐκ αὐχμώδεις Φυκοῦντας οἰκῶν, εἰ ῥιγοῖς, καὶ τὸ αἷμα διεξεπονήρευσας; τοὐναντίον μέντοι θαυμά-

---

(β) Οὐκ ἐρωτηματικῶς, ἀλλ' ἀποφαντικῶς ἀναγνωστέον. (γ) Πλεονασμῷ ἔχει τῆς τη συλλαβῆς. (δ) Εἰ γάρτοι καὶ ἠσθένησαν πρὸς ἄλλους, πρός γε μὴν τοὺς κακοδαίμονας τούτους εὐσθενέστατοί εἰσιν. (ε) Τοῦ πολέμου καιροῖς, καὶ ἁπλῶς ἐν τῷ πολέμῳ. (ζ) Καθ' ὃ τὴν Κυρήνην οἱ Θηβαῖοι ἔκτισαν Ἄποικοι τῶν Λακώνων· Μελέτιος γεωγρ: σελ: 585. (η) Ὅρα τὸν Σουΐδαν ἐν τῷ Λεωνίδας· καίτοι οἱ περὶ τὸν Λεωνίδαν τριακόσιοι μαχόμενοι Ξέρξῃ, ἐθανατώθησαν· οὐ τεθνησκομένους δὲ αὐτοὺς λέγει διὰ τὸ τῶν ὑπὲρ πατρίδος μέχρι θανάτου μαχεσαμένων παρ' Ἕλλησιν ἀείμνηστον· Συνέσιος δὲ οὐχ οὕτως, οἶμαι, ἐξείληφε καὶ περὶ ἑαυτοῦ τὸ, μαχήσομαι ὡς ἀποθανούμενος. (θ) Τῶν ἐντέλει, πολιτικῇ ἀξίᾳ.

(α) Τὸ, ὅς τις, ὀβελιστέον, οὐ μόνον ὡς ἐν ἄλλοις οὐ κείμενον, ἀλλὰ μᾶλλον καὶ ὡς ἀσύντακτον, ὡς μὴ πρός τι ἴδιον ῥῆμα ἐνεχθέν· τὸ γὰρ θαυ-

μάζειν ἐχρῆν, εἰ σοὶ τὸ σῶμα κρεῖττόν ἐστι τῆς αὐτόθι φλογός· ἀλλ' ἔστι σοι παρ' ἡμᾶς ἐλθόντι σὺν τῷ Θεῷ, ῥάονι γενέσθαι, ἀπαλλαγέντι μὲν ἀέρος διεφθορότος ἐκ τῆς ἑλώδους ἀτμίδος, ἀπαλλαγέντι δὲ ὕδατος ἀλυκοῦ, καὶ χλιαροῦ, καὶ τὸ ὅλον ἑστῶτος, ὃ ταὐτὸν εἰπεῖν καὶ νεκροῦ· τί δὲ καὶ καλὸν ἐπὶ τὴν ψάμμον τὴν αἰγιαλῖτιν ἀναπεσεῖν, ἣν μόνην ἔχετε διατριβήν; ποῦ γὰρ δὴ καὶ τραπήσεσθε; ἐνθαδὶ δὲ, οἷον μέν ἐστιν ὑπελθεῖν δένδρου σκιάν· κἂν δυσαρεστήσῃς, ἔστιν ἀμεῖψαι δένδρον ἐκ δένδρου, καὶ ὅλον ἄλσος ἐξ ἄλσους· οἷον δὲ τὸ διαβῆναι παραῤῥέον ὑδάτιον; ὡς ἡδὺ ζέφυρος ὑποκινῶν ἠρέμα τοὺς κλάδους· ποικίλαι δὲ καὶ ὀρνίθων ᾠδαὶ, καὶ ἀνθέων χροιαὶ, καὶ λειμῶνος θάμνοι· τὰ μὲν γεωργίας ἔργα· τὰ δὲ, φύσεως δῶρα· πάντα εὐώδη· γῆς ὑγιαινούσης χυμοί· τὸ δὲ τῶν Νυμφῶν ἄντρον (β) οὐκ ἐπαινέσομαι (γ)· Θεοκρίτου γὰρ δεῖ· ἔστι δέ τι καὶ παρὰ ταῦτα.

Θεοδώρῳ Ἰατρῷ. 115.

Ἀγαθὸν ἀναγκαῖον ἡ ὀλιγοσιτία, ἣν ἕτερος μὲν ἄν τις καὶ σκώψειε· σοὶ δὲ οὐ θέμις Ἱπποκράτην αὐχοῦντι, ὃς ἀφορίζων τὴν ἔνδειαν, ἔφη ὑγείας εἶναι μητέρα.

Αὐξεντίῳ. 116.

Εἰς ὄρος, ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης Ὅμηρος ἀποδιοπομπεῖται τὰ ἐκ φιλονεικίας κακά· φιλοσο-

μάζεις οὐ τοῦ ὑποτακτικοῦ ἐστι ῥῆμα, ἀλλὰ τοῦ προηγουμένου πτωτικοῦ, εἰς ὃ τὸ ὑποτακτικὸν ἀναφέρεται· καὶ δῆτα τὸ, ὅς τις μὴ ἔχον ἴδιον ῥῆμα, οὔτινος ὀφείλει εἶναι προηγητικὸν κατὰ τὸν κανόνα, αἰκίζει τὸν σῶον λόγον ἐγκείμενον. μήποτε δὲ ἀντὶ τοῦ ὑποτακτικοῦ προτακτικὸν γραπτέον, ἵνα ᾖ λέγων, θαυμάζεις ὁ τοὺς φυκοῦντας οἰκῶν, εἰ ῥιγοῖς; καὶ ἀνάρθρως ὅμως ὁ λόγος οὐχ ἧττον ἐρρώσθη· εἶτα θαυμάζεις τοὺς φυκ: κτ. (β) Τὸ μουσεῖον, ἐν ᾧ οἱ λόγιοι διατρίβουσιν. (γ) Ὡς μὴ ἱκανὸς ἐγώ.

σοφία δὲ οὐδὲ τὴν ἀρχὴν αὐτοῖς δίδωσι πάροδον εἰς ψυχήν· ἀλλ᾽ ἡμεῖς ἀσθενέστεροι μὲν (α), ἢ ὥστε φιλοσοφεῖν, τό γε ἐμὸν μέρος· οὐ μὴν ἀξιοῦμεν (β) παντάπασι φαυλότερον ἔχειν ἀνθρώπων στρατιωτῶν, ἐφ᾽ οἷς ἡ ποίησις γέγονε· πάλιν οὖν Ὁμήρῳ χρηστέον, ὅς που φησίν,

Ἄρχε, σὺ γὰρ γενεῆφι νεώτερος.

Μάχη γὰρ μὴ γένοιτο μέν· εἰ δὲ γένοιτο, ὁ νεώτερος αὐτῆς ἀρχέτω· τοιοῦτον γάρ τι νοεῖται τῷ Ποσειδῶνι, τὸ παραχωρεῖν τοῦ προκατάρξασθαι τῷ νεωτέρῳ Θεῷ· τὸν δὲ πρεσβύτερον, ἡγεμόνα δεῖ τῶν καλλίστων εἶναι· κάλλιστον δὲ ὁμόνοια. ἐγὼ δὲ ὡς οὐ σοῦ πρεσβύτερος (γ) μόνον, ἀλλὰ καὶ ἤδη πρεσβύτης, χρεῶ δῆλον (δ), ὁ Φερεκύδης φησίν. οὐκοῦν τὰ τῆς ἀπολογίας (ε) εἰς ἐμὲ περιίσταται· εἰ δὲ καὶ τὸν πρότερον ἁμαρτάνοντα δεῖ πρότερον ἐνδοῦναι, σὺ δ᾽ ἐμὲ βούλει τοῦτον εἶναι, συγχωρῶ σὺ τὴν χάριν καὶ τοῦτο· δεῖ γὰρ ἀντιποιηθέντα σου πρότερον, εὐθὺς ἐθελήσαντί σοι χαρίσασθαι.

Ἡλιοδώρῳ. 117.

Ἡ φήμη λέγει δύνασθαί σε πολλὰ παρὰ τῷ νῦν ἔχοντι τὴν Αἰγυπτίων ἀρχὴν, καὶ ἀληθῆ λέγει· δικαιότατος γὰρ εἶ, καλῶς τῷ δύνασθαι χρώμενος. ὅπως οὖν ὄναιο τῆς σῆς φύσεως καὶ δυνά-

(α) Τὰ τῶν νεωτέρων Αὐξεντίου οἰκειοποιεῖται. (β) Ἐχρῆν μὲν ἡμᾶς ὡς φιλοσόφους μηδὲ τὴν ἀρχὴν πάροδον δοῦναι τοῖς ἐκ φιλονεικίας κακοῖς εἰς ψυχὴν, ἐπειδὴ δὲ ἅπαξ παρεισέδυσαν, κατὰ γοῦν δεύτερον, ὅφασι, πλοῦν ἀποδιοπομπητέον καὶ ἡμῖν ταῦτα εἰς ὄρος, ἢ εἰς κῦμα, ἵνα μὴ χείρους ὦμεν τῶν στρατιωτῶν, οἷς ταῦτα παραινεῖ Ὅμηρος. (γ) Ὅτι οὐ τιμιώτερός σου μόνον ὡς φιλόσοφος, ἢ μεγαλήτερος τῷ χρόνῳ, ἀλλὰ καὶ γηραιός. (δ) Ὅρα Σουΐδ: ἐν τῷ, χρέα. (ε) Ἡ ἀνασκευὴ τῆς κατηγορίας, ἣν ἀλλήλων κατηγοροῦμεν.

νάμεως, ὑπὲρ ὧν ὁ ἐμὸς Εὐσέβειος δεῖται, λέγοντος ἄκουσον, ἵν' εἰδῇς ὅτι καὶ ῥήτορα συνεστήσαμεν.

Τρωΐλῳ. 118.

Εἰ τὸν ἥρωα Μαξιμῖνον οἶσθα· διέτριψε γὰρ χρόνον ὑπόσυχνον ἐπὶ στρατοπέδου· πάντως καὶ ὅτι χρηστὸς ἦν, οἶσθα. τούτου παῖς, ἐμὸς ἐξανέψιος, ὃς ἐπιδώσει σοι τὴν ἐπιστολήν· ὃν ἕτερος μέν τις ἴσως καὶ διὰ τὴν τύχην τιμήσει· τῶν γὰρ ἀρξάντων ἐστὶν οὐκ ἀφιλότιμον ἀρχήν· ὁ δὲ φιλόσοφος Τρωΐλος τἄνδον ὄψεται τοῦ νεανίου, κἀκεῖθεν αὐτὸν ἐπαινέσει. δῆλον δὲ ὅτι καὶ συνδιοίσεις (α) τὰ παρόντα αὐτῷ· παράττεται γὰρ ὑπὸ ἐνδεικτῶν κακῶς ἐπιφοιτώντων τῇ Κυρήνῃ, εἰ μὴ σύγε δύσεαι ἀλκήν· ὅ,τι γὰρ Ἀνθέμιον, ἤ τινα τῶν ὁμοτίμων αὐτῷ πείσεις ὑπὲρ ἡμῶν τε καὶ τἀληθῆ φθέγξασθαι, τοῦτο σὸν ἔσται πάντως, καὶ σὺ (τὴν) αἰτίαν ἕξεις τοῦ γενομένου. δι' ἑνὸς οὖν ἀνδρός τε καὶ πράγματος (β), δέομαι προθυμήθητι τῶν παμπονήρων τούτων ἡμᾶς ἀπαλλάξαι θηρίων· τὸ γὰρ εὐτυχηθῆναι (γ) τὴν πεῖραν τοῖς φθάσασι, πολλοὺς ὁμοίους γενέσθαι προτρέψεται.

Τρύφωνι. 119.

Εἰς Διογένην ὅ,τι ἂν ποιήσῃς, ὧν σοι φύσις ἐστὶν ἐργάζεσθαι, οὐδὲν καινὸν ἔσῃ πεποιηκώς, ἀλλ' ἐποικοδομῶν τοῖς σαυτοῦ· Κυρηναῖος γάρ ἐστι, τῆς δι' ὑμᾶς ἔτι πόλεως· δεῖ δὲ οὐ μόνον ἀθρόους, ἀλλὰ καὶ καθ' ἕνα εὐεργετεῖν. τίνα δέ ἐστιν ἐν οἷς φίλων δεήσεται Διογένης, οὐκ ἐμοῦ γράφοντος ἀναγινώσκειν, ἀλλ' αὐτοῦ λέ-

(α) Συνδιαβαστάσεις. (β) Τοῦ ἐμοῦ ἀνεψιοῦ, καὶ ὧν Ἀνθέμιος ὑπὲρ ἡμῶν φθέγξαιτο. (γ) Εἰ γὰρ εὐοδωθῇ ἡ αὐτῶν ἐπήρεια δι' ὧν ἔφθησαν εἰς ἡμᾶς πεποιηκότες.

λέγοντος ἀκούειν σε δεῖ· οὐδὲν γὰρ ἂν γένοιτο τοῦ παθόντος ῥητορικώτερον. Μαρκιανὸν τὸν φιλόσοφον τὸν ἄρξαντα Παφλαγόνων πρόσειπε παρ᾽ ἐμοῦ· κἄν τι δυνῆται· στοχάζομαι δὲ ὅτι δυνάται· κωλυσάτω συγγενῆ μου σφόδρα αὐτανέψιον (α), ἔργον γενέσθαι συκοφαντῶν, κοινῶν ἀλαστόρων τῆς χώρας, ὅν σοι μετὰ τῆς ἐπιστολῆς υἱὸν ἐγχειρίζω, δι᾽ ὃν ὄντες ἀδελφοὶ δύω, τρεῖς ἀριθμούμεθα.

Τῷ ἀδελφῷ. 120.

Οἱ Ἀσκληπιάδαι τοῖς δυσεμέτοις ὕδατος χλιαροῦ διδόασιν ἀποῤῥοφεῖν, ἵνα τούτῳ συνεπισπάσωνται καὶ τὸ προαποκείμενον· βούλομαι δή σοι κἀγὼ φήμας καινὰς ἔναγχος ἐκ τῆς ἠπείρου διακομισθείσας ἀπαγγεῖλαι, ἵνα μοι πολλαπλασίους αὐτὰς ἀποδῷς, προσθεὶς ἔτι πλέον εἰδὼς τυγχάνεις.

*) Ἀναστασίῳ τῷ ὑδροκωμήτῃ. 121.

Ὀδυσσεὺς ἔπειθε τὸν Πολύφημον (α) διαφεῖναι αὐτὸν ἐκ τοῦ σπηλαίου· γόης γάρ εἰμι (β), καὶ εἰς καιρὸν ἄν σοι παρείην (γ), οὐκ εὐτυχοῦντι (δ) τὰ εἰς τὸν θαλάττιον ἔρωτα. ἀλλ᾽ ἐγώ τοι καὶ ἐπῳδὰς οἶδα, καὶ καταδέσμους, καὶ ἐρωτικὰς καταναγκας, αἷς οὐκ εἰκὸς ἀντισχεῖν οὐδὲ πρὸς βραχὺ τὴν Γαλάτειαν· μόνον ὑπό-

---

(α) Γρ: ἀντανέψιον, καὶ ὅρα τὸν Βαρῖνον.

*) Γρ: ὑδροκομιστῇ. ἰστέον δὲ ὅτι τὰ κατὰ τὴν Γαλάτειαν τῶν νεωτέρων ἐστὶ, φησὶ Βαρῖνος, μυθολογία· καθ᾽ ὅ,τι παρ᾽ Ὁμήρῳ οἱ περὶ τὸν Ὀδυσσέα οὐδὲν τοιοῦτο μυθολογοῦντες πρὸς τὸν Κύκλωπα φαίνονται, ἐν ᾧ συνεκλείσθησαν παρ᾽ αὐτοῦ σπηλαίῳ· ὡς οὐδὲ παρὰ τῷ Λουκιανῷ ἐν τῷ ἐναλίῳ διαλόγῳ Δωρίδος καὶ Γαλατείας.

(α) Τὸν Κύκλωπα. (β) Ὁποῖος δέ ἐστιν ὁ γόης, ἐφεξῆς αὐτὸν περιγράφει. (γ) Βοηθήσαιμι, συνεργήσαιμι. (δ) Ὃς οὐκ ἐπιτυγχάνεις ἧς ἐρᾷς Θαλάττης, ὅτε ἐν γαλήνῃ μετρίαις αὔραις περιπνεομένη, τέρπει σε

πρόσηθι σὺ τὴν θύραν ἀποκινῆσαι, μᾶλλον δὲ τὸν θυρεὸν τοῦτον· ἐμοὶ μὲν γὰρ καὶ ἀκρωτήριον εἶναι φαίνεται· ἐγὼ δὲ ἐπανήξω σοι θᾶττον ἢ λόγος τὴν παῖδα κατεργασάμενος (ε)· τί λέγω κατεργασάμενος; αὐτὴν ἐκείνην ἀποφανῶ σοι δεῦρο πολλαῖς ἴυγξι (ζ) γενομένην ἀγώγιμον· καὶ δεήσεταί σου καὶ ἀντιβολήσει· σὺ δὲ ἀκκιῇ καὶ κατειρωνεύσῃ. ἀτὰρ μεταξύ μέ τι καὶ τοιοῦτον ἔθραξε, μὴ τῶν κωδίων ὁ γράσος ἀηδὴς γένηται κόρῃ τρυφώσῃ, καὶ λουομένῃ τῆς ἡμέρας πολλάκις· καλὸν οὖν εἰ πάντα εὐθετήσας, ἐκκορήσειάς τε, καὶ ἐκπλυνεῖς, καὶ ἐνθυμιάσειας τὸ δωμάτιον· ἔτι δὲ κάλλιον (η), εἰ καὶ στεφάνους παρασκευάσαιο, κιττοῦ τε καὶ μίλακος, οἷς σαυτόν τε καὶ τὰ παιδικὰ (θ) ἀναδήσαιο. ἀλλὰ τί διατρίβεις; οὐκ ἐγχειρεῖς ἤδη τῇ θύρᾳ; πρὸς οὖν ταῦτα ὁ Πολύφημος ἐξεκάγχασέ τε ὅσον ἠδύνατο μέγιστον, καὶ τὼ χεῖρε ἐκρότησε· καὶ ὁ μὲν Ὀδυσσεὺς ᾤετο αὐτὸν ὑπὸ χαρμονῆς οὐκ ἔχειν ὅ,τι ἑαυτῷ χρήσαιτο (ι), κατελπίσαντα τῆς παιδικῆς περιέσεως· ὁ δὲ, ὑπογενειάσας αὐτὸν, ὦ Οὖτι (κ), ἔφη! δριμύτατον (λ) μὲν ἀνθρώπιον ἔοικας εἶναι, καὶ ἐγκατατετριμμένον (μ) ἐν πράγμασιν· ἄλλο μέντοι τι ποίκιλλε (ν)· ἐνθένδε γὰρ οὐκ ἀποδράσεις. ὁ μὲν οὖν Ὀδυσσεύς· ἠδικεῖτο γὰρ ὄντως· ἔμελλεν ἄρα τῆς πανουργίας ὀνήσεσθαι· σὲ δὲ Κύκλωπα (ξ) μὲν ὄντα τῇ τόλμῃ, Σίσυφον δὲ (ο) τοῖς ἐγχειρήμασι δίκη με-

τὴν ὄψιν· ὅρα τὸν Βαρῖνον ἐν τῷ, Γαλάτεια. (ε) Καταδαμάσας, καταπονήσας, ἢ μεταπείσας, καταγοητεύσας. (ζ) Γοητείαις· ἡ δὲ ἴυγξ κυρίως ὄρνεόν ἐστιν, ἀεὶ σειον τὴν οὐράν, ἀγωγὸν ἐρώτων. ὃ ἡμεῖς ἤδη Σουσούραν καλοῦμεν· ἐχρῶντο δὲ τούτῳ αἱ φαρμακίδες εἰς ἐρωτικὰς ἐπῳδάς. ὅρα περὶ τούτου Βαρῖνον ἐν τῷ, ἴυγξ. (η) Ποιήσειας. (θ) Τὴν ἐρωμένην παῖδα. (ι) Ἡ διαπόρησις ὑποτακτικὴν ἀπαιτεῖ. (κ) Ἐρωτηθεὶς γὰρ ὑπὸ τοῦ Κύκλωπος, τί οἱ ὄνομα; Οὖτινά με καλέουσιν ἄνθρωποι εἶπεν· ὅθεν καὶ ἀκούει παρ' αὐτοῦ· Οὖτιν ἐγὼ πύματον ἔδομαι. (λ) Πανουργότατον· ὅθεν καὶ πολύμητις ὁ Ὀδυσσεύς. (μ) Καταδεδαμασμένον, γεγυμνασμένον, πεπαλαιωμένον ἐν πανουργίαις. (ν) Βουλεύου, τεχνάζου, μηχανῶ, κατασκεύαζε. (ξ) Ἀντὶ τοῦ ἀνθρωποκτόνον, ὡς καὶ ὁ Κύκλωψ. (ο) Λαθροπαιδοφθορέα·

μετῆλθε, καὶ νόμος καθεῖρξεν, ὧν μήποτε σὺ καταγελάσειας· εἰ δὲ δεῖ πάντως ὑπέρεχειν σε τῶν νόμων· ἀλλὰ μὴ ἔγωγε εἴην ὁ παραλύων αὐτὸν, καὶ τὰς θύρας καταῤῥηγνὺς τοῦ ἐπὶ τοῖς δεσμώταις οἰκήματος· καὶ γὰρ εἰ μὲν ἦν ἐπὶ τοῖς ἱερεῦσιν ἡ πολιτεία, τούτους ἔδει τῆς πονηρίας κολαστὰς εἶναι (π)· ὡς ἔστι γε τὸ δημόσιον ξίφος οὐχ ἧττον, ἢ τὰ ἐν τοῖς περιῤῥαντηρίοις... προτεμβοίσμασι χέρνιβα, πόλεως καθαρτήριον.

Οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν· οὕτως ἐποίουν, ἕως ἐδόκει καλὸν εἶναι τὸν αὐτὸν εὔχεσθαί τε ὑπὲρ τῶν κοινῶν ἀγαθῶν, καὶ πράττειν ὅπως ἂν παραγένοιτο· καὶ γὰρ Αἰγύπτιοι (ϱ) καὶ τὸ Ἑβραίων γένος χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν· ἐπεὶ δὲ διῳκίσθησαν οἱ βίοι, καὶ ὁ μὲν, ἱερὸς, ὁ δὲ, ἡγεμονικὸς ἀπεδείχθη, τετάχαται δὲ ἕτεροι μὲν ἐν τοῖς πράγμασιν (σ), ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς εἶναι, οἷς ὁ νόμος ἀπαγορεύει χεῖρα ὀρέγειν (τ) τῇ δίκῃ, καὶ ἀποκτιννύναι τὸν πονηρότατον, πῶς ἄν τις αὐτοῖς ἐπιτρέψειεν ἀνδρὶ πανούργῳ χεῖρα ὀρέξαι κατὰ τῆς δίκης; ἀλλ᾽ ἐγὼ, τόγε εἰς ἐμὲ ἧκον, ἅπαν ποιῶ· εὔχομαι καὶ οἴκοι καὶ ἐπὶ τῶν κοινῶν ἱερῶν ὑπερέχειν τῆς ἀδικίας τὴν δίκην, καὶ πονηρίας ἐκκαθαρθῆναι τὴν πόλιν· τοῦτο δὲ ταυτὸν ἐστὶ τῷ κακὸν κακῶς ἀπολωλέναι, καὶ σὲ, καὶ ἄλλον ὅς τίς σοι παραπλήσιος. ἔσω δή σοι τοῦτο τεκμήριον, τίς ἂν ἐγενόμην, ἐξόν τι ποιεῖν, ὃς ἐπειδὰν οὐκ ἔξεστι καταρῶμαι.

Τῷ

ἢ πανοῦργον ὅρα Βαρῖνον ἐν τῷ, Σίσυφος. (π) Τοῦτ᾽ ἔστιν ἐγὼ αὐτὸς ἐκόλασα ἄνσε. (ϱ) Ἐσημειώθη περὶ τούτε κἀν τῇ κατὰ Ἀνδρονίκου ἐπισ. (σ) Ταῖς πολιτικαῖς δίκαις. (τ) Συμπράττειν· Τῶν γε μὴν κληρικῶν τὸν τῇ ἐκκλησιαστικῇ ψήφῳ μὴ πειθόμενον παραδίδωσιν ὁ ἐκκλησιαστικὸς νόμος τῇ ἔξωθεν ἀρχοντικῇ αὐθεντείᾳ, ὡς λαϊκὸν, προκαθαιρεθέντα δηλαδὴ παιδεύεσθαι, τοῦτόν τε καὶ τὸν καθαιρεθέντα μὲν, ἀναισχύντως δὲ πάλιν ἀναστατοῦντα τὴν ἐκκλησίαν. (ὁ νβ΄, ξθ΄, Καθαρσ: ὁ ε. Ἀντιοχείας.

Τῷ Ἀδελφῷ. 122.

Πολλὰ κἀγαθὰ γένοιτο τοῖς ἱερεῦσιν Αὐξιδιτῶν (α), οἳ τῶν στρατιωτῶν καταδεδυκότων ἐν χηραμοῖς ὀρῶν, καὶ ἀξιούντων τὸ αἷμα φρουρεῖν (β), οἱ δὲ, τὸν ἀγροῖκον λεὼν παρακαλέσαντες, ἀπὸ τῶν ἱερῶν αὐτῶν τὴν εὐθὺ τῶν πολεμίων ἡγήσαντο· καὶ προσευξάμενοι, τρόπαιον ἔστησαν ἐν τῇ Μυρσινίτιδι· φάραγξ δὲ αὕτη περιμήκης τε καὶ βαθεῖα, καὶ ὕλῃ συνηρεφής· ἀλλ᾽ ὑπὸ τοῦ μηδὲν τοῖς βαρβάροις ὅπλον πολέμιον ἀπηντηκέναι (γ), καὶ τὰς δυσχωρίας ἐθάρσησαν· ἔμελλον δέπου καὶ Μελαμπύγου (δ) τεύξεσθαι Φαύστου τοῦ διακόνου τῶν ἱερῶν· οὗτός ἐστιν ὁ πρῶτος ὑποστὰς ὁπλίτην γυμνὸς, καὶ παίσας ἐκ χειρὸς λίθῳ κροταφιαίαν πληγὴν, οὐ βαλὼν (ε), ἀλλ᾽ ὥσπερ πὺξ ἐνθορών· πεσόντα δὲ ἤδη περιδύσας τὰ ὅπλα, συχνοὺς ἐπ᾽ αὐτῷ κατείργασται (ζ)· καὶ ὅστις δὲ ἕτερος ἀνὴρ ἀγαθὸς ἔδοξεν ἐν τῷ τότε, Φαῦστον αἰτιατέον (η) τῶν γενομένων, καὶ οἷς ἐποίει, καὶ οἷς παρὰ τὸν καιρὸν ἐφθέγγετο. ἐγὼ δὲ καὶ ἅπαντας τοὺς παραγενομένους (θ) τῷ ἔργῳ, ἥδιστα ἂν στεφανώσαιμι καὶ ἀνακηρύξαιμι· πρῶτοι γὰρ ἥψαντο καλῶν ἔργων, δεῖξαι τοῖς καταπεπληγμένοις, ὅτι μὴ Κορύβαντές εἰσι (ι), μηδὲ τῶν παρὰ τὴν Ῥέαν (κ) δαιμόνων, ἀλλ᾽ ἄνθρωποι καὶ τρωτοὶ, καὶ θνητοὶ καθάπερ ἡμεῖς. εἰ δὲ καὶ ἡμεῖς (λ) ἄνδρες γενοίμεθα, ἐν τοῖς τοιούτοις, οὐδὲ τὰ δευτερεῖα

ρεῖα

(α) Γρ: αὐξουμιτῶν· ὧν ἡ πόλις Αὐξούμη κατὰ τὸν Ἀραβικὸν κόλπον· ὅρα Γεωγρ: Μέλτιον σελ: 603. (β) Σώζεσθαι ἀλλὰ μὴ πολεμεῖν.

(γ) Ἀντὶ τοῦ, διὰ ὅ,τι οὐ δὲν ὅπλον πολέμιον (ἡμέτερον δηλ:) ἀπήντησε τοῖς βαρβάροις, διὰ τοῦτο ἐθάρσησαν εἴτ᾽ οὖν ἐτόλμησαν χωρεῖν καὶ εἰς τὰς δυσχωρίας (κακοτοπίας.) (δ) Ἄλλου Ἡρακλέους· ὅρα περὶ τούτου Σουΐδαν ἐν τῷ, Μελάμπυγος. (ε) Οὐ ῥίψας ἐκ τῆς χειρός. (ζ) Ἐφόνευσε.

(η) Αἴτιον λεκτέον. (θ) Τὸν δὲ διάκονον Φαῦστον πολιτικῶς μὲν, ναί· ἱερατικῶς δὲ οὐκ ἂν στεφανώσαις, ὡς κοσμικὰ ἐργολαβήσαντα πράγματα, καὶ πολιτικὴν ἀρχὴν τῇ ἱερατικῇ ἀξίᾳ συμμίξαντα, τὸ τοῖς κανόσιν ἀπειρημένον. (ι) Υἱοὶ τῆς Ῥέας, ἄτρωτοι δηλ: καὶ ἀθάνατοι. (κ) Ἴσως περὶ τὴν Ῥέαν. (λ) Κατὰ τοὺς περὶ τὸν Φαῦστον.

ρεῖα (μ) γένοιτο ἂν ἀφιλότιμα· τυχὸν δ' ἂν καὶ πρωτεῖα συγχωρηθείημεν, εἰ μὴ λοχήσαντες ἐν φάραγγι πεντεκαίδεκα προνομεύοντες εὐτυχήσαιμεν, ἀλλὰ νομίμῳ πολέμῳ καὶ φαινομέναις παρασκευαῖς πλήθει πρὸς πλῆθος ἀγωνισαίμεθα.

Τρωΐλῳ. 123.

Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο,
Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου.

Ὁμήρῳ μὲν ἐποιήθησαν οἱ στίχοι, ὁ δὲ νοῦς αὐτῶν, οὐκ οἶδα εἰ Ἀχιλλεῖ περὶ Πατρόκλου μᾶλλον ἄξιος εἰρῆσθαι, ἢ ἐμοὶ περὶ σοῦ τῆς φιλτάτης τε καὶ εὐεργέτιδος κεφαλῆς· ὡς ἐγὼ μάρτυρα ποιοῦμαι Θεὸν, ὃν φιλοσοφία πρεσβεύει, τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω, καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαστή σου τῶν σοφῶν λόγων ἠχώ. τῇ πατρίδι δὲ ἐπιδημήσας ἀπὸ τῆς Αἰγύπτου, καὶ δυοῖν ἐνιαυτῶν ἐπιστολὰς (α) ἅμα ἀνεγνωκὼς, πλῆθος ὅσον δακρύων κατέσπεισα τῶν γραμμάτων· οὐ γὰρ οἷς (β) ἀπέλαυόν σου διὰ τῶν γεγραμμένων ἡδόμην, ἀλλ' ἠνιώμην ἀναφέρων ἀπὸ τῶν γεγραμμένων τὴν ἔμψυχόν σου συνουσίαν, οἷα φίλου τε ἅμα καὶ πατρὸς ὄντως ζῶντος στεροίμην. δεξαίμην οὖν ἂν βαρυτέρους ἀγῶνας ὑπὲρ τῆς πατρίδος ἐθελοντὴς, ἵνα μοι γένοιτο πάλιν πρόφασις ἀποδημίας (γ). ἆρά σέ ποτε ὄψομαι πάτερ ἀληθῶς γνησιώτατε; ἆρά ποτε τὴν ἱεράν σου κεφαλὴν περιπτύξομαι; ἆρα μεθέξω τῆς συνεδρίας, τῆς διὰ σὲ μακαρίας; εἰ γὰρ γένοιτό μοι τούτων τυχεῖν, ἀποδείξω μηκέτι μῦθον ὄντα τὸν ἐπὶ Αἴσονι (δ) τῷ Θετ-

τα-

(μ) Ἡμεῖς δηλ: οἱ δεύτεροι.

(α) Προπεμφθείσας μοι παρὰ σοῦ. (β) Τὸ, οἷς ἔλλειψιν ἔχει τῆς ἐπὶ προθέσεως, τὸ ποιητικὸν αἴτιον αἰτιολογούσης· ὁ δὲ νοῦς· οὐχ ἡδόμην ἐφ' οἷς ἀπέλαυόν σου διὰ τῶν γραμμάτων, ἀλλ' ἠνιώμην ἀναφέρων. ἡ δὲ μετοχὴ τὸ ποιητικὸν αἴτιον αἰτιολογεῖ καὶ αὐτὴ κατὰ τὸ, ἐφ' οἷς ἀπέλαυον. (γ) Εἰς Αἴγυπτον, ἵνα σε πάλιν ὄψωμαι. (δ) Γράφεται Ἰάσονι· ἴσως ὅμως καὶ Αἴσονι· ἦν δὲ ὁ Αἴσων πατὴρ τοῦ Ἰάσονος.

ταλῷ λόγον, ὅν φασιν αἱ ποιήσεις δὶς ἀνηβῆσαι, νέον ἐκ πρεσβυτέρε γενόμενον.

Τῇ Φιλοσόφῳ. 124.

Εἰ δὲ θανόντων περ (α) καταλήθοντ' εἰν ἀΐδαο,
Αὐτὰρ ἐγὼ κᾀκεῖθι τ φίλης Ὑπατίας μεμνήσομαι· ἔγωγέ τοι τοῖς πάθεσι τ πατρίδος περιεχόμενος, καὶ δυχεραίνων αὐτὴν ἐφ' οἷς ὁρῶ καθημέραν ὅπλα πολέμια, καὶ ἀποσφαττομένες ἀνθρώπες ὥσπερ ἱερεῖα, καὶ τὸν ἀέρα διεφθαρμένον ἕλκων ἀπὸ τ σήψεως τῶν σωμάτων, καὶ αὐτὸς ἕτερα τοιαῦτα παθεῖν προσδοκῶν (β)· τίς γὰρ εὔελπις, ἐν ᾧ (γ) καὶ τὸ περιέχον (δ) ἐπὶ κατηφέςατον, κατειλημμένον τῇ σκιᾷ τῶν σαρκοφάγων ὀρνέων; ἀλλὰ καὶ ἐπὶ τέτοις φιλοχωρῶν· τί γὰρ καὶ πάθω Λίβυς ὢν, καὶ ἐνταῦθα γενόμενος (ε), καὶ τῶν πάππων ἐπὶ τάφες ἐκ ἀτίμες ὁρῶν; διὰ σέ μοι δοκῶ μόνην ὑπερόψεσθαι τ πατρίδος, κᾂν λάβωμαι χολῆς, μεταναςεύσειν (ζ).

Τῷ ἀδελφῷ. 125.

Δυςυχῶμεν (α) οἷς εὐπορῦμεν πονηραῖς ἀλλήλες ἀγγελίαις ἀμείβεσθαι· ἰδὲ γὰρ καὶ Βαττίαν ἐπενείμαντο, καὶ Ἀπροσύλεως ἥψαντο, καὶ ἄλως ἐνέπρησαν, καὶ γῆν ἐδῃώσαντο, καὶ γυναῖκας ἠνδραποδίσαντο· ἀῤῥένων δὲ ἐδεμία φειδώ· καί τοι πρότερον εἰώ-

---

(α) Οἱ ἐν ᾅδε, τετ' ἔςιν οἱ θανόντες τῶν θανόντων· καὶ γὰρ κᾀκεῖθι, φησὶ, μεμνήσεται ἑταίρε. (β) Πᾶσαι αἱ μετοχαὶ παρεκτὸς, ὧν τὸ πάθω ἰδιοποιεῖται, εἰς τὸ διὰ σέ μοι δοκῶ ἀποδίδονται, καὶ ἐναντιωματικῆς ἔχονται σημασίας. (γ) Ὁπότε. τὸ δὲ, τίς γὰρ εὔελπις μέχρι τ ὀρνέων, διὰ μέσε. (δ) Συνάμα τῷ ἀέρι καὶ τὸν τόπον ἐννοεῖ, ὧν ἑκάτερα ἐσκιάζετο ὑπὸ τῶν σαρκοφάγων ὀρνέων. (ε) Εἶτ' ἐν γεννηθείς. (ζ) Μετοικήσειν.

(α) Ἐν αἷς εὐπορῦμεν ἑκάτεροι πρὸς ἀλλήλες ἀγγελίαις, ἐν αὐταῖς

εἰώθεισαν ζωγρεῖν τὰ παιδάρια· ἀλλὰ νῦν οἶμαι τὸν ἀριθμὸν ἐλάττους ἴσασιν ὄντες, ἢ ὥστε νέμειν τῇ λείᾳ (β) φύλακας συχνοὺς (γ), καὶ ἀρκεῖν τοῖς λειπομένοις (δ) ὡς ἐπὶ πόλεμον εἴ τις (ε) ἐπεξίοι. ἡμῶν δὲ οὐδεὶς ἀγανακτεῖ, ἀλλ᾽ οἴκοι καθήμεθα, τὴν συκίνην (ζ) ἐπικουρίαν, τοὺς στρατιώτας προσδεχόμενοι, καὶ τὸ σιτηρέσιον, καὶ τὰς ἐν εἰρήνῃ πλεονεξίας διὰ στόματος ἔχομεν (η), ὥσπερ τούτοις (θ) δικάζεσθαι δέον, ἀλλ᾽ οὐκ ἐκείνοις (ι) ἀμύνεσθαι. οὐ παυσόμεθα φλυαροῦντες; οὐ σωφρονησόμεν ποτε, καὶ γεωργοὺς βωλοκόπους ἀθροίσαντες, ὁμόσε χωρήσομεν τοῖς ἐχθροῖς, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ χώρας, εἰ δὲ βούλει, καὶ ὑπὲρ αὐτῶν τῶν στρατιωτῶν; καλὸν γὰρ ἐν εἰρήνῃ λαλεῖσθαι ταῦτα, ὡς ἡμεῖς αὐτοὺς τρέφομέν τε καὶ σώζομεν. ἐγὼ μὲν οὖν μονονοὺκ ἔποχος ὢν ἵππῳ, τὴν ἐπιστολὴν ὑπηγόρευσα· καὶ γὰρ λόχους καὶ λοχαγοὺς ἐκ τῶν παρόντων ἐποίησα· ἀθροίζεται δέ μοι καὶ ἐν Ἀσυσάμαντι πλῆθος συχνόν· καὶ γὰρ Σοέσταις (κ) ἀπαντᾷν ἐπὶ τὴν Κλεοπάτραν ἐπήγγειλα· ἐλπί-

---

ταύταις, τὸ κοινότατον, δυστυχοῦμεν, καθ᾽ ὃ πονηραί εἰσι. (β) Τῶν ἀῤῥένων τῶν ἐζωγρημένων, καὶ τῶν λοιπῶν χρημάτων. (γ) Ἱκανούς. (δ) Τῶν ἡμετέρων τοῖς μήπω ζωγρηθεῖσιν. (ε) Τῶν λειπομένων. (ζ) Τοὺς ἀνάνδρους καὶ ἀργοὺς στρατιώτας. (η) Λέγοντες μαχέσθωσαν οἱ λαμβάνοντες τὸ σιτηρέσιον τὸ βασιλικὸν, δηλ: οἱ στρατιῶται· καὶ οἱ ἔχοντες ἐν εἰρήνῃ πλέον ἡμῶν, δηλ: οἱ ἐν ἀξιώμασι. (θ) Κατ᾽ ἔλλειψιν τῆς ἐπὶ, ἢ ἀντὶ τοῦ μετὰ τούτων. (ι) Γρ: ἐκείνους, τοὺς πολεμίους δηλ: τιμωρεῖν. (κ) Παρὰ τὴν Σέστατον, καινῶς Σοὲς, πόλιν τὸ πάλαι ἐλευθέραν ἐν τῇ Γερμανίᾳ, ὠνομάσθησαν οἱ πολῖται Σοέσται, ὅρα Μελέτ: γεωγρ: σελ: 178. οἱ δὲ Γερμανοὶ τὸ πάλαι ἠναντιοῦντο τῇ Ῥωμαϊκῇ ἀρχῇ, καὶ ὑποταχθέντες, πάλιν ἀπεστάτησαν. ὁ αὐτὸς σελ. 156. ὅθεν Συνέσιος ἐπήγγειλε τῷ ἐν Ἀσυσάμαντι ἀθροισθέντι πλήθει, ἵνα ἐπὶ τὴν Κλεοπάτραν ἀπαντήσῃ τοῖς πολεμίοις Σοέσταις. Ἐμοὶ δέ γε δοκοῦσιν οἱ Σοέσται οὔτοι οὐ πολέμιοι, ἀλλὰ φίλοι καὶ τοῦ ἀθροιζομένου τῷ Συνεσίῳ πλήθους τυγχάνειν, Λίβυες ὄντες οὐ Γερμανοί· πόθεν γὰρ Γερμανοὶ ἐν Λιβύῃ; οἷς Σοέσταις ἐπήγγειλεν ὁ Συνέσιος ἀπαντῆσαι εἴτ᾽ οὖν συμμῖξαι, ἑνωθῆναι αὐτῷ ἐπὶ Κλεοπάτραν πόλιν Λιβύης.

ἐλπίζω δὲ ἐπειδὰν πρὸ ὁδοῦ γενώμεθα (λ), καὶ περιαγγελθῇ νεανική τις συστᾶσα περὶ ἐμὲ δύναμις, πολὺ πλείους ἔσεσθαι τοὺς ἀκλήτους· ἥξουσι γὰρ ἁπανταχόθεν, οἱ βέλτιστοι μὲν, ἐφ' ᾧ μεταχεῖν ἔργου καλοῦ (μ)· οἱ πονηρότατοι δὲ, καὶ ἐπὶ διαρπαγῇ λαφύρων.

Ἀσκληπιοδότῳ. 126.

Οἴμοι· τί δὲ οἴμοι (α); θνητά τοι πεπόνθαμεν· ὁ τρίτος γε καὶ λοιπὸς οἴχεται τῶν υἱέων· ἀλλὰ τόγε δόγμα τὸ περὶ τοῦ μηδὲν εἶναι τῶν οὐκ ἐφ' ἡμῖν ἀγαθὸν, ἢ κακὸν, ἔτι παρ' ἐμοὶ σώζεται· μᾶλλον δὲ πάλαι μὲν ἦν μάθημα, νυνὶ δὲ γέγονε δόγμα ψυχῆς ἐγγεγυμνασμένης ταῖς περιστάσεσιν. ἔδει δὲ ἄρα χαλεπωτέραν μοι γενέσθαι τοῦ πάθους τὴν προσβολήν· καὶ διὰ τοῦτο ὁ δαίμων, ᾧ μέλλει (β) βλάπτειν τἀμὰ, προῳκονομήσατο μηδὲ σὲ τὴν φίλην μοι παρεῖναι κεφαλήν· ἀλλ' ἔλθοις ποτὲ, θαυμάσιε καὶ τριπόθητε, καὶ φίλων ἀδολώτατε. μάρτυς εἰμὶ (γ) τῷ θαυμαστῷ Μενέλεῳ τῆς περὶ σὲ διαθέσεως· διὰ τοῦτο πολλάκις ἡδέως συνδιημέρευσα, ὅτι σε δι' εὐφήμου μνήμης ἐτίθετο (δ), καὶ πολλὰ τῇ ψυχῇ προσκεκυφὼς, καὶ τοῖς ἐπιτρόποις οὐδὲ (ε) ἀπάγουσιν αὐτὸν εὐθὺ Τευχείρων, περὶ τὸν μέγαν Ἀσκλη-

(λ) Καθ' ὁδὸν προκόψωμεν, προχωρήσωμεν. (μ) Εὐκλεοῦς καὶ νικηφόρου πολέμου.

(α) Ἐρωτᾷς διὰ τί θρηνῶ; ἢ, ὃ καὶ μᾶλλον τοῖς ἑξῆς ἀκόλουθον, ἵνα τί θρηνῶ, ὡς ξένον τι πεπονθώς; θνητὸς ὢν, καὶ θνητὸν γεννήσας, θνητά τοι καὶ πέπονθα, ἅ τινα τῶν οὐκ ἐφ' ἡμῖν ὄντα, οὔτε ἀγαθά εἰσιν, οὔτε κακὰ, ὡς τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν ἐφ' ἡμῖν ὄντος, εἴτ' οὖν τῆς ἡμῶν προαιρέσεως· τὰ δ' ἀπροαίρετα οὐδέτερα ὄντα καθ' ἑαυτὰ, ἐφ' ἡμῖν ἐστιν ἢ ἀγαθὰ ἢ κακὰ ἀποβῆναι. (β) Ὃς φροντίζει, βούλεται, πρόθυμός ἐστι. (γ) Ἐπαινῶ, θαυμάζω τὸν Μαρτύρ: ἕνεκα τῆς αὐτοῦ περὶ σὲ διαθέσεως. (δ) Γράφεται καὶ διετίθετο, ἀλλὰ βελτίων ἡ πρώτη γραφή. (ε) Τὸ οὐδὲ, ἐν ἄλλοις ὀβελίζεται· ἔστι δὲ τὸ χωρίον τοῦτο ἀσαφὲς καὶ διὰ τὴν διάφορον γραφὴν

Ἀσκληπιόδοτον εὐγνώμων ἦν, καὶ εὐχαριστῶν, ὡς ἐπὶ μεγίστοις εὐεργέτῃ διατετέλεκεν. ἵν' ἔχωμεν ὕδωρ ψυχρὸν, ὑδρίαν ἢ πίθον ἐκ μαρμάρου ζητῶ, ὅσῳ μείζων, τοσούτῳ κάλλιον· κείσεται δὲ ἐν Ἀσκληπιῷ τῷ ποταμῷ· παρ' αὐτῷ γὰρ κτίζω τὸ ἀσκητήριον, καὶ ἁγιὰ σκεύη προευτρεπίζομαι· σὺν Θεῷ δὲ εἴλω ἐπιβαλλόμενος (ζ).

Τῷ Ἀδελφῷ. 127.

Ἀσπίδα (α), φρῦνον (β), ὄφιν (γ), καὶ Λαδικέας περίφευγε,
Καὶ κύνα λυσσητὴν, καὶ πάλι Λαδικέας·

ἀλλὰ (δ) μετὰ τὸν ἡμερώτατον καὶ φιλοσοφώτατον Πεντάδιον, τὰς πινακίδας, ἃς ἡ πολιτεία σύνθημα ποιεῖται τῆς Αἰγυπτίας ἀρχῆς, Εὐθάλιος ὁ Λαδικεὺς ἔχει λαβών (ε). οἶδα τὸν νεανίσκον, ὡς εἰκάζειν ἔξεστιν, ὑπὸ σοῦ αὐτοῦ ἡμῖν χρόνους ἐπὶ στρατοπέδου διαγαγόντα (ζ)· καὶ γὰρ οὐκ εἴα λανθάνειν αὐτὸν οὔτε ὁ τρόπος, οὔτε τὸ ἐπώνυμον· Βαλλαντάτινα ἤκουες, οὐ πατρό-

---

(οἱ μὲν γὰρ, προσκεκυφὼς γράφουσιν· οἱ δὲ, προσκεκοφὼς, καὶ οἱ μὲν, τοῖς τρόποις, οἱ δὲ, ἐπιτρόποις) καὶ ὅπως ἦν εἴτε δηλ: προσκεκυφὼς, εἴτε προσκεκοφὼς τῇ τε ἰδίᾳ ψυχῇ, καὶ τοῖς ἀπάγουσιν αὐτὸν ἐπιτρόποις· καὶ τίνων ἐπίτροποι, οἱ ἀπάγοντες, καὶ τίνος ἕνεκα αὐτὸν ἀπῆγον; (ζ) Χρώμενος.

(α) Ἀσπὶς εἶδος ὄφεως δρακοντῶδες. (β) Φρῦνος εἶδος βατράχου θανατηφόρου, καὶ ἰοβόλου. (γ) Πᾶν εἶδος ὄφεως· ἔστι δὲ ὁ παρὼν καὶ ὁ μετὰ τοῦτον στίχος, ἐπίγραμμα κακότητα καὶ μοχθηρίαν τῶν Λαδικέων κατηγορεῦν.
(δ) Ὁ ἀλλὰ ἀντὶ τοῦ γάρ. Ἐμοὶ δὲ δοκεῖ ἀντὶ τοῦ ὅμως, μᾶλλον τοῦτο. (ε) Οὐχ ὡς ἤδη εἰληφὼς, ἀλλ' ὡς ἐκ τοῦ τέλους τῆς ἐπιστολῆς δηλοῦται λειψόμενος· οὔπω γὰρ ἦν τὸν Πεντάδιον παραλύσας τῆς ἀρχῆς, ὅτε ἐγράφετο ἡ ἐπιστολή· αἱ δὲ πινακίδες αὗται σανίδες ἦσαν, ὡς ἔοικε, τοὔνομα τοῦ κατὰ καιροὺς τῆς Αἰγύπτου ἄρχοντος ἐπιγραφόμεναι, εἴτ' οὖν φέρουσαι· ἅστινας ἄνωθεν τῶν πυλῶν τῶν ἀρχείων, ἢ καὶ ἀλλαχοῦ τῆς πόλεως εἰς σύνθημα, εἴτ' οὖν σημεῖον ἀνετίθεσαν.
(ζ) Κατὰ τοὺς αὐτοὺς χρόνους, καθ' οὓς καὶ ἡμεῖς ἐν τῷ στρατοπέδῳ διατρί-

πρόσθεν τῆς σεμνῆς (η) ταύτης προσηγορίας κληρονομήσαντα, ἀλλ᾽ αὐτὸν περιποιησάμενον· ἐπειδὴ γὰρ, οἶμαι, Λυδίας ἄρχων ἀποδειχθεὶς, ὑπὸ τοῦ Ῥουφίνου καιροὺς, ἦγε καὶ ἔφερε (θ) τὰ Λυδῶν, νεμεσᾷ (ι) Ῥουφῖνος, καὶ μέτεισι (κ) ζημίᾳ χρυσοῦ λιτρῶν πεντεκαίδεκα· τάττει δὲ στρατιώτας ἐκ τῶν ὑπηρετῶν, ὡς ᾤετο (λ), τοὺς ἀνδρειοτάτους καὶ εὐνουστάτους, ἐφ᾽ ᾧ σὺν βίᾳ πράξαντας τὸ χρυσίον, ἀνακομίσαι πιστῶς εἰς τὴν τράπεζαν (μ) τὴν αὐτοῦ. τί οὖν πρὸς ταῦτα ὁ Σίσυφος (ν); ἀλλὰ μὴ (ξ) λίαν ἀπειρόκαλος ὦ, βεβοημένα (ο) ὑποδιηγούμενος· πέπυσαι (π) πάντως τὴν συνωρίδα τῶν βαλαντίων, ἃ τῶν ἵππων Εὐμήλου πολὺ μᾶλλον ἀλλήλοις ἐοικότα (ρ) κατασκευάσας, τῷ μὲν, ἐνέθηκεν ὀβολοὺς ἐκ χαλκοῦ, τῷ δὲ, στατῆρας χρυσίου· καὶ τοῦτο μὲν δείξας, ἐκεῖνο δὲ κρύψας· ὡς ἀπηρίθμησαν, ὡς ἐζυγοστάτησαν, ὡς κατεσημήναντο (σ) τῇ δημοσίᾳ σφραγῖδι τὸ χρυσίον, λανθάνει θάτερον ἀντιθεὶς, καὶ πέμψας ἀντὶ τῶν στατήρων τοὺς ὀβολούς· οἱ δὲ (τ), ὡμολογήκεσαν ἐν δημοσίοις γράμμασιν ἔχειν καὶ διακομιεῖν τὸ χρυσίον.

Κἀκ

ψαντα. (η) Εἰρωνικῶς, ἀντὶ ἀχρείας, κακῆς. (θ) Δίκην πολεμίων ἐλεηλάτει. (ι) Ὀργίζεται· ἔστι δὲ ἀντιχρονισμὸς καὶ τοῦτο, καὶ τὸ μέτεισιν, ἀντὶ ἀορίστων. (κ) Κολάζει. (λ) οὐ γὰρ ὡς ἐνομίζοντο, οὕτω καὶ ἐδείχθησαν, ἀπατηθέντες ὑπὸ Βάλλαντος. (μ) Τράπεζαν ἔλεγον οἱ πάλαι, ὅπερ ἡμεῖς νῦν μπάγγον καὶ κάσσαν καὶ τζέκαν λέγομεν. (ν) Εἴτ᾽ οὖν ὁ κατὰ τὸν Σίσυφον δριμὺς, εἴτ᾽ οὖν πανοῦργος καὶ δόλιος Εὐθάλιος. (ξ) δέδοικα μὴ ὦ. (ο) Κεκηρυγμένα, πασίδηλά σοι διηγούμενος. (π) Μανθάνεις, ἀκούεις. (ρ) Ὅμοια ἀλλήλοις μᾶλλον ἢ ἦσαν ὅμοιοι ἀλλήλοις οἱ ἵπποι Εὐμήλου. (σ) Κατεσημαίνοντο γραπτέον· καθ᾽ ὅ, τι μετὰ τὸ κατασημήνασθαι οὐχ οἷόν τε ἦν λαθεῖν, ἀλλ᾽ ἐν τῷ σημαίνεσθαι ἔλαθε τὸ ἔχον τοὺς ὀβολοὺς, ἀντὶ τοῦ τοὺς στατῆρας ἔχοντος ἐνθεὶς, ὃ καὶ κατεσημάνθη. (τ) Οἱ κομίζοντες αὐτὸ στρατιῶται, δεικνύντες, καὶ τὰ δημόσια γράμματα, καὶ τὴν δημοσίαν σφραγῖδα. Ἐμοὶ δὲ δοκεῖ βέλτιον οὕτως· οἱ δὲ κομιούμενοι τὸ χρυσίον ἐλθόντες, ὡμολογήκεσαν ἐν δημοσίοις γράμμασιν, εἴτ᾽ οὖν ἔγγραφον ἀπόδειξιν τῷ κοινῷ ἐδεδώκεισαν ἔχειν εἴτ᾽ οὖν λαβεῖν, καὶ διακομίζειν τὸ χρυσίον.

Κἀκ τούτου (υ) Δάφνις (φ) παρὰ ποιμέσι πρῶτος ἐγένετο·

τοῦτο (χ) τὸν Εὐθάλιον ἐπὶ μέγα τύχης ἐξῆρεν· οὐδενὶ γὰρ ἐπέτρεψεν ὁ γέλως ὑπὲρ τῆς πολιτείας (ψ) ἀγανακτῆσαι· ἀλλ᾽ ὡς ἄνδρα παρὰ οὐδὲν πώποτε θαυματοποιὸν ἰδεῖν ἐπεθύμησαν· καὶ ἧκε μετάπεμπτος ὥσπερ εὐεργέτης Ῥωμαίων, ὀχήματι δημοσίῳ πομπεύων διὰ τῆς πόλεως. κἀγὼ τἀνθρώπιον οἶδα τῶν συνεδρευόντων ἐν τῷ προτεμενίσματι τοῦ βουλευτηρίου λαλίστερον. οὗτος ὅσον οὔπω (ω) παραλύσει τῆς ἀρχῆς τὸν ἑταῖρον Πεντάδιον.

Πρὸς ἐπίσκοπον ἐξωσθέντα τῆς ἐπισκοπῆς μὴ βουληθέντα συνθέσθαι τῷ Ἀρείου δόγματι. 128.

Ἀπέλαβες ὅπερ ἦς, οὐκ ἀπέβαλες· οὐ γὰρ ὅταν τὶς τοῦ τῆς ἀσεβείας χωρισθῇ καταλόγου, τότε καὶ τῶν τῆς εὐσεβείας ἀπεστέρηται θρόνων· Αἰγύπτου δὲ (α) περιπτύσσου τὴν ἀλλοτρίωσιν, καὶ νόμιζε καὶ πρὸς σὲ τὸν προφήτην (β) μεγαλοφώνως κεκραγέναι· τί σοὶ καὶ τῇ γῇ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γεῶν (γ); τὸ γὰρ ἔθνος, θεομάχον ἀρχαῖον (δ), καὶ πατράσιν ἁγίοις πολέμιον.

Πυ-

(υ) Τοῦ μηχανήματος. (φ) Ὁ Εὐθάλιος δηλ: ἐγένετο πλούσιος, καὶ ἑπομένως πρῶτος παρ᾽ ἡμῖν, ὡς ἐγένετο πρῶτος παρὰ ποιμέσιν ὁ ἐν τοῖς εἰδηλλίοις τοῦ Θεοκρίτου φερόμενος Δάφνις. (χ) Τὸ μηχάνημα. (ψ) Ἀνθ᾽ ὧν τὴν τῶν Ῥωμαίων πολιτείαν, οἷς ἀφείλετο χρυσίου στατῆρσιν, ἐζημίωσεν. (ω) Οὐκοῦν οὔπω εἰλήφει τὰς πινακίδας.

(α) Αἴγυπτον ἐννοεῖ τὸν τῶν αἱρετικῶν, ὡς ἀνωτέρω, σκοτεινὸν κατάλογον, καθ᾽ ὅ,τι Αἴγυπτος σκοτομήνη ἑρμηνεύεται. (β) Ἱερεμ: 2, 18. (γ) Γηῶν οὐ Γεῶν γράφεται· Γηῶν δὲ τὸν Νεῖλον καλεῖ κατὰ Θεοδώρητον· ἄλλη δὲ ἔκδοσις ἔχει ἀντὶ τοῦ Γηῶν Σειώρ· τί οὖν σοὶ, φησὶ, κοινὸν, καὶ τῷ καταλόγῳ τῶν Ἀρειανῶν, ὥστε μεταχεῖν τῆς αὐτῶν θολερᾶς ἀνατροπῆς; (δ) Τὸν αἱρεσιάρχην Χριστομάχον καὶ πνευματομάχον Ἄρειον λέγει, τὸν τῇ πρώτῃ συνόδῳ καὶ ταῖς λοιπαῖς πολέμιον.

Πυλαιμένει. 129.

Πλάτωνι Σωκράτης (*) πεποίηται πρόσιων μὲν ὀψέ ποτε πρὸς τὰ παιδικὰ (α), ἀξιῶν δὲ αὐτὰ (β) μὴ θαυμάζειν, εἰ ὥσπερ, φησὶ, μόλις ἠρξάμην, οὕτω καὶ μόλις παυσαίμην· ἐγὼ δέ μοι δοκῶ ταὐτὸ πεπονθέναι πάθος πρὸς σὲ, καὶ τὴν αὐτὴν δίκαιος εἶναι παραιτεῖσθαι συγγνώμην, ἐνιαυτὸν ὅλον, οὐκ ἄξιον οὐδὲ ἀληθὲς εἰπεῖν ἐπισχὼν (γ), ἀλλὰ μάτην στείλας τὰς ἐπιστολὰς, τῷ πάλιν αὐτὰς εἰς τὰς ἐμὰς χεῖρας ἀνακομισθῆναι (δ). νῦν οὖν ἀθρόας ἐκπέμπω (ε), ἃς οὐ μόνον ὥσπερ φόρων ἐλλείμματα ἀποδιδοὺς μακρηγορῶ, ἀλλὰ καὶ προσενεγκεῖν σοι (ζ) βούλομαι· καίτοι νὴ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, ἐπ' αὐτῷ τούτῳ κατέβην ἐπὶ θάλατταν, καὶ τοῖς Φυκουντίων κωπεῦσι (η) διείλεγμαι,

---

(*) Σωκράτης οὐ ταχὺ καὶ ῥαδίως, (ὡς παρὰ Πλάτωνι ἐν τῷ, Λυσίας) ἀλλὰ μετὰ χρόνον, ὡς εἰκὸς, καὶ πεῖραν πολλὴν τὸν φίλον κτώμενος, ἠξίου αὐτὸν μὴ ξενίζεσθαι, εἰ δυσαποσπάστως αὐτοῦ λοιπὸν ἔχει· ὡς γὰρ καὶ μόλις αὐτὸν ἐκτήσατο, οὕτω καὶ μόλις τῆς ὁμιλίας αὐτοῦ ἀπηλλάττετο. ταὐτὸ δὴ τοῦτό φησι Συνέσιος πεπονθέναι πρὸς Πυλαιμένην. ἀλλ' ὁ μὲν Σωκράτης ᾐτεῖτο συγγνώμην τοὺς φίλους, ἀνθ' ὧν δυσαποσπάστως αὐτῶν εἶχε (τὸ γὰρ ἀξιοῦν αὐτὸν τοὺς φίλους μὴ ξενίζεσθαι, εἰ μόλις αὐτῶν παύσῃ, συγνώμην αἰτοῦντός ἐστιν) οὐδὲ Συνέσιος ἔοικε μᾶλλον ὑπὲρ τοῦ δόξαι ἐπισχεῖν χρόνον συχνὸν τὰς ἐπιστολὰς ζητεῖν τὴν συγγνώμην.

(α) Τοὺς φίλους· ἐπὶ σεμνοῦ γὰρ ἔρωτος χρῆται πανταχοῦ τοῖς παιδικοῖς Συνέσιος, εἰ καὶ Σωκράτης καταχρῆται τοῖς παιδικοῖς, ψυχῆς οὐχ ὥρας τῶν παίδων ἐρᾶν προσποιούμενος. (β) Τὰ παιδικὰ τοὺς φίλους δηλαδή. (γ) Ἀντὶ τοῦ, οὐκ ἐπισχὼν (οὔτε γὰρ ἄξιον οὔτ' ἀληθές ἐστιν εἰπεῖν ὅτι ἐπέσχον) ἀλλὰ μάτην ἐπιστείλας. (δ) Μάτην δὲ δι' ὅ,τι ἀνεκομίσθησαν πάλιν εἰς τὰς ἐμὰς χεῖρας ἀπ' Ἀλεξανδρείας. (ε) Εἰς Θρᾴκην δηλαδὴ, τοῦτ' ἔστιν εἰς Κωνσταντινούπολιν, ἔνθα διέτριβε Πυλαιμένης.

(ζ) Τὰ δέκα τυχὸν οὐ χρυσοῦ νομίσματα· καίτοι κἂν τοῖς προτέροις γράμμασι προστεθέμην, ἅτινα ἐν Ἀλεξανδρείᾳ ἐξετέθη. Ἐμοὶ δοκεῖ διεφθαρμένα, καὶ κολοβὰ τὰ τοῦ παρόντος χωρίου, καὶ ἑπομένως σκοτεινά· ἄλλοι προστιθέασι δῶρα πρὸ τοῦ προσενεγκεῖν, ἀλλὰ καὶ οὕτω σκοτεινόν. (η) Τοῖς ὡς σὲ εἰς Θρᾴκην ἀποπλέουσιν.

λεγμαι, κτησάμενος ἱππικὴν (θ), ἵνα ςείλω πρὸς ὑμᾶς τοῦτο μὲν, γράμμα, τοῦτο δὲ --- ἀλλ' οὐκ ἄξιον ποιεῖν κατάλογον τῶν πεμφθέντων μὲν, ὥςε Πυλαιμένη λαβεῖν, ἐν Ἀλεξανδρείᾳ δὲ ἐκτεθέντων διὰ τὸν δυσυχέςατον ἀπόπλουν. καὶ σοῦ μὲν ἕνεκα (ι)· καίτοι τῶν ἐκεῖ φίλων ὁ φιλικώτατός μοι Πυλαιμένης ἐςίν· ἀλλὰ νὴ τὴν τιμίαν σου διάθεσιν, ῥᾷον ἂν ἤνεγκα, ἢ δι' ἑτέρους συχνοὺς, καὶ μάλιςα διὰ τὸν θαυμάσιον Πρόκλον, καὶ Τρύφωνα, περὶ ὧν καὶ μόνων, ὡς προσαγορευόντων με γέγραφας (κ). ἀπέςειλα οὖν τῇ τιμίᾳ σου διαθέσει, χρυσοῦ νομίσματα δέκα· τῷ δὲ ἑταίρῳ Πρόκλῳ, κατὰ τὸν θεσπέσιον Ἡσίοδον (λ), τριτημόριον πλείω τῶν παρ' αὐτοῦ· ἔχει γὰρ οὕτως. ἀποδημῶν ἐδεξάμην εἰς τὸν ἀπόπλουν δεήσαν παρ' αὐτοῦ χρυσίνους ἑξήκοντα· τούτους γεγραφήκει μὲν ἑβδομήκοντα, ἀπέςειλα δὲ ὀγδοήκοντα· ἐγένοντο δ' ἂν ἔτι πολλῷ πλείους (μ), εἰ τὰ πρῶτα πρὸς ὑμᾶς ἐκεκόμιςο γράμματα, καὶ ἡ ναῦς ἐπ' ἐκείνοις τοῖς τότε φορτίοις· νῦν δὲ ἐγὼ μὲν (ν), τύχῃ τινὶ χρησάμενος (ξ), ἐπὶ τὴν Ἀλεξάνδρειαν ἀπεδήμησα, καὶ τοῖς ὑμετέροις λιμέσι προσορμιεῖν ᾤμην τὸ σκάφος (ο)· τὸ δ' ἐλάνθα-

---

(θ) Ἐν δευτέρῳ θέμενος τὸ ἀνὰ χεῖρας μοι σπούδασμα, τὴν ἱππικὴν δηλ:
(ι) Τὸ ἑξῆς, ῥᾷον ἂν ἤνεγκα, τοῦτ' ἔςιν ἀλυπώτερον ἤνεγκα εἰ σὺ μόνος ἐςέρησαι τῶν ἀπεςαλμένων, καὶ μὴ καὶ ἄλλοι· εἰ γὰρ καὶ τῶν φίλων ὁ ἐμὸς φιλικώτατος εἶ, καὶ δέον σὲ μᾶλλον τῶν ἄλλων θεραπεῦσαι τοῖς δώροις, ἀλλ' οἶδά σε οὐχ ὡς οἱ ἄλλοι ἐν δώροις ὁρίζοντα τὴν φιλίαν. (κ) Περὶ ὧν καὶ μόνων γέγραφας ὅτι με προσηγόρευον· παραβολικὸν γὰρ καὶ ὧδε τὸ ὡς, καὶ καινοτρόπως ἠνέχθη πρὸς μετοχὴν, δέον πρὸς ὁριςικὴν, πρὸς ἣν πέφυκε φέρεσθαι. (λ) Ἔργ: καὶ ἡμ:

Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι
Αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον αἴ κε δύνηαι,
Ὡς ἂν χρηΐζων καὶ ἐς ὕςερον ἄρκιον εὕρῃς.

(μ) Ἐπιλογιζομένης καὶ τῆς τιμῆς, ὧν ἡ ναῦς τότε ἦγε φορτίων. (ν) Ἀντὶ οὖ, ἀλλ' ἐγὼ μὲν τότε κτ': τὰ γὰρ πρότερα διηγεῖται. (ξ) Διά τινα συμβᾶσαν χρείαν. (ο) Οὐχ ὡς αὐτὸς εἰς Ἀλεξάνδρειαν ἀπεδήμησεν, ἀλ-

θανεν ἐξώσαις ἀνέμοις ἀπὸ Κρήτης μόλις εἰς τὴν Αἰγυπτίαν ἀπωσθὲν θάλατταν· ἢ τί ἐκώλυεν ὑμᾶς (π), ὥσπερ τὰς ἀλεκτορίδας, οὕτω τὰς χερσαίας τρέφειν στρουθούς; ἀποδοθῆναι τοῖς ἐμοῖς τὸ γραμμάτιον παρὰ τοῦ θαυμασιωτάτου πατρὸς Πρόκλου δίκαιον, ὑπὸ ὀγδοήκοντα χρυσίνους κομισαμένου· καὶ τὸν ἑταῖρον Τρωΐλον παρασκεύασον ἀποστεῖλαί μοι τάχιστα τὰ βιβλία (ρ), ἅπερ ἀποδέδωκας αὐτῷ, τὸ Νικοστράτειον δὴ λέγω, καὶ τὸ τοῦ Ἀφροδισιέως Ἀλεξάνδρου. εἰ διὰ τὴν ἱεράν σου διάθεσιν φίλοι ἡμῖν οἱ ἄρξοντες ἡμῶν ἐπιδημοῖεν, πρὸς φιλοσοφίαν ἡμῖν συντελέσεις τὸ μέρος τὸ σόν, ὅσον Πλάτων ἡγεῖται παρὰ τῆς ἀτιμίας (σ) κωλύεσθαι.

Σιμπλικίῳ. 130.

Ἐχαρίσω Κερεαλίῳ, δι᾽ αὐτοῦ προσειπὼν ἡμᾶς, τὸ λαθεῖν ἡμέρας πέντε (α) πονηρὸν ὄντα· ἤλπισαν γάρ τι χρηστὸν αἱ πόλεις παρ᾽ ἀνδρός, ὃν οὐκ ἀπηξίωσεν εἰδέναι Σιμπλίκιος (β)· ὁ δέ, ταχὺ μάλα ἤσχυνε, σὲ μὲν οὔ· μὴ γάρ ποτε ἐπ᾽ ἄλλῳ τὰ σὰ γένοιτο (γ)· ἑαυτὸν δὲ καὶ τὴν ἀρχήν, καὶ ἵνα μὴ διατρίβω, τὰ Ῥωμαίων πράγματα· ὤνιος ἄνθρωπος ἐλαχίστου δόξης

λ᾽ ὧν τὰς στρουθούς, καὶ ἄλλ᾽ ἄττα πρὸς Πυλαιμένην ἔπεμψεν. (π) Ἐπεὶ εἰ προσώρμισε τοῖς ὑμετέροις λιμέσι τὸ σκάφος ἐκεῖνο ἐπ᾽ ἐκείνοις τοῖς τότε φορτίοις, τί ἐκώλυεν κτ. (ρ) Ἐν ἄλλ: γράφεται· ἐπιστεῖλαί μοι ὅτι κομισάμενος τυγχάνει τὰ βιβλία, ἅπερ κτ: (σ) Τῶν ἀτιμαζόντων αὐτήν.

(α) Ἐπιδημήσας γὰρ ἐνταῦθα, ἡμέρας πέντε ἔλαθεν ἡμᾶς πονηρὸς ὤν· μετὰ δὲ τὰς πέντε ἐφώρη ὅς τις ἦν, ἀνατρέψας τὰ πάντα· ἐχαρίσω τοίνυν αὐτῷ, ἀνθ᾽ ὧν δι᾽ αὐτοῦ προσεῖπες ἡμᾶς, τὸ δόξαι τε καὶ νομισθῆναι αὐτὸν πρὸς βραχὺ ἀγαθόν, πονηρὸν ὄντα. (β) Ὁ γὰρ σοὶ τῷ Σιμπλικίῳ γνώριμός τε καὶ φίλος, ἑπομένως καὶ χρηστὰς ἐλπίδας παρεῖχε ταῖς πόλεσιν, ὡς σοῦ οὐδένας ἀλλ᾽ ἢ οὓς οἶδας χρηστοὺς εἰς ἀρχὴν προχειριζομένου. (γ) Δι᾽ ἄλλον σὲ καταισχύνεσθαι· ἢ γὰρ ἐπὶ ὧδε οὐ τὸ ἐπάνω, ἀλλ᾽ αἰτίαν δηλοῖ.

δόξης (δ), ἀμελὴς, ἀπόλεμος, ἐν εἰρήνῃ βαρὺς, ἧς πρὸς βραχύτατον (ε) ἀπολέλαυκεν· οὐ γὰρ ἐδεήθη χρόνου (ζ) πρὸς τὸ πάντα ἀνατρέψαι τε καὶ συγχέαι· ὥσπερ γὰρ ὄντος νόμου, τὰ τῶν στρατιωτῶν εἶναι τῶν στρατηγῶν, ἃ πάντες εἶχον λαβὼν, ἀντέδωκεν αὐτοῖς ἀστρατίαν, καὶ τὸ μὴ συντετάχθαι, βαδίζειν ἐπιτρέψας ᾗ τις ᾤετο θρέψεσθαι. ταῦτα τοὺς ἐπιχωρίους ποιήσας, ἐπεὶ τοὺς ξένους οὐκ ἦν ἀργυρολογεῖν (η), ἠργυρολόγησεν αὐτῆς (θ) τὰς πόλεις· ἄγων καὶ μεθιστὰς οὐχ ᾗ λυσιτελέστερον ἦν (ι), ἀλλ' ᾗ κερδαλεώτερον (κ)· βαρυνόμεναι γὰρ αὐτὴν τὴν καθέδραν αἱ πόλεις, χρυσίον εἰσέφερον. τούτων (λ) ὀξέως ᾔσθοντο Μακέται, καὶ γέγονε διαδόσιμος ἀπὸ τῶν μιξοβαρβάρων (μ) εἰς τοὺς βαρβάρους ἡ φήμη·

Ἦλθον ἔπειθ' ὅσα φύλλα, καὶ ἄνθεα γίνεται ἦρος· φεῦ τῆς νεότητος, ἣν ἀπολωλέκαμεν! φεῦ τῶν καρπῶν, οὓς μάτην ἠλπίσαμεν! ἐσπείραμεν τῷ πολεμίῳ πυρί· τοῖς πλείοσιν ἡμῶν τὸ πλουτεῖν ἐν βοσκήμασιν ἦν, ἐν ἀγελαίαις καμήλοις, ἐν ἵπποις φορβάσι· πάντα οἴχεται, πάντα ἐλήλαται. αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφορος· ἀλλὰ σύγγνωθι· τειχήρης γάρ εἰμι, καὶ πολιορκούμενος γράφω, τὰς ὥρας πολλάκις φρυκτοὺς ὁρῶν, καὶ αὐτοὺς ἀνάπτων καὶ αὐτὸς, καὶ αἴρων

τοῖς

(δ) Παρέξεσται μὲν ἀπὸ τοῦ, μάζης ὤνιος, βούλεται δὲ τὸ, οὐδὲ ἐλαχίστου δόξης ἄξιος. ἄλλοι δὲ στίζουσιν ἐν τῷ ἐλαχίστου, τὸ δὲ δόξης τῷ ἑξῆς ἀπονέμουσι. (ε) Ἐν ἡμέραις ὡς εἴρηται πέντε, ἐν αἷς ἐλάνθανε πονηρὸς ὤν. (ζ) Πολλοῦ, ἀλλὰ μετὰ τὰς πέντε ἡμέρας εὐθὺς ἀνέτρεψε τὰ πάντα, λέγει δὲ τὰ τῶν στρατιωτῶν· ὧν ἡ ἀνατροπὴ, καὶ τὴν πόλιν αὐτὴν ἐχομένως ἀνέτρεψε. (η) Οὐ γὰρ ἠδύνατο ὥσπερ τοὺς ἐπιχωρίους τῶν στρατιωτῶν, οὕτω τοι καὶ τοὺς ξένους ἀργυρολογεῖν, ὡς μὴ ὑποκειμένους. (θ) Γράφε δὲ αὐτῶν. (ι) Τῇ πόλει. (κ) Αὐτῷ. (λ) Τῆς ἀνατροπῆς, τῆς ἐρημίας τῶν στρατιωτῶν. (μ) Τῶν μεμιγμένων ἐπὶ μισθῷ τοῖς Ἕλλησι· ἀπὸ γὰρ πασῶν, ὧν ἐβάρυνον πόλεων ἐξοικιζόμενοι, ἐσήμαινον τοῖς οἰκείοις, διεγείροντες αὐτοὺς καθ' ὧν ἐξῳκίσθησαν.

τοῖς ἄλλοις σημεῖα· κυνηγέσια δὲ ἐκεῖνα τὰ πρόσω κατανοῶν, οἷς ἐπ' ἐξουσίας ἐχρώμεθα πρότερον οὐχ ἥκιστα διὰ σέ (ν)· πάντα ἔρρει, καὶ στένομεν μεμνημένοι ἥβης τ' ἐκείνης, νοῦ τ' ἐκείνου καὶ φρενῶν (ξ)· ἀλλ' ἱπποκροτεῖται μὲν ἅπαντα, καὶ τὴν χώραν ἔχουσι νῦν οἱ πολέμιοι· ἐγὼ δὲ ὑπὸ μεσοπυργίῳ τεταγμένος, ὑπνομαχῶ·

Ἐν δορὶ (ο) μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ οἶνος
Ἰσμαρικός (π)· πίνω δ' ἐν δορὶ κεκλιμένος·

οὐκ οἶδα εἰ μᾶλλον Ἀρχιλόχῳ (ρ) εἰπεῖν ταῦτα προσήκοντα ἦν. κακὸς κακῶς ἀπόλοιτο Κερεάλιος, εἰ μὴ καὶ προαπόλωλε (σ) τῆς ἀρᾶς, ὡς ἄξιός γε ἦν ἔργον γεγονέναι τοῦ πρώτου χειμῶνος (τ)· ὃς ἐπειδὰν τὴν χώραν εἷλεν ἐν ᾧ κινδύνου κατέστησεν, ἠπίστησε καθάπαξ τῇ γῇ, καὶ τὸ χρυσίον ἐνθεὶς διαρμενίοις ὁλκάσιν (υ), ἐπὶ μετεώρου σαλεύει (φ)· τὰς δὲ ἐπιστολὰς αὐτοῦ παραφέρει κελήτιον, ταῦτα ἃ δὴ καὶ ποιοῦμεν ἐπιταττούσας, εἴσω τειχῶν εἶναι, μηδένα προπηδᾶν τῆς τάφρων, μηδὲ ὁμόσε χωρεῖν ἀμάχοις (χ) ἀνθρώποις· ἢ (ψ) διαμαρτύρεται καθαρὸς αἰτίας εἶναι. φυλακὰς δὲ καθιστάναι διδάσκει τῆς νυκτὸς τέτταρας, ὡς ἐν τῷ καθεύδειν οὐσῶν τῶν ἐλπίδων (ω)· ἔοικε γὰρ εἶναι τὰ τοιαῦτα σοφός, ἅτε ἐπιτήδειος ἀτυχεῖν (α2) ἀν-

(ν) Ἦν δὲ ὡς ἔοικε Σιμπλίκιος πρότερον Κυρήνης ἡγεμονεύσας.

(ξ) Ἐπεὶ νῦν καὶ νοῦ καὶ φρενῶν, ὧν εἴχομεν τότε, ἐξέστημεν, ἔκφοροι, ὡς εἴρηται, οἷς πάσχομεν γενόμενοι. (ο) Ἐπὶ δορὸς, ἐν χειρὶ τὸ δόρυ κατέχοντες. (π) Ὁ ἐκ τῆς Ἰσμάρου, Ἴσμαρος δὲ πόλις Θρᾴκης περὶ ἧς εἴρηται κἀν τῇ 4. ἐπιστολῇ. (ρ) Ἢ ἐμοί· ἀντὶ τοῦ, μᾶλλον ἐμοὶ, ἢ Ἀρχιλόχῳ. (σ) Ἐν ᾧ κατέφυγε θαλαττίῳ πελάγει. (τ) Θαλαττίου κλύδωνος. (υ) Ταῖς κούφως καὶ ἐλαφρῶς καὶ ὑπεράνω μονονοὺ τῶν κυμάτων τὸ πέλαγος διαπλεούσαις. (φ) Ἐπ' ἀγκύρας ἐν τῷ πελάγει χειμάζεται.

(χ) Ἐπιτατικὸν τὸ α. (ψ) Ἐπεὶ, ἣν προπηδήσωμεν κτ'. (ω) Τῆς σωτηρίας. (α2) Ὡς ἀπόλεμος ἄνθρωπος.

ἄνθρωπος· καί τοί γε ἡμῖν (β 2) ἐδὲ μετέχειν ἠβελήθη τῶν συμφορῶν· ἐ γὰρ παρ' ἔπαλξιν, ὥσπερ ἐγὼ Συνέσιος ὁ φιλόσοφος, ἀλλὰ παρὰ κώπην ὁ στρατηγὸς ἵσαται. εἰ δὴ τῶν ποιημάτων ἐρᾷς, ἅπερ ᾔτησας· καί τοί γε ἡμεῖς ἐδὲν αὐτοῖς (γ 2) σύνισμεν ἀγαθὸν, ὅτι μὴ τὴν ὑπόθεσιν· συνέυξαι Κυρηναίοις μικρὸν ἀπὸ τῶν ὅπλων γενέσθαι· ὡς γὰρ νῦν ἔχομεν, ἐκ ἔσιν ἀπὸ κιβωτίων ἐξάρασθαι βιβλία.

Πυλαιμένει. 131.

Τὰς γεωμετρικὰς ὅρες ἀληθεςάτες ἡγῶ, ὅτε γε (α) καὶ ταῖς ἄλλαις ἐπιςήμαις ὑπάρχει σεμνύνεσθαι, κἂν κατὰ μικρὸν εἰς τὰς ἀποδείξεις αὐτῶν ἐκ γεωμετρίας τὶ συμπορίσωνται. ἔςι δήπε τὶς ἐν αὐτοῖς λόγος (β) ἀξιῶν τὰ τῷ αὐτῷ τὰ αὐτὰ, καὶ ἀλλήλοις εἶναι δεῖν τὰ αὐτά· ἐμοὶ δὴ σὲ μὲν ὁ τρόπος ἐποίησε φίλον, τὸν δὲ θαυμάσιον Διογένη, καὶ ἡ φύσις (γ)· ἄμφω δὲ ἑνός ἐςε φίλοι· δεῖ δὴ καὶ ἀλλήλων ὑμᾶς ἐξηρτῆσθαι, καθάπερ ἐμῆ τῆ μέσε. συνάπτω τοιγαρῦν ὑμᾶς ἀλλήλοις διὰ τῆς ἐπιςολῆς, μεθ' ἧς ἑαυτὸν μὲν ἐπιδώσει τῇ φιλίᾳ τῆς σῆς σεμνοπρεπείας ὁ θαυμάσιος Διογένης, ἀντιλήψεται δὲ, εὖ οἶδ' ὅτι τὸν ἐμὸν Πυλαιμένη· καλῶν γὰρ ἐμὸν, ὔτε αἰσχύνειν, ὔτε αἰσχύνεσθαι φήσαιμ' ἂν ἔγωγε. ὅτι δὲ διὰ σὲ καὶ ἐκ ἄλλως ἕξει σὲ ἀγαπῶντας, φίλες, ὅσοις δὲ δύναμίς ἐςι, καὶ χρησίμες, ἐκ ἂν δίκαιος εἴην, εἰ ἀμφιβάλλοιμι· δεῖ δὲ αὐτῷ φίλων χρησίμων, εἴπερ τῳ πώποτε· τὰ γὰρ κατ' αὐτὸν (δ) ὡς ἐν βραχυτά-

(β 2) Δέον ὡς ἐπιτήδειον ἀτυχεῖν, καὶ ἡμῖν μεταχεῖν τῶν συμφορῶν.
(γ 2) Σκοπεῖν πότερον αὐτοῖς ἢ αὑτοῖς γραπτέον· δοκεῖ γὰρ βέλτιον τὸ αὑτοῖς.

(α) Ἐπεὶ, καὶ γὰρ, καθ' ὅ,τι. (β) Ὅρος, ἀξίωμα. (γ) Καὶ ἡ φύσις καὶ ὁ τρόπος ἐποίησαν φίλον. (δ) Ἡ ἡλικία καὶ τὸ ἦθος αὐτῦ.

τάτοις, οὕτως ἔχει. νέος ἐστὶν ἁπλοῦς (ε) καὶ γενναῖος, θυμοειδὴς (ζ) καὶ πρᾶος, οἵους ὁ Πλάτων ἀξιοῖ τῆς ἑαυτοῦ πόλεως τοὺς φύλακας εἶναι. ἐστράτευται γέτοι καὶ οὗτος κομιδῇ μειράκιον ὤν· ἄρτι δὲ τῶν ἐφήβων (η) ἦρξε παρ' ἡμῖν τὴν τῶν στρατευμάτων ἀρχήν, παραβαλλόμενος (θ) ἐπὶ βασκάνων μαρτύρων· τοιοῦτοι γὰρ οἱ πολῖται, πρὸς ἅπαν τὸ εὐτυχοῦν· ἀλλ' οὗτος ἑαυτὸν παρέχε καὶ φθόνου κρείττω (ι)· περὶ οὗ πολλὰ μὲν (κ) ἂν ἕτερος εἶπεν, ἀλλ' ἐοίκαμεν γὰρ ὁμοίως ἔχειν, ἐγώ τε πρὸς τὸ ἐπαινεῖν, καὶ οὗτος πρὸς τὸ ἐπαινεῖσθαι· συνελόντι δέ, ἐνίκησεν ὅπλοις μέν, τοὺς τῆς πατρίδος ἐχθρούς (λ), ἀρετῇ δέ, τοὺς ἐν αὐτῇ πονηρούς (μ)· νέος ἐν ἐξουσίᾳ γενόμενος, οὐκ ᾔσχυνε φιλοσόφου συγγένειαν. τοιοῦτος ὢν πράγμασιν ὁμιλεῖ δυσκόλοις, δι' αὐτὸ οὐχ ἥκιστα τὸ καλὸς καὶ ἀγαθὸς εἶναι· ἕρμαιον γάρ ἐστι τῶν κακοήθων ἅπας ἐπιεικής· καὶ ἡ πρόσοδος (ν) τοῖς πονηροῖς ἐκ τῆς ἑτέρας μερίδος (ξ) παραγίνεται. ἐνδείκτης (ο) οὖν τις ἀξιῶν μισθοδοτεῖσθαι παρ' αὐτοῦ, καὶ μὴ τυγχάνων, δίκην πρὸς αὐτὸν ἔλαχεν (π)· ὡς δὲ οὐ προὐχώρει ταύτῃ τὸ πρᾶσαί τι τῶν οὐ προσηκόντων, ἀλλ' ἦσαν οἱ νόμοι μεθ' ἡμῶν, ἑτέραν ἐτράπετο (ρ)· καὶ ποιεῖται τὴν δίκην γραφήν (σ), ἀνατεινάμενος (τ) ἔγκλημα τοῦ κατηγορουμένου πρεσβύ-

(ε) Ἁπλοϊκὸς καὶ ἄκακος τὸ ἦθος, τὸ δὲ σῶμα γενναῖος. (ζ) Θυμοειδὴς πρὸς τοὺς πολεμίους, καὶ πρᾶος πρὸς τοὺς πολίτας. (η) Ὑπερβὰς τὴν ἥβην, εἰκοσαέτης τυχὸν ὤν. (θ) Συμπλεκόμενος παραβόλως τοῖς πολεμίοις, καὶ ἀριστεύων ἐπ' ὄψεσι τῶν πολιτῶν, οἳ διὰ τὸν πρὸς αὐτὸν φθόνον μαρτυρεῖν οὐκ ἐθέλουσι ταῖς αὐτοῦ ἀριστείαις. (ι) Οἱ μὲν γὰρ φθονοῦντες, ἐπιλαβέσθαι αὐτοῦ ἐπί τινι ἁμαρτήματι ἐπειρῶντο ἵνα κατηγορήσωσιν αὐτοῦ· ὁ δέ, κἀν τῷ ἄρχειν ἀνεπίληπτος ὤφθη, (κ) Ἐπαίνους πολλούς. (λ) Τοῦτό ἐστι τὸ παραβαλλόμενος. (μ) Τοὺς βασκάνους· τῇ γὰρ ἀρετῇ κρείττω φθόνου ἑαυτὸν παρέχε. (ν) Τὸ κέρδος. (ξ) Ἐκ τῶν ἀγαθῶν. (ο) Συκοφάντης. (π) Ἀντὶ τοῦ, ἐδικάσατο μετ' αὐτοῦ περὶ τῆς ἰδίας μισθοδοσίας, εἴτ' οὖν μισθοληψίας. (ρ) Ἑτέραν μέθοδον ἐμεθοδεύσατο, ἡ δέ, ἦν ἡ ἑξῆς. (σ) Ἀντὶ τοῦ δικάζεσθαι περὶ τῆς ἰδίας μισθοληψίας, μεταβαλών, δημόσιον αὐτοῦ κατηγορεῖ ἔγκλημα. ὅρα Βαρῖνον τί διαφέρει δίκη γραφῆς. (τ) Ἐπαπειλή-

σβύτερον. ἥκει δὴ τὸ κληθῆναι φθάσας· ὃ γὰρ ἄξιον ἐνδῦναι θανατῶντί γε συκοφάντῃ, καὶ προέσθαι τὰ πατρῷά τε καὶ τὰ παππῷα μετὰ δόξης αἰσχρᾶς. πρὸς ταῦτα, δεῖται φίλων ἀδόλων, ἀκαπηλεύτων, νοῦν ἐχόντων, οἷος εἶ σύ· ἔξει δέ, σὺν Θεῷ εἰρήσθω, σὲ μὲν δι᾽ ἐμοῦ, διὰ σοῦ δὲ τοὺς φίλους τούς ἐμούς τε καὶ σούς· ὧν ὅ,τι ἄντις ἀγαθὸν εἰς αὐτὸν ἐργάσηται, τούτου τὴν χάριν ὀφείλειν ἐγὼ δίκαιός εἰμι.

Τῷ ἀδελφῷ. 132.

Τὸ μὲν τὰς γυναῖκας βοᾷν καὶ στερνοτυπεῖσθαι, καὶ σπαράττειν τὰς κόμας, ἐπιφανέντων ἢ προαγγελθέντων πολεμίων, ἧττον ἂν δόξειε δεινόν· καίτοι καὶ τοῦτο δεινὸν ὁ Πλάτων οἴεται, τὸ μηδὲ ὥσπερ τὰς ὄρνις ἐθέλειν ἀμυνομένας ὑπὲρ τῶν νεοττῶν πρὸς ὁ,τιοῦν τῶν ἀλκιμωτάτων ἀνθίστασθαι, ἀλλὰ δόξαν καταχεῖν τοῦ τῶν ἀνθρώπων γένους, ὅτι πάντων θηρίων (α) ἀτολμό-

σας ἔγκλημα τοῦ κατηγορουμένου πρεσβύτερον, παλαιότερον, δι᾽ ὃ ἐκινδύνευεν ὡς ἔοικεν ὁ Διογένης καὶ δημευθῆναι τὰ πατρῷα, καὶ μετὰ δόξης αἰσχρᾶς παραλυθῆναι τῆς τῶν στρατευμάτων ἀρχῆς.

(α) Καὶ μὴν αἱ ὄρνις, ὧν ἀτολμότεραι αἱ γυναῖκες, οὐκ εἰσὶ θηρία, εἰ μή τι τοὺς γῦπας λέγει, καὶ τοὺς ἀετοὺς καὶ τὰ σαρκοφάγα ὄρνεα, ἀλλὰ καὶ τούτων, ὥσπερ οὖν καὶ πάντων τῶν θηρίων τολμηρῶν οὐκ ἀτόλμων ὄντων, πῶς ἂν λέγοιντο αἱ γυναῖκες τούτων, τῶν τολμηρῶν φημι, ἀτολμότεραι; οὐδὲ γὰρ ἄτολμα τὰ θηρία ἵνα ἀτολμότεραι τούτων αἱ γυναῖκες ῥηθῶσιν· ἢ ὅτι τὸ ἀτολμότατον ἀντὶ τοῦ ἧττον τολμηρὸν ληπτέον. Τὰ δὲ τοῦ Πλάτωνος οὕτως ἔχει. Πολλή που κακία πολιτείας, οὕτως αἰσχρῶς τὰς γυναῖκας εἶναι τεθραμμένας, ὡς μηδ᾽ ὥσπερ ὄρνιθας περὶ τέκνων μαχομένας πρὸς ὁ,τιοῦν τῶν ἰσχυροτάτων θηρίων θέλειν ἀποθνήσκειν τε καὶ πάντας κινδύνους κινδυνεύειν, ἀλλ᾽ εὐθὺς πρὸς ἱερὰ φερομένας πάντας βωμούς τε καὶ ναοὺς ἐμπιπλάναι, καὶ δόξαν τοῦ τῶν ἀνθρώπων γένους καταχεῖν ὡς πάντων δειλότατον φύσει θηρίον εἶναι· ἐν οἷς τὸ θηρίον γενικώτερον ἀντὶ τοῦ, ζῷον ἐλήφθη καὶ τῷ Πλάτωνι καὶ τῷ Συνεσίῳ· οὕτω γὰρ καὶ τὸ ἀπορηθὲν τῷ διδασκάλῳ λύεται, καὶ δίχα τοῦ εἰπεῖν θηρία τοὺς γῦπας κ.τ.λ.

μότατον γέγονε· τὸ δὲ καὶ σὲ ταῦτα ἐκείναις πλημμελεῖν, καὶ νύκτωρ ἐκδειματοῦσθαι καὶ διανίστασθαι, καὶ βοᾶν παρ' αὐτὴν τοῦ φρουρίου τὴν θύραν ἑστάναι βάρβαρον· τοιαῦτα γάρ τις ἀπήγγειλε περὶ σοῦ· πῶς ἔτι ταῦτα οἰστὰ, κἂν ἀλλοίως ἔοικεν εἶναι (β), ἐμὸν ἀδελφὸν ὄντα, ἔπειτα δειλὸν εἶναι; ἔγωγέ τοι παρανατειλάσης εὐθὺς ἡμέρας ἐξιππασάμενος (γ), ὡς ἀνυστὸν πορρωτάτω, καὶ ὠσὶ καὶ ὀφθαλμοῖς τὰ κατὰ τοὺς ἀπελάτας (δ) τούτους ἅπαντα πολυπραγμονῶ· οὐδὲ γὰρ ἄξιον καλεῖν αὐτοὺς πολεμίους, ἀλλὰ λῃστὰς ἢ λωποδύτας, ἤ τι τοιοῦτον ὄνομα μικροπρεπέστατον, οἳ μηδένα τῶν ἐρρωμένως ὑποφερομένων ὑφίστανται, ἀλλὰ μόνους τοὺς καταπλῆγας ἀποσφάττουσιν, ὥσπερ ἱερεῖα, καὶ περιδύουσι· νύκτωρ δὲ μετὰ τῶν ἐφήβων περιπολῶ τὸν λόφον, καὶ παρέχω ταῖς γυναιξὶ τοῦ καθεύδειν ἄδειαν, ὑποσταμέναις, ὅτι περὶ αὐτῆς (ε) τινες ἐγρηγόρασι· πάρεισι δέ μοι καὶ στρατιῶται τοῦ τῶν Βαλαγριτῶν τάγματος (ζ). οὗτοι πρότερον μὲν ἢ Κερεάλιον ἄρχειν, ἦσαν ἱπποτοξόται, τούτου δὲ καταστάντος εἰς τὴν ἀρχὴν, ἀπημπολημένων αὐτοῖς τῶν ἵππων, ἐγένοντο μόνον τοξόται· ἐμοὶ δ' οὖν ὑποχρῶσι καὶ ἄνιπποι. δεῖ δὲ τοξείας ἡμῖν ὑπὲρ φρεάτων, ὑπὲρ τοῦ ποταμοῦ· ὕδωρ γὰρ οὐκ ἔχομεν εἴσω τοῦ περιβόλου· ἐπεὶ (η) τί ἐκώλυε διαφέρειν τὴν πολιορκίαν αὐλουμένους τε καὶ κωμάζοντας; νῦν δὲ ἢ κρατεῖν δεῖ μαχο-

μένους

(β) Εἰ καὶ σὺ μὲν οὐχ οὕτω ποιεῖς, ἀπαγγέλλῃ δὲ οὕτω ποιῶν, δέον μηδὲ λέγεσθαι ταῦτα περὶ σοῦ. (γ) Ἐξελθὼν τῆς χώρας ἔφιππος.
(δ) Φυγάδας· λέξις τοῦ Συνεσίου καινότροπος, ὡς καὶ τὸ παραδιοικεῖν, καὶ παραστρατηγεῖν· σκοπεῖν δὲ μὴ πελάτας μᾶλλον γραπτέον, ὃ δηλοῖ τοὺς ἐπὶ μισθῷ δουλεύοντας· ἀπελάτης γὰρ λέξις οὐχ εὕρηται. Ἐγὼ δὲ εὗρον τὴν λέξιν ἀπελάτης, ἐν Γραικολατινικῷ λεξικῷ, ὅπερ ἑρμηνεύει αὐτήν· δεδιωγμένος, φυγάς. (ε) Ἀντὶ ὑπὲρ αὐτῶν. (ζ) Ὥστε κἀν τῇ 104, ἐπιστ: οἱ Βαλαγρεῖται καὶ ὁ τούτων φύλαρχος οὐ τῶν πολεμίων ἦσαν, ἀλλὰ τῶν περὶ τὸν Συνέσιον. (η) Ὅρα τὸν ἐν τῇ 129 ἐπιστ: ἤ, εἰς τὸν ἐπεὶ ὧδε μεταλαμβανόμενον· ἐκεῖ μὲν γάρ φησιν, ἢ τί ἐκώλυεν· ἐνταῦθα δὲ, ἐπεὶ τί ἐκώλυεν εἰ εἴχομεν ἔνδον ὕδωρ κτ:

μένους, ἢ ἀποθνήσκειν εἰς χεῖρας ἰόντας τοῖς πολεμίοις, ἀντὶ τοῦ διψῆν· οὗ τί ἂν ἐλεεινότερον γένοιτο; ὥστε κἂν ὑπ' ἀνάγκης, ἄνδρες εἴημεν ἀγαθοί, καὶ σὺ δὴ προθυμοῦ, καὶ ἑτέρους παρακάλει, καὶ τὸ ζεῦγος τῶν ἵππων τῶν ἀδδηφάγων τῶν ἐπὶ τῷ φόρῳ (θ) τρεφομένων, ἄγεσθαι κέλευε παρὰ σέ· παντὸς μᾶλλον ἐν τοῖς τοιούτοις καιροῖς, ἵππος οὐκ ἀχρεῖον τὸ κτῆμα· καὶ γὰρ προδραμεῖν τε, καὶ κατασκέψασθαι, καὶ ἀπαγγεῖλαι δι' ἐλαχίστου (ι), πάντα ταῦτα ἵππος δύναται ῥᾳδίως ποιεῖν. κἂν δέῃ σοι τοξοτῶν, μεταπέμπου, καὶ ἥξουσι· τοὺς γὰρ κωπέας τοὺς Φυκουντίους, οὐδ' ἐγὼ θαρρῶ συμμάχους, ὥσπερ οὐδὲ τοὺς παρ' ἐμοὶ κηπωρούς· ζητῶ δὲ ἄνδρας ὀλίγους οὐ ψευδομένους τὸν ἄνδρα· κἂν ἐπιτύχω τοιούτων, σὺν Θεῷ δὲ εἰρήσθω, θαρρῶ· δεήσαν δὲ ἀποθνήσκειν, ἐνταῦθα τὸ φιλοσοφίας ὄφελος (κ), τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλακίου τοῦ κρεϋλλίων (λ). εἰ δὲ πρὸς τὴν γυναῖκα καὶ τὸ παιδίον ἄτεγκτος ἔσομαι, τοῦτο δὲ (μ) οὐ σφόδρα διεγγυῶμαι (ν)· ὡς ἔγωγε βουλοίμην ἂν τοσαῦτα φιλοσοφίαν δύνασθαι (ξ)· ἀλλὰ μήτοι ποτὲ διάπειραν λάβοιμι (ο), μή, ὦ Σῶτερ, μή, ὦ Ἐλευθέριε.

Ὀλυμ-

(θ) Διὰ μόνην πομπήν. (ι) Χρόνου. (κ) Ὠφεληθήσομαι ἐκ τῆς φιλοσοφίας τοῦτο, τὸ μηδὲν δηλ: ἡγεῖσθαι δεινὸν κτ: Πλάτων ἐν Φαίδωνι· „Θάνατός ἐστι λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος· λύειν δὲ αὐτὴν προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος. οὐκοῦν γελοῖον ἂν εἴη, ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι, οὕτω ζῆν, κἄπειθ' ἥκοντος αὐτῷ τούτου, ἀγανακτεῖν· οἱ γὰρ ὀρθῶς φιλοσοφοῦντες, ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιστα αὐτοῖς ἀνθρώπων φοβερόν. (λ) Κρεύλλιον ὑποκοριστικὸν τοῦ κρέατος. (μ) Οὐδέ, παρέλκει. (ν) Ὅτι ἄτεγκτος ἔσομαι· ἔφθη γὰρ εἰπὼν ὅτι πρός τε τὴν γυναῖκα καὶ τὰ παιδία θῆλύς ἐστι πέρα τοῦ δέοντος. (ξ) Ὥστε μὴ πρὸς ἐμαυτὸν μόνον, ἀλλὰ καὶ πρὸς τὰ φίλτατα ἄτεγκτον εἶναι. (ο) Μή μοι γένοιτο ἐν τούτῳ κινδύνου πολεμοῦντα γενέσθαι, ὥστε τηνικαῦτα ἀποπειρᾶσθαι ἐμαυτοῦ, πότερον τῶν ἐμῶν φιλτάτων φείδομαι ἀφιλοστόργως, ἢ ὡς φιλόστοργος ἀφειδῶ.

Ὀλυμπίῳ. 133.

Χθὲς καὶ πρώην ἐπὶ τῶν ἔναγχος ὑπάτων, ὧν ἅτερός ἐστιν Ἀρισταίνετος· τὸν γὰρ συνάρχοντα ἀγνοῶ· κατασεσημασμένην (α) ἐκομισάμην ἐπιστολὴν, τὸ σὸν τῆς ἱερᾶς κεφαλῆς ἐπιγεγραμμένην ὄνομα· τεκμαίρομαι δὲ αὐτὴν εἶναι παμπάλαιον, τῷ τε θριπηδεστάτην γεγονέναι, καὶ τῷ συγκεχύσθαι τὰ πλείονα τῶν γραμμάτων (β). ἐγὼ δὲ ἠξίουν μὴ καθάπερ δασμόν τινα ἐτήσιον τὴν ἐπιστολὴν πέμπεσθαι, μηδὲ ἕνα ποιεῖσθαι διακομιστὴν μόνον τὸν φίλτατον Σύρον· οὕτω γὰρ συμβαίνει τὸ μηδὲ νεαροῖς, ἀλλ' ἑώλοις αὐτοῖς περιτυγχάνειν. ὥσπερ οὖν ἐγὼ, καὶ αὐτὸς οὕτω ποίει. οὐδεὶς βασιλέως ἀγγελιαφόρος δημοσίαν ἵππον ἀμείβων ἔξεισι τῆς πόλεως, ᾧ μὴ τὰ πρὸς τὴν σὴν λογιότητα μέρος γίνεται τοῦ κατόπιν φορτίου. εἰ μὲν οὖν ἀποδιδόασιν, ἢ πάντες, ἤ τινὲς αὐτῶν, πολλὰ κἀγαθὰ τοῖς ἀποδιδοῦσι γένοιτο, χρηστοῖς οὖσιν· εἰ δὲ μὴ, καὶ ταύτῃ σὺ σοφώτερος (γ), ἀπιστῶν, οἷς ἄξιον. ἀλλ' ἵνα μηδὲ ἡμεῖς μάτην κόπτωμεν τὸν ὑπογραφέα, τὰς οὐκ ἀποδοθησομένας ἐπιστολὰς ὑπαγορεύοντες, μαθεῖν ἀξιῶ (δ)· μεθαρμοσόμεθα (ε) γὰρ τοῦ λοιποῦ, καὶ μόνῳ πιστεύσω τῷ Πέτρῳ (ζ). ταύτην γέτοι τὴν ἐπιστολὴν Πέτρον οἶμαι διακομιεῖν, παρὰ μέσης λαβόντα τῆς ἱερᾶς χειρός (η)· στέλλω γὰρ αὐτὴν ἀπὸ Πενταπόλεως ἐγὼ πρὸς τὴν διδάσκαλον τὴν κοινὴν, αὕτη δὲ ὅτῳ βούλεται δώσει (θ)· βουλήσεται δὲ, εὖ οἶδ' ὅτι, τῷ γνωριμωτάτῳ (ι) παρασχεῖν· καὶ γὰρ οὐδ' ἴσμεν, ὦ φίλτατε

καὶ

(α) Κἀντεῦθεν φαίνονται οἱ κατ' ἐκεῖνο καιροῦ, ἔξωθεν τῆς ἐπιστολῆς τὸ ἑαυτῶν ἐπιγράφοντες ὄνομα, ἐν ᾗ δηλονότι κατεσημαίνοντο τὴν ἐπιστολὴν σφραγίδι. (β) Ἄπορον, πῶς οὐχὶ καὶ ἐκ τῆς ὑπογραφῆς τοῦ ἔτους, καὶ τῆς τοῦ μηνὸς ἡμέρας; εἰ μήτι ἠφάνισται καὶ ταῦτα τῷ χρόνῳ. (γ) Ἐμοῦ, πιστεύοντος, οἷς ἄξιον ἀπιστεῖν ἀγγελιαφόροις. (δ) Εἰ ἀποδίδονταί σοι, ἢ μή. (ε) Μεταλλάξομεν τὸν γραμματοφόρον. (ζ) Διὰ τῆς ἐν Ἀλεξανδρείᾳ Ὑπατίας. (η) Παρὰ τῆς Ὑπατίας τῆς μέσης ἐμοῦ τε καὶ Πέτρου. (θ) Διακομίσασθαι αὐτὴν πρὸς σέ. (ι) Τῷ Πέτρῳ δηλαδή.

καὶ θαυμάσιε, εἰ καὶ πάλιν ἕξεσι προσειπεῖν ἡμᾶς ἀλλήλους· κακίᾳ (κ) γὰρ στρατηγῶν, ἀμαχεὶ (λ) γέγονε τῶν πολεμίων ἡ χώρα, καὶ μόνοι ζῶμεν, ὅσοι τὰ ἐρυμνὰ κατειλήφαμεν, τῶν ἐν τοῖς πεδίοις κατειλημμένων, ὥσπερ ἱερείων ἀπεσφαγμένων. δέδιμεν δὲ τὴν προσεδρείαν αὐτῶν, μὴ χρονία γενομένη, δίψει παραστήσηται (μ) τὰ πολλὰ τῶν φρουρίων. ταύτῃ καὶ τοῖς ἀντεγκλήμασι (ν) τοῖς περὶ τῶν δώρων οὐκ ἀπεκρινάμην· οὐ γάρ μοι σχολὴ, πρός τινι μηχανῇ τὸν νοῦν ἔχοντι· κατασκευάζομαι γὰρ ὡς ἂν ἀπὸ τῶν πύργων ἐκηβολώτατα πέμποιμεν ἀξιόλογα λίθων βάρη· ἅμα δὲ καὶ ἐνδίδωμί σοι (ξ) πέμπειν μοι δῶρα· δεῖ γὰρ εἴκειν (ο) Ὀλυμπίῳ Συνέσιον· μὴ μέντοι τρυφῶντα δῶρα· καὶ γὰρ καὶ τότε τὴν τρυφὴν ἐμεμψάμην τῶν καταλειμμάτων τοῦ συσσιτίου· ἀλλ' ἔστω στρατιωτικὰ, τόξα καὶ βέλη, μετὰ τῶν συρακίων μέντοι τὰ βέλη. τόξα μὲν οὖν καὶ ἑτέρωθεν ὠνησαίμην, καὶ τὰ ὄντα ἀνακτησαίμην· βέλη δὲ οὐ ῥᾴδιόν ἐστι πορίσασθαι, οὔκουν ὥστε καὶ ἐπιτήδεια· τὰ γὰρ Αἰγύπτια ταῦτα τοῖς γόνασιν οἰδοῦντα (π), τοῖς παραγονατίοις συνιζάνει· ταύτῃ καὶ σφάλλεται παρ' ἑαυτῶν (ρ)· ἔοικε γὰρ τοῖς ἐκ πρώτης ἀφετηρίας ἐμποδιζομένοις τε καὶ προσκόπτουσι· τὰ παρ' ὑμῖν δὲ, εὐμήκη τέ ἐστι, καὶ ἀκριβῶς εἰς ἑνὸς κυλίνδρου σχῆμα στρογγύλλεται, ὥσπερ τὸ πᾶν ἐστιν εἰς εὐθυπορίαν τῆς πτήσεως. ταῦτά μοι πέμπειν (σ), καὶ χαλινοὺς ἵππων ἀγαθοὺς εἰς χρῆσιν· ἐπεὶ καὶ τὸν ἵππον τὸν Γ-

τα-

(κ) Δειλίᾳ, ἢ ἀμελείᾳ. (λ) Δίχα μάχης ἐκράτησαν τῆς χώρας οἱ πολέμιοι. (μ) Πορθήσῃ, δουλώσῃ, λεηλατήσῃ. (ν) Τοῦ Συνεσίου μεμψαμένου τὰ παρὰ τοῦ Ὀλυμπίου πεμφθέντα οἱ τρυφηλὰ δῶρα ἐκ τῶν περισσευμάτων τοῦ συμποσίου, ἀντενεκάλεσεν αὐτῷ ὁ Ὀλύμπιος. (ξ) Αἰτίαν, ἐπιτρέπω σοι. (ο) Ἡ γὰρ χρεία, ὧν αἰτῶ παρὰ σοῦ δώρων, ἀναγκάζει με καὶ ἄκοντα ὑπείκειν σοι, εἴτ' οὖν δέεσθαί σου. (π) Ἦσαν γὰρ κατὰ τοὺς γόνατα ἔχοντας καλάμους, ἐπεὶ εἰσὶ καὶ κάλαμοι μὴ ἔχοντες γόνατα. τῶν γοῦν βελῶν τὰ γόνατα, εἴτ' οὖν συνδέσμους ἔχοντα, κατὰ μὲν τοὺς συνδέσμους ὑψοῦται ἀφιέμενα, κατὰ δὲ τὰ ἄλλα μέρη ταπεινοῦται ἐπὶ τοῦ τόξου. (ρ) Οὐ παρὰ τοῦ τοξότου. (σ) Ἐνδίδωμί σοι, ἢ ἀντὶ προστακτικοῦ.

ταλὸν, ὃν ἐπήνεσας τῇ γλώττῃ τῇ καλῇ, σφόδρα ἂν εἶδον ἡδέως, ἐπειδὴ καὶ πατέρα πώλων ἀγαθῶν ἡμῖν αὐτὸν ὑπισχνῦ. ὃ μὴν ἀλλὰ καὶ κάτω πε τῆς ἐπιςολῆς, μετὰ τὴν ὑπογραφὴν εὗρον, ὅτι μένειν ἐδέησε τὸν ἵππον ἐν τῇ Σελευκείᾳ, τῦ ναυκλήρε διὰ τὸν καιρὸν παραιτησαμένε τοιῦτο φορτίον. ἐπειδὴ δὲ μήτε τὴν λέξιν (τ) ἐπέγνων ἀδελφὴν ὖσαν τῆς σῆς, μήτε τὴν χεῖρα (υ), μήτε τὴν ἀκρίβειαν τῆς γραφῆς (φ), ἐδικαίωσα μὴ ἀγνοεῖσθαί σοι τῦτο· ἄτοπον γὰρ, εἰ τοιῦτος ὢν ὁ ἵππος μήτε ἐμοὶ, μήτε σοὶ σώζοιτο.

Πυλαιμένει. 134.

Ἐδεξάμην τὴν ἐπιςολὴν, ἐν ᾗ πάλιν ἐμέμψω τὴν τύχην (α), ὡς ὐδὲν περὶ σῦ (β) βεβυλευμένην φιλανθρωπότερον· μὴ σύγε, ὦ φίλτατε ἑταίρων· ὐ γὰρ ἄξιον ἐγκαλεῖν (γ), ἀλλὰ παραμυθεῖσθαι (δ)· ἔξεσι δὲ ὄντι τοιύτῳ, ἥκειν πρὸς ἡμᾶς· ἀδελφὸν εὑρήσεις οἶκον· ὐ πλυτῦμεν ὦ 'γαθὲ, ἀλλὰ τὰ παρόντα ἀρκεῖ καὶ Πυλαιμένει κἀμοί. εἰ δὲ καὶ σὺ παρέσῃ, τυχὸν καὶ πλυτήσομεν (ε). ἀπὸ τῶν ἴσων ἀφορμῶν (ζ) ἕτεροι πλείω τῶν μετρίων ἔχυσιν· ἐγὼ δὲ κακὸς οἰκονόμος· ἀλλὰ τέως ἀντέχει καὶ πρὸς τὴν ἀκριβεςάτην ἀμέλειαν (η) τὰ πατρῷα, ἃ

δὴ

(τ) Τὴν φράσιν ὁμοίαν τῇ κατὰ τὸ σὸν ὕφος φράσει. (υ) Οὐ γὰρ ἦν ἰδιόχειρος. (φ) Ἀνορθόγραφος γὰρ ἦν.

(α) Τὴν βυλὴν τῦ Θεῦ, καθ' ἣν ἅπαντα ὡς αὐτὸς οἶδεν οἰκονομεῖ· δεῖ γὰρ εὐσεβῶς ἅπαντα ἐκλαμβάνειν ἀποφεύγοντας τὰς Ἑλληνικὰς δόξας. (β) Ὡς ὐ διὰ τῆς ῥητορικῆς ὡς ὤφε παραχῦσάν σοι καὶ τὸ ἄρξαι ποτὲ, ἢ ὑπάρξαι τὴν μεγίςην ἀρχὴν, κατὰ τὴν 103 ἐπις: (γ) Τῇ εἰρημένῃ τύχῃ. (δ) Μακροθύμως τε καὶ μεγαλοψύχως φέρειν, καὶ μὴ ἀπογινώσκειν τῆς τύχης, ἀλλὰ προσδοκᾶν τὰ ἀμείνω, καὶ τρέφεσθαι ταῖς χρηςαῖς ἐλπίσιν, ὡς καὶ προείρηται. (ε) Ἐπὶ τῷ ποδὶ καὶ τῇ σῇ παρυσίᾳ, εὐλογήσαντος ἡμῖν τῦ ξενίυ τὰ ὄντα. (ζ) Ὅσα ἔχω πατρῷα, τοσαῦτα καὶ ἕτεροι παρὰ τῶν ἰδίων πατέρων κληρονομήσαντες, ἐπλεόνασαν αὐτὰ τῇ καλῇ οἰκονομίᾳ καὶ ἔχυσιν ἐξ αὐτῶν πλείω τῶν μετρίων. (η) Πρὸς τὸ ἐμὸν ἀνοικονόμητον.

δὴ δύναται βόσκειν φιλόσοφον· μὴ τὰ τυχόντα ἡγοῦ προσλαβόντα καὶ πρόνοιαν (θ), ταῦτα περὶ τούτων, καὶ μὴ ἄλλως ποίει· εἰ μή τι μεταξὺ (ι) βέλτιον πέπραχας, καὶ πάλιν διανοῇ τὴν Ἡράκλειαν ἀνιστάναι κειμένην. ἐπιστολὰς οὐ γέγραφα πρὸς οὓς εἴωθα, διὰ τὸν καιρόν· ἀλλὰ πρώην ἅπασι γέγραφα, φάκελλον ἐπιστολῶν Διογένει δούς· ἀνεψιός ἐστιν (κ) ὁ Διογένης ἐμός. εἰ μὲν οὖν ἐπέτυχέ σου ζητῶν· ἐζήτησε γὰρ οἶδ' ὅτι, καὶ δὴ τὸν φάκελλον ἀποδέδωκεν· οὐ γὰρ ἐπεγέγραπτο· εἰ δὲ μή, ναύκληρον (λ) αἴτει δεῖξαί σοι τὸν νεανίσκον, καὶ κομισάμενος τὰς ἐπιστολάς, αὐτὸς ἅπασι δίδου· εἰσὶ δὲ οὓς περὶ πλείστου ποιοῦμαι παρ' ἐμοῦ προσειρῆσθαι, ὁ πατὴρ Πρόκλος, Τρύφων ὁ παρ' ἡμῖν ἄρξας, Σιμπλίκιος καὶ ἀνὴρ καὶ ἄρχων ἀγαθός, καὶ φίλος ἐμός. ἐπιδοὺς αὐτῷ τὴν ἐπιστολήν, ἐν ᾧ πάρεστι χρόνῳ, χρῆσαι τἀνδρί· καλὸν γὰρ καὶ συσχολάσαι στρατιώτῃ ποιητικῷ. στρουθοὺς μεγάλας ἀπὸ τῶν ἐν εἰρήνῃ κυνηγεσίων εἴχομεν, ἀλλ' οὐκ ἦν αὐτὰς στέλλειν ἐπὶ θάλατταν, διὰ τῶν ὅπλων τῶν πολεμίων, οὐδὲ ἄλλο τι τῶν παρὰ τὰς ἀκτὰς (μ) ὄντων ἐξῆν ἐνθεῖναι τοῖς πλοίοις. οἶνος οὖν μόνος (ν) ἐστὶ τὸ φορτίον· ἐλαίου δὲ οὐ μὰ τὴν τιμίαν σου κεφαλήν, οὐδὲ κύαθον ἀγώγιμον ἔχουσιν, οὔκουν ὅσα γε καὶ ἐμὲ εἰδέναι. τοσάδε οὖν οἴνου ξεστία λάβε· λήψῃ δέ, ἐπιδοὺς τὸ πρὸς Ἰούλιον (ξ) πρόσταγμα· πρόσκειται δὲ τῇ ἐπιστολῇ, τοῦ μὴ διαπεσεῖν ἕνεκα. καὶ τῷ πατρὶ Πρόκλῳ γεγράφηκα,

---

(θ) Σοῦ γὰρ ἐλθόντος ἀναγκασθήσομαι προνοεῖν αὐτῶν. (ι) Τοῦ χρόνου, ἀφ' οὗ ἐμέμψω τὴν τύχην μέχρι τοῦ νῦν. (κ) Ὁ ἐν ταῖς προλαβούσαις ἐπιστολαῖς ἐξανέψιος, καὶ ἀντανέψιος. (λ) Ἀνάγνωθι συνάρθρως τὸν ναύκληρον. οὗτος δέ ἐστιν ὁ Ἰούλιος, ὁ διακομίσας τόν τε Διογένη, καὶ ἅττα Πυλαιμένει πέπομφεν ὁ Συνέσιος, καὶ τοῖς ἄλλοις. (μ) Παρὰ τὴν ἠπειρῶτιν Κυρήνην ἀπέχουσαν τοῦ ἐν Φυκοῦντι λιμένος μιλίοις 12. (ν) Οὐκ ἀπὸ Κυρήνης, ὡς ἔοικε, διακομισθεὶς ἐπὶ τὸ πλοῖον, ἀλλ' ἀπὸ Φυκοῦντος ἐντεθείς. (ξ) Τὸν ναύκληρον· ἐντειλάμενος γὰρ ἐγγράφως τῷ Ἰουλίῳ περὶ τῆς διακομιδῆς τῶν τοῦ οἴνου ξεστίων, τὸ ἔγγραφον ἐνταλτήριον οὐ τῷ Ἰουλίῳ ἐνεχείρισεν, ἵνα μὴ παραπέσῃ, ἀλλὰ τῇ τοῦ Πυλαιμένους ἐπιστολῇ ἐνέθηκεν.

κα, ϗ ταῦτα (ο) πέπομφα· δεξάσθω ϗ τὴν ἐπιστολὴν παρὰ σοῦ, ϗ τὸν οἶνον παρὰ τοῦ Γελίου. Τρύφωνι τῷ χρυσῷ· δεῖ γάρ τι ϗ ἐν τούτοις (π) ψυχρὸν εἰπεῖν (ρ) ϗ Γοργιαῖον· Τρύφωνι τὰ δῶρα παρεσκευάσαμεν, ὀπὸν σιλφίου πολύν· Βάττου γὰρ ἀκούεις αὐτὸ δήπου (σ), ϗ κρόκον ἄριστον· ἀγαθὸν γὰρ ἡ Κυρήνη ϗ τοῦτον ἐκτρέφει· οὐ μὴν ἐξεγένετο πέμπειν, τόγε νῦν ἔχον, ἀλλ' ἐκπέμψαιμεν ἂν εἰς ἑτέραν ναῦν, ὅταν ϗ ὑμῖν μετ' αὐτοῦ μὲν (τ) τὰς στρουθοὺς, κατὰ μόνας δὲ (υ) τοὔλαιον.

Τῷ ἀδελφῷ. 135.

Ποιμένιος οὗτος ὁ τὴν ἐπιστολὴν σοι διδοὺς, ἐστάλη πρὸς ἡμᾶς (α) ὑπὸ τοῦ μικρῷ πρότερον δυναστεύσαντος Ἀρταβαζάκου, ἐπὶ ταῖς οὐσίαις ἁπάσαις, ὧν ἐν τοῖς τῇδε τόποις ἐγεγόνει κύριος (β)· ἀλλ' ἐν ὑποθέσει τοιαύτῃ (γ) πρᾶον ἑαυτὸν παρέσχε ϗ μετριώτατον. καίτοι τίς ἕτερος οὕτως ἐχρήσατο τῷ καιρῷ (δ); Ποιμενίου δὲ οὐδεὶς Λιβύων τὴν τότε δύναμιν ἐβαρύνετο· μέγα τεκμήριον (ε)· λυπεῖ τὰς πόλεις ἀναχωρῶν. σὺ δέ μοι τὸν ἄνδρα φιλίως, ϗ ὥσπερ εἰκὸς, ἐπαίνεσον ἐπὶ καλοκἀγαθίᾳ.

Τῷ αὐτῷ. 136.

Ὀναίμην τῶν Ἀθηνῶν, ὁπόσα βούλει· ὥστε μοι δοκῶ πλεῖν

ἢ

(ο) Γρ. Ταῦτα, ἅπερ δηλ: ϗ σοὶ ξενία τοῦ οἴνου. (π) Ἐν οἷς πέμπομεν δώροις, ἢ γράμμασι. (ρ) Χρυσοῦν γὰρ καλοῦντες τὸν Τρύφωνα, ϗ τῶν δώρων τὰ τίμια αὐτῷ παρασκευάσαντες, ψυχροί πως φαινόμεθα ὑμῖν, ὡς ϗ Γοργίας τοῖς συνοῦσιν. (σ) Ἐν ἄλλοις οὐ πρόσκειται τὸ, βάττου γὰρ ἀκούεις αὐτὸ δήπου, ἀλλ' ἐχομένως τοῦ πολὺν, ϗ κρόκον ἄριστον· ἀγαθὸν γὰρ κτ: (τ) Τοῦ Τρύφωνος. (υ) Ὑμῖν μόνοις.

(α) Ἐπίτροπος, ἔφορος, διοικητὴς εἰς πρόσωπον τοῦ Ἀρταβαζάκου. (β) Ὁ Ἀρταβάζακος. (γ) Ἐπιτροπικῇ ἀρχῇ. (δ) Τῇ ὑποθέσει ταύτῃ, τῇ δυνάμει, τῇ ἀρχῇ. (ε) Τοῦ ὅτι οὐδεὶς Λιβύων κτ: ἐστὶ τὸ ἑξῆς.

ἢ παλαιστῇ καὶ δακτύλῳ (α) γεγονέναι σοφώτερος· ἔξεστι δὲ καὶ αὐτόθεν τῆς θείας (β) σοφίας πεῖράν σοί τινα παρασχεῖν. ἀμέλει γὰρ Ἀναγυροῦντοθέν σοι γράφω, καὶ Σφηττοῖ γέγονα, καὶ Θριῶζε, καὶ Κηφισιᾶσι, καὶ Φαληροῖ· καὶ κακὸς κακῶς (γ) ὁ δεῦρό με κομίσας ἀπόλοιτο ναύκληρος· ὡς οὐδὲν ἔχουσιν αἱ νῦν Ἀθῆναι σεμνὸν, ἀλλ' ἢ τὰ κλεινὰ τῶν χωρίων ὀνόματα. καὶ καθάπερ ἱερείου διαπεπραγμένου (δ) τὸ δέρμα λείπεται γνώρισμα τοῦ πάλαι ποτὲ ζώου, οὕτως ἐνθένδε φιλοσοφίας ἐξῳκισμένης, λείπεται περινοστοῦντα θαυμάζειν τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον, καὶ νὴ Δία τὴν ποικίλην Στοὰν, τὴν ἐπώνυμον τῆς Χρυσίππου φιλοσοφίας, νῦν οὐκέτ' οὖσαν ποικίλην· ὁ γὰρ Ἀνθύπατος τὰς σανίδας ἀφείλετο, αἷς ἐγκατέθετο τὴν τέχνην ὁ ἐκ Θάσου Πολυγνωτος (ε). νῦν μὲν οὖν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις Αἴγυπτος τρέφει (ζ) τὰς Ὑπατίας δεξαμένη γονάς· αἱ δὲ Ἀθῆναι, πάλαι μὲν ἦν ἡ πόλις

(α) Πλέον ἢ κατὰ παλαιστὴν καὶ δάκτυλον, τὸ τῆς παροιμίας. (β) Ἐν ἀλλ: τῆς νέας. (γ) Ἀλόγως ἔοικεν ἐπαρᾶσθαι τῷ ναυκλήρῳ Συνέσιος· οὐδὲ γὰρ ἄκων ὑπὸ τοῦ ναυκλήρου ἐκομίσθη Ἀθήναζε, ἀλλ' ἑκοντὶ ἐκεῖσε ἀπέπλευσεν, ἵνα, ὡς αὐτὸς ἐν τῇ πρὸς τὸν Ἀδελφὸν 54. ἐπισ: λέγει, καὶ τῶν ἐν Κυρήνῃ ἀπαλλαγῇ κακῶν, ἅ τινα οἱ ὀνείρους τινὰς πλαττόμενοι, ὕπαρ αὐτῷ δώσειν ἐπανετείνοντο, ἂν μὴ τάχιστα τὰς Ἀθήνας καταλάβῃ, καὶ τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις μὴ προσκυνῇ. (δ) Ἐσφαγμένου καὶ βεβρωμένου. (ε) Οὗτος ζωγράφος ἦν τὴν τέχνην· Θάσιος δ' ὢν τὸ γένος, τῆς Ἀθηναίων ἔτυχε πολιτείας, ἐπειδὴ προῖκα ἀνέγραψε κατὰ μέν τινας, τὰς ἐν Θησαυρῷ, καὶ τὰς ἐν τῷ τῶν Διοσκούρων ἱερῷ γραφὰς, κατὰ δὲ ἑτέρους, τὴν ποικίλην Στοὰν, γράψας ἐν αὐτῇ τοὺς ἐν Μαραθῶνι πολεμήσαντας, ἔνθα ἦν ἐπίγραμμα τόδε.

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι,
Ἔκτειναν Μήδων εἴκοσι μυριάδας.

ὅρα Σουΐδαν ἐν τῷ, Πολύγνωτος, κἀν τῷ ποικίλη, κἀν τῷ, διεξιφίσω. ἐπεὶ δὲ οἱ Ἀθηναῖοι ἔχοντες ἐν τῇ Στοᾷ, ἃς ἔπειτα ὁ Ἀνθύπατος ἀφείλετο ποικίλας σανίδας, ἐπὶ σοφίᾳ ἀλλ' οὐκ ἐπὶ ἀνδρίᾳ κατὰ τὴν τῶν σανίδων ποικιλίαν μέγα ἐφρόνουν, ζητητέον καὶ τίπο τε ἦν ἐν ταῖς ποικίλαις σανίσι σοφὸν, ἐφ' ᾧ μέγα ἐφρόνουν. (ζ) Τὴν τῶν Ἀθηνῶν ἐξῳκισμένην φιλοσοφίαν

λις ἐςία σοφῶν, τὸ δὲ νῦν ἔχον, σεμνύνουσιν αὐτὰς οἱ μελιττουργοί. ταῦτ᾽ ἄρα (η) καὶ ἡ ξυνωρὶς τῶν σοφῶν Πλουταρχείων, οἵτινες οὐ τῇ φήμῃ τῶν λόγων ἀγείρουσιν ἐν τοῖς θεάτροις τοὺς νέους, ἀλλὰ τοῖς ἐξ Υ῾μηττοῦ ςαμνίοις.

Ε῾ρκουλιανῷ. 137.

Εἰ τῆς Ο᾽δυσσέως πλάνης κέρδος ἔφησεν Ο῞μηρος, πολλῶν ἀνθρώπων ἰδεῖν τε ἄςεα, καὶ γνῶναι τὸν νόον· καὶ ταῦτα τῆς προσορμίσεως αὐτῷ γινομένης οὐ πρὸς ἄνδρας χαρίεντας, ἀλλὰ πρὸς Λαιςρυγόνας καὶ Κύκλωπας· ἦπου θαυμαςῶς ἂν ἡ ποίησις ὕμνησε τὴν ἐμήν τε καὶ σὴν ἀποδημίαν, παρασχοῦσαν ἡμῖν εἰς πεῖραν ἐλθεῖν τῶν καὶ διὰ φήμης ἀπιςουμένων· αὐτόπται γάρ τοι καὶ αὐτήκοοι γεγόναμεν τῆς γνησίας καθηγεμόνος τῶν φιλοσοφίας ὀργίων. εἰ δὲ καὶ ἀνθρωπικαὶ χρεῖαι τοὺς κοινωνήσαντας διαθέσει συνδέουσιν, ἡμᾶς κατὰ τὸν νοῦν τῶν ἐν ἡμῖν τὸ ἄριςον συγγινομένους, θεῖος ἀπαιτεῖ νόμος τἀλλήλων τιμᾷν. ἐγὼ μὲν οὖν καὶ τῆς σωματικῆς συνηθείας ἀπολελαυκὼς, ὁρᾷν τε ἀπόντα δοκῶ, τὸ ἐναποτεθὲν ἀπὸ τῆς διαθέσεως εἶδος προχειριζομένης τῆς μνήμης, καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαςῶς γλυκεῖα τῶν ἱερῶν σου λογίων ἠχώ· σὺ δὲ ἡμῖν εἰ περ οὐχ οὕτως ἔχεις, ἀδικεῖς· εἰ δὲ ἔχεις, οὐ μέγα ποιεῖς· ἀποδίδως γὰρ διαθέσεως ὄφλημα. ὅταν δὲ πρὸς τὴν ἐν φιλοσοφίᾳ κοινωνίαν ἀπίδω, καὶ φιλοσοφίαν ἐκείνην, περὶ ἧς πολλὰ συγκεκύφαμεν, ἐνταῦθα ἤδη τοῦ λογισμοῦ γινόμενος, Θεῷ βραβευτῇ τὴν συντυχίαν ἡμῶν ἀνατίθημι· οὐ γὰρ

(η) Α᾽ντὶ τοῦ, οὗτοί τε οἱ μελιττεργοὶ σεμνύνουσι, καὶ ἡ ξυνωρὶς κτ᾽: ἦσαν, ὡς ἔοικε, δύω τινὲς Πλούταρχοι ἑκάτεροι ὁμωνυμούμενοι, οἱ τὰ ςαμνία τοῦ μέλιττος ἐκ μεταπράσεως ὤνια ἐν τῇ ἀγορᾷ παρατιθέμενοι, οὓς εἰρωνικῶς σοφοὺς καλεῖ, ὡς ὁμωνύμους Πλουτάρχου Α᾽θηναίου, τοῦ τῆς ἐν Α᾽θήναις φιλοσόφου σχολῆς προεςῶτος· ὃς τῇ φήμῃ τῶν λόγων συνῆγεν ἐν τοῖς θεάτροις τοὺς νέους. ἐν ἄλλοις δὲ γράφεται τῶν σοφιςῶν Πλουταρχείων.

γὰρ ἂν ἀπ᾽ ἐλάττονος ἢ θείας αἰτίας Συνέσιος, ὁ τὸ πρᾶγμα (α) ἥκιστα δημοσιεύων, καὶ πλείστοις μὲν συνών, ἐπ᾽ ἀνθρωπικαῖς δὲ κοινωνίαις τὰς συνουσίας ποιούμενος, φιλοσοφίαν δὲ ἐν ἀῤῥήτων ἀῤῥητοτάτοις ἔχων (β), οὕτω προχείρως ἐμαυτόν τε καὶ τὰ ἐμαυτοῦ κτήματα ἀνεκάλυψα ἀνδρὶ (γ) κατὰ βραχὺ δόντι μοι καὶ λαβόντι τὸν λόγον. ἐπεὶ δ᾽ οὖν γέγονέ τις οὗτος, περὶ ὃν ἐξωρχησάμην τὰ τέως ἀνέκπυστα, καὶ τῆς σοφῆς τοῦ Πρωτέως ἐπελαθόμην τέχνης (δ)· οὐ γὰρ ἄλλη τις ἦν, ἢ συνεῖναι τοῖς ἀνθρώποις οὐ θείως (ε), ἀλλὰ πολιτικῶς· ἐπεὶ γέγονε τοῦτο, οὐ προθεμένης μοι τῆς γνώμης, ἀλλ᾽ ἀκατασκεύαστον (ζ) ἄφνω παρελθόν, ἐγὼ Θεὸν ἡγεμόνα τοῦ παραδόξου λογίζομαι, παρ᾽ οὗ τέλος (η) αἰτήσομεν τῶν δι᾽ αὐτὸν ἠργμένων, καὶ δοίη μετ᾽ ἀλλήλων φιλοσοφεῖν· εἰ δὲ μὴ τοῦτο (θ), πάντως φιλοσοφεῖν. ὡς ἔγωγε ἐνόντας μοι τινὰς τῇ ψυχῇ λόγους περὶ τῆς ὑποθέσεως, ἣν ἐπραγματευόμεθα, καταχέαι μὲν ὠδίνω τῆς ἐπιστολῆς, οὐ μὴν τοῦτο ποιήσω· σοὶ γὰρ ἂν κατὰ Θεὸν γένοιτο συγγενέσθαι καὶ ἡμῖν περὶ τούτων, καὶ πολλοῖς ἄμεινον εἰδόσιν· ἐμοὶ δὲ οὐ καλῶς ἔχει γραμματίῳ πιστεύειν τὰ τοιάδε· τὸ γὰρ τῆς ἐπιστολῆς πρᾶγμα, οὐκ ἐχέμυθον, ἀλλὰ φύσιν ἔχει τῷ περιτυχόντι προσδιαλέγεσθαι. ἔῤῥωσο, καὶ φιλοσόφει, καὶ διατέλει τὸ ἐν ἡμῖν ἀνακεχωσμένον ὄμμα ἀνορύττων· τὸ γάρ τοι βιοῦν ὀρθῶς, ἅτε ὄν, οἶμαι, προοίμιον (ι) τοῦ φρονεῖν, ὑπὸ τῶν ἀρ-

χαί-

(α) Πρᾶγμα καὶ κτήματα, ἅπερ φησὶ παρακατιών, τὰ τῆς φιλοσοφίας λέγει ὄργια. (β) Αἱ μετοχαὶ ἀναφορικαί εἰσι. (γ) Τὸν Ἑρκουλιανὸν ἐννοεῖ. (δ) Τοῦ κρύπτειν δηλ: τἀμὰ φρονήματα, καὶ συμμορφοῦσθαι ταῖς ἕξεσι τῶν προσομιλούντων μοι, μεταβαλλόμενος πρὸς πᾶν ἦθος, ὡς ὁ Πρωτεὺς πρὸς πᾶν εἶδος καὶ χρῆμα. (ε) Οὐκ ἀνυποκρίτως, ἀσκήνως, ἀλλ᾽ ὑποκριτικῶς, μιμηλῶς. (ζ) ἀπρομελέτητον, ἀπροβούλευτον, παρ᾽ ἐμὴν πρόθεσιν. (η) Τέλος τῆς διὰ τὸν Θεὸν ἠργμένοις φιλοσοφίας, κατὰ τὸν πέμπτον αὐτῆς ὁρισμόν, ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. (θ) Τὸ μετ᾽ ἀλλήλων φιλοσοφεῖν (ι) Μέσον, ὁδὸς, καὶ ἐπίβασις τῆς θεωρητικῆς φιλο-

χαίων καὶ φρονίμων ἀνδρῶν σπουδάζεσθαι κατεδείχθη· μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι, φησὶν οὐ θεμιτὸν ἡ θεσπεσία φωνή. οἱ πολλοὶ δὲ οὐ διὰ τὸ φρονεῖν, ἀλλ' αὐτὸ δι' αὐτὸ, καὶ τελειότητα ἀνθρωπίνην (κ) ἥγηνται τὸ βιοῦν ὀρθῶς, τὴν ὁδὸν οὐχ ὁδὸν (λ), ἀλλ' ἐφ' ὃ δεῖ δι' αὐτῆς φθάσαι νομίζοντες, κακῶς φρονοῦντες. σωφροσύνη γὰρ ἄλογος (μ), καὶ ἀποχὴ κρεωδαισίας, πολλὴ παρὰ πολλοῖς ἀλόγων εἴδεσιν ἐνδέδοται παρὰ τῆς φύσεως· ἀλλ' οὐκ ἐπαινοῦμεν οὔτε κορώνην, οὔτ' ἄλλο τὶ τῶν εὑραμένων φυσικὴν ἀρετὴν, ὅτι φρονήσεως ἔρημα· ἡ δὲ κατὰ νοῦν ζωὴ (ν), τέλος ἀνθρώπου. ταύτην μετίωμεν, θεόθεν τε αἰτοῦντες θεῖα φρονεῖν, καὶ αὐτοὶ, τὸν δυνατὸν τρόπον, τὸ φρονεῖν ἁπανταχόθεν συλλέγοντες.

Τῷ αὐτῷ. 138.

Ἤκουσά του τῶν δεινῶν λέγειν ἀνδρὸς (α) ἐπαινοῦντος χρείαν ἐπιστολῆς· καὶ τοῦτ' αὐτὸ τῶν πολλῶν καὶ θαυμαστῶν λόγων σοφιστὴς ὑπόθεσιν ἐπεποίητο. ἐχορηγεῖτο δὲ αὐτῆς τὸ ἐγκώμιον πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δὲ ἀπὸ τοῦ δύνασθαι τὴν ἐπιστολὴν ἐρώτων οὐκ εὐτυχούντων εἶναι παραμυθίαν (β), παρεχομένην ἐν ἀπουσίᾳ σωμάτων φαντασίαν τῆς παρουσίας, καὶ τῷ δοκεῖν προσδιαλέγεσθαι, ψυχῆς (γ) ἐκπιμπλᾶσαν τὸ ἐφιέμενον. ταῦτα οὖν ἀνυμνεῖ τὸν εὑρετὴν τῶν γραμμάτων· καὶ ἀνθρώπου μὲν οὐδενὸς ἠξίου, Θεοῦ δὲ εἰς ἀνθρώπους εἶναι τὴν δόσιν. ἐγὼ μὲν οὖν ἀπολα-

---

σοφίας· πρᾶξις γὰρ ἐπίβασις θεωρίας· δι' ὃ καὶ τὸ φρονεῖν ὧδε ἀντὶ θεωρίας εἴληπται. (κ) Τέλος δι' ὃ ἐγένετο ὁ ἄνθρωπος. (λ) Τὸ μέσον οὐ μέσον. (μ) Ἡ δίχα φρονήσεως γιγνομένη καὶ ἄνευ τινὸς τέλους ἕνεκα. (ν) Ἡ τῶν ὄντων ἢ ὄντα θεωρός.

(α) Ὃν ἐχομένως σοφιστὴν, εἶτ' οὖν ῥήτορα καλεῖ. (β) Τῶν γὰρ ἀντερώντων οἱ ἀπόντες τὴν τοῦ ἔρωτος ἀποτυχίαν διὰ τῶν πρὸς ἀλλήλους ἐπιστολῶν παραμυθοῦνται. (γ) Τῆς τοῦ ἐρωμένου ἐμπιπλῶσαν τὸν ἐρῶντα.

λαύω τῆς ἱερᾶς τῆς δὲ τοῦ Θεοῦ χάριτος, καὶ πρὸς ὃν ἔδει λαλεῖν, εἰ μὴ δύναμαι λαλεῖν (δ), ἀλλ' ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ, καὶ κατὰ τὸ ἐνδεχόμενον σύνειμι, καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν· αὐτὸς δὲ, εἰ μὴ πικρὸν εἰπεῖν, συνδιέστησας καὶ τῷ τόπῳ τὴν γνώμην· κἂν μὴ παύσῃ σαυτὸν ἀφέλκων τῶν ἀδολώτατα καὶ ἀσκιώς (ε) ἠγαπηκότων, ἐμιμήσω τὰς χελιδόνας, αἳ ταῖς τῶν ἀνθρώπων οἷον φιλίαις ἐνοικίζονται μὲν μετὰ τοῦ φθέγγεσθαι, σιωπῶσαι δὲ ἐξοικίζονται. ταῦτα πρὸς ἄνθρωπον ἔτι (ζ), καὶ ἀνθρωπικὰ τὰ ἐγκλήματα (η)· εἰ δὲ ἴσως διὰ φιλοσοφίας τὰ δεῦρο διεστῶτα (θ), καὶ φίλον μὲν τὸ καλὸν, καλὸν δὲ τὸ αὐ-

(δ) Ὡς ἀπόντα. (ε) Ἀνυποκρίτως· σκηνὴ γὰρ ἡ ὑπόκρισις.

(ζ) Τὸν οὔπω τέως ἓν καὶ μόνον καλὸν καὶ φιλητὸν τὸ ὄντως ὂν εἰδότα, ἀλλὰ καὶ τοὺς φίλους μετ' αὐτοῦ, ἢ μετ' αὐτὸ καλὸν καὶ φιλητὸν, ἀνθρωπίνως ἡγέμενον, εἶθ' ὑπερορῶντα αὐτῶν. (η) Καὶ τὰ ἐγκλήματα ἀνθρώπου ἀνθρώπινα τέως φρονοῦντος· οὐ γὰρ θεόφρονος οὐκ ἂν εἴη ἔγκλημα ὑπεροψίας ἡ αὐτοῦ πρὸς τοὺς φίλους σιωπὴ, κατὰ Συνέσιον μέν γε· σκοπεῖν δὲ εἰ πάντως ἀνέγκλητος ἡ τῶν τὸ μοναδικὸν μόνον φίλον φιλούντων πρὸς τοὺς φίλους σιωπή· ὁ γὰρ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ· φιλοθεαδέλφων δὲ τά τε ἄλλα, ἔτι μὴν καὶ τὸ παρακαλεῖν ἀλλήλους ἐν τοῖς περὶ τοῦ μοναδικοῦ φιλητοῦ λόγοις. (θ) Τῶν δεῦρο διεστώτων διπλῆ τίς ἐστιν ἡ ἔννοια· ἡ μὲν, τῆς κοινῆς δόξης καὶ τοῦ ὀρθοῦ λόγου, ἡ δὲ, Πλατωνικὴ, καθ' ἣν μάλιστα πλατωνίζων κἀνταῦθα ὁ Συνέσιος, ἐξείληφε τὰ δεῦρο διεστῶτα. κατὰ μὲν γὰρ τὸν ὀρθὸν λόγον, τό,τε λογικὸν καὶ τὸ ἄλογον μέρος τῆς ἀμεροῦς ψυχῆς, (λέγω δὴ ἄλογον μὲν, τό,τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν, καὶ ἁπλῶς τὸ παθητικόν· λογικὸν δὲ, τὸν ἡγεμόνα καὶ ἀπαθῆ νοῦν·) διεστήκασιν ἀπ' ἀλλήλων καθ' ὃ ἰδίᾳ τε καὶ καθ' ἑαυτὰ, καὶ ὡς εἰπεῖν ἀσυγκαταθέτως ἀλλήλοις θεωρούμενα, φύσει ἐναντιοφρονοῦσιν ἀλλήλοις περὶ τὸ φιλητόν· ὅτι γὰρ φίλον μὲν τὸ καλὸν ᾗ καλὸν, καλὸν δὲ τὸ φίλον, ᾗ φίλον· καὶ ὅπερ ἐστὶ καλὸν, τοῦτο καὶ φίλον, καὶ ὅπερ φίλον, τοῦτο καὶ καλὸν, ξυμφάσκουσι ταύτῃ γε ἑκάτερα· διαφέρονται δὲ παρ' ὅσον οἴδασιν ὁ μὲν νοῦς, ἓν καὶ μόνον τὸ καλὸν, εἴτ' οὖν φιλητὸν, αὐτὸ τὸ τῶν ὀρεκτῶν ἔσχατον καὶ ἀκρότατον, φημὶ δὴ τὸ θεῖον· τὸ δὲ παθητικὸν, οὐχὶ ἓν, ἀλλὰ πολλὰ, καὶ τοσαῦτα, ὅσα καὶ τὰ τῶν αἰσθήσεων ἀντικείμενα, ὁρατά φημι, ἀκουστὰ, ὀσφραντὰ, γευστὰ, ἁπτὰ, καὶ ἁπλῶς τὰ δοκοῦντα ἀγαθὰ, ὧν εἰσι καὶ τὰ τῶν φίλων

αὐτό· τοῦτο δὲ ἓν ὂν τοῦ νοῦ λέγοντος ἤκουσας, οὐκέτι κρίνομεν ὑπεροψίαν τὴν πρὸς ἡμᾶς σιωπήν, ἀλλὰ συνηδόμεθα φιλοσοφοῦντι, καὶ παραιτουμένῳ μὲν τὸ μικροπρεπεύεσθαι, συνόντι δὲ τῷ παρὰ σοὶ κρείττονι, τοῖς ἐν ἡμῖν κρείττοσιν. εἴης τοιοῦτος ἀνδρῶν ἄριστε, καὶ ἐμοὶ τριπόθητε ὄντως ἀδελφέ.

Τῷ

παιδικά, περὶ ὧν μάλιστα ὁ λόγος ὧδε τῷ Συνεσίῳ· εἴγε καὶ οἱ φίλοι τοῦ ἡδέος, ἢ καὶ τῆς χρείας ἕνεκά εἰσι καλοί τε καὶ φιλητοί, ὧν ἑκάτερα τοῦ παθητικοῦ, εἴτ' οὖν ἐπιθυμητικοῦ τῆς ψυχῆς, καὶ ἁπλῶς τῶν δοκούντων ἀγαθῶν τυγχάνει. Ἑνοῦται δὲ ἀλλήλοις, τοῦ χείρονος διὰ λόγου καὶ θεωρίας ὑποταγέντος τῷ κρείττονι οὕτως, ὥστε κἀκεῖνο τῶν καὶ πολλῶν καὶ δοκούντων ἀγαθῶν τὸ ὂν ἓν ὂν ἀνθαιρεῖσθαι, τοῖς δοκοῦσιν, εἴποι παρῇ, χρώμενον οὐ καταχρώμενον. ὅ γε μὴν Συνέσιος οὐχ οὕτως εἴληφε τὰ δεῦρο διεστῶτα, ἀλλὰ τόν τε ἐν ἡμῖν θεοειδῆ νοῦν, καὶ τὴν τούτου παραδειγματικὴν ἐν τῷ Θεῷ ἰδέαν· τιθεὶς γὰρ ἰδέας ἐν τῷ Θεῷ πλατωνικῶς παραδείγματα τῶν γεγονότων, ἃς καὶ πρωτογόνους καλεῖ, ἑπομένως ἐτίθη ὥσπερ τῆς ψυχικῆς ἀνδρείας ἐν τῇ ἑξῆς ἐπιστολῇ, οὕτω καὶ τοῦ ἐν ἡμῖν ψυχικοῦ νοὸς ἰδέαν παραδειγματικήν, ἣν καὶ πρωτόγονον θεῖον ἐν τῇ ἑξῆς ἐπιστολῇ καλεῖ, καὶ ἀρχέγονον ἐν τῇ μετ' αὐτήν, ὡς πρὸ τοῦ ἡμετέρου νοὸς ἐν τῷ Θεῷ παράδειγμα τούτου γεγονυῖαν. Εἰ τοίνυν, φησί, τὸν ἐν σοὶ νοῦν, τὸν διὰ τὴν πρὸς τὸ παθητικὸν τῆς ψυχῆς ἀφιλόσοφον προσπάθειαν διεστηκότα τοῦ πρωτογόνου θεοειδοῦς νοός, ἥνωσας διὰ φιλοσοφίας αὐτῷ, ἀπορρήξας δι' αὐτῆς τὸ ἐν σοὶ κρεῖττον τῆς πρὸς τὸ χεῖρον σχέσεως, ἢ τὸ χεῖρον καθυποτάξας τῷ κρείττονι, ὥστε τῶν μὲν δοκούντων ἓν ἐξ ἓν, ἓν δὲ καὶ μόνον, εἴτ' οὖν μοναδικὸν εἰδέναι τὸ καλόν τε καὶ φιλητόν, ὅ,σοι ὁ ἡγεμονεύων ἐν σοὶ νοῦς, ἑνωθεὶς δηλονότι τῷ πρωτογόνῳ νοΐ, ὑπαγορεύει, καὶ τῆς τοῦ ἑνὸς τούτου καλοῦ τε καὶ φιλητοῦ μεγαλοπρεποῦς φιλίας περιεχόμενος, τῆς πρὸς ἐμὲ ὡς μικροπρεποῦς καὶ ἀνθρωπίνης ἠλόγησας, οὐκέτι σε σιωπῶντα, ὡς ὑπερόπτην ἡμῶν μεμφόμεθα, ἀλλὰ καὶ συνηδόμεθά σοι φιλοσοφοῦντι. εἶθ' ἑρμηνεύων ὅπως φιλοσοφεῖ, ἐχομένως ἐπάγει, ὅτι παραιτεῖται μὲν τὴν πρὸς τὸν Συνέσιον δι' ἐπιστολῶν ὁμιλίαν ὡς μικροπρεπῆ, ὁμιλεῖ δὲ διὰ τοῦ ἐν αὐτῷ κρείττονος, εἴτ' οὖν τοῦ νοὸς τοῖς ἐν φιλοσόφοις κρείττοσι, τοῖς περὶ Σωκράτη τυχόν, καὶ Ἀριστοτέλη, καὶ Πλάτωνα, ἀνάγων δι' ὧν ἐκεῖνοι ἐφιλοσόφησαν τὸ ἐν αὐτῷ θεῖον ἐπὶ τὸ πρωτόγονον θεῖον, τὴν τοῦ ἐν αὐτῷ δηλαδὴ θείου ἀπαθῆ ἰδέαν.

*) Τῷ αὐτῷ. 139.

Εἰ τοσοῦτόν ἐστι κέντρον πειθοῦς ἐν τοῖς γράμμασιν, εἰ τοσοῦτον αἱ τῶν ἠθῶν εἰκόνες (α), τῆς ζώσης χηρεῦσαι συμπαθείας καὶ χάριτος (β), θέλκτρον ἐνιᾶσι τοῖς ἀναγινώσκουσιν· ἦπου πρᾶγμα ἄμαχον ἂν εἴη (γ), τὸ αὐτοπροσώπως αὐτῆς (δ) ἐπαφήσασθαι. ἐμὲ γέ τοι καὶ παρὼν μὲν ἥρεις τῇ γλυκείᾳ Σειρῆνι τῶν λόγων, οὐ μὴν αἰσχυνθείην ἀληθῆ λέγων, ὡς ἡδίων ἂν ἡ δευτέρα μοι πεῖρα γένοιτο (ε)· οὐ γὰρ ἂν γένοιτο ἀγαθοῦ παρόντος, ὥσπερ ἀπόντος, τῷ πεπειραμένῳ συναίσθησις· τοῦ μὲν γὰρ, ἡ συνέχεια τῆς ἀπολαύσεως κλέπτει τῆς εὐφροσύνης τὴν αἴσθησιν· ὁ δὲ κατὰ μικρὸν χωρισθεὶς τῶν ἡδέων, εὐθὺς ἔχει κεντοῦσαν ἐκ παραλλήλου (ζ) τὴν μνήμην, οἵων ἄρα ὄντως στερίσκεται! ἔλθοις οὖν (η), φιλτάτη κεφαλὴ, καὶ ἀλλήλοις ἐπὶ φιλοσοφίᾳ συγγηροίμεθα, τοῖς ἐνηργμένοις (θ) πρέποντα ἐποικοδομοῦντες, ἵν' ἐκ τελέων (ι) τέλεον ἐκφανῇ κάλλος, ἀλλὰ μὴ κολοβόν· εἰ δὲ, ὅπερ ἀπεύχεσθαι δίκαιον, ἀλλήλων διαμάρτοιμεν, δῆλον ὡς τοὐμόν ἐστι (κ) τὸ βλαπτόμενον· σοὶ μὲν γὰρ εὐτυχούσης ἐνθάδε πολυανδρίαν παιδείας, συνέσονται πολλοὶ Συνεσίου καὶ βελτίους, καὶ ὅμοιοι

*) Ὀνειδισθεὶς ὁ Ἐρκουλιανὸς ἐν τῇ ἀνωτέρᾳ ἐπιστολῇ, ὡς εἴη τῷ τόπῳ καὶ τὴν γνώμην συνδιαστήσας, ἀντέγραψε τῷ Συνεσίῳ ἄλλα τε ὡς εἰκὸς τῶν κοινῶν παιδικῶν, καὶ ὡς αἱρετῇ ἐλθὼν ξυνεῖναί τε καὶ ξυμφιλοσοφεῖν τῷ Συνεσίῳ· ὅθεν καὶ ὁ Συνέσιος ἀπαντῶν, φησίν· Εἰ τὰ σὰ γράμματα οὕτω θελκτικὰ πρὸς τὴν σὴν ἀγάπην, ὁποία ἂν γένοιτο ἡ παρουσία σου; ἔλθοις οὖν κτλ.

(α) Τὰ ἐπιστολιμαῖα γράμματα. εἴ γε ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. (β) Ἡ γὰρ σωματικὴ παρουσία ὡς ἔμψυχος, αὕτη μάλιστα πρόξενος καὶ συμπαθείας καὶ χάριτος. (γ) Εἰς λόγον συμπαθείας καὶ χάριτος. (δ) Τῶν ἠθῶν ἄψασθαι, πειραθῆναι. (ε) Τῆς παρουσίας σου. (ζ) Κατὰ συνέχειαν, ἀδιακόπως, ἀδιαλείπτως. (η) Ὡς μοι καὶ προέγραψας. (θ) Τῇ φιλοσοφίᾳ, ἧς ἑκάτεροι ἠρξάμεθα, τὸ ταύτης τέλος ἐποικοδομοῦντες, ὅπερ ἐστὶν ὁμοίωσις Θεῷ, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. (ι) Σὺν ἀλλήλοις τελειουμένων, εἴ γε εἷς ἀνὴρ οὐδεὶς ἀνήρ· ἀγαθοὶ δὲ οἱ δύω ὑπὲρ τὸν ἕνα. (κ) Μέρος, ἐγὼ δηλαδή.

ὅμοιοι· ἡ δὲ πατρὶς, ὅτι μὲν πατρὶς, ἐμοὶ τίμιον· πρὸς δὲ φιλοσοφίαν, οὐκ οἶδ' ὅν τινα τρόπον ἀπεσκληκότως ἔχει. ἔστιν οὖν οὐκ ἀδεὲς ἀβοηθήτῳ μένειν, οὐκ ὄντος τοῦ συγκορυβαντιῶντος (λ). εἰ δὲ δὴ καὶ δοίημεν εἶναί τινας, πῶς ἂν ἔπειτ' Ὀδυσσῆος ἐγὼ θείοιο λαθοίμην; πρὸς ποῖον ἄλλο πυρίον (μ) παρατριβεὶς, μετὰ τὴν ἱερὰν σου ψυχὴν, ἀποτέκοιμι τοῦ νοῦ φωτοειδὲς ἔγγονον; τίς οὕτως οἷος σφοδρῶς σπινθῆρα κεκρυμμένον, καὶ ἀγαπῶντα λανθάνειν μηχαναῖς ἁπάσαις ἐκκαλέσασθαι, καὶ ἐξάψαι, καὶ πῦρ λαμπρὸν ἀναδεῖξαι; Θεὸς οὖν ἀμφοῖν ἀποῦσί τε καὶ συνοῦσι παρείη· Θεοῦ δὲ παρόντος, ἅπαν ἄπορον πόριμον. ἔρρωσο, καὶ φιλοσόφει, καὶ τὸ ἐν σαυτῷ θεῖον ἄναγε ἐπὶ τὸ πρωτόγονον θεῖον (ν). καλὸν ἀνὰ πᾶσαν ἐμὴν ἐπιστολὴν, τοῦτο παρ' ἐμοῦ τῇ τιμίᾳ σου διαθέσει λέγειν, ὅ φασι τὸν Πλωτῖνον (ξ) εἰπεῖν τοῖς παραγινομένοις, ἀναλύοντα τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.

*) Τῷ αὐτῷ. 140.

Τῶν ἐρώτων οἱ μὲν χαμαὶ ἐρχομένας καὶ ἀνθρωπικὰς τὰς ἀρχὰς (α) ἔχοντες, ἀπεχθεῖς τέ εἰσι (β) καὶ ἐξίτηλοι (γ) τῇ πα-

---

(λ) Ξυμφιλοσοφοῦντος. (μ) Τῷ ι, γραπτέον, προσηγορικὸν οὐ περιεκτικὸν ὄν· πυρίον μὲν γὰρ ὁ πυρίτης λίθος, πυρεῖον δὲ τῇ διφθόγγῳ, τὸ θυμιατήριον. ὁ δὲ πυρεκβόλος σίδηρος παρατρίβεται οὐ πρὸς τὸ θυμιατήριον, ἀλλὰ πρὸς τὸν λίθον. (ν) Ὃ καὶ ἀρχέγονον ἐν τῇ ἑξῆς ἐπιστολῇ ἐρεῖ. ἐννοεῖ δὲ τὰς τῶν ἀρετῶν παραδειγματικὰς ἐν τῷ Θεῷ ἰδέας πλατωνικῶς. (ξ) Τῇ ἱερᾷ νόσῳ κατεργασθέντα.

*) Τοῦ Ἑρκουλιανοῦ δεινοπαθοῦντος ἐφ' οἷς ἐκωλύθη ὑπὸ τῆς τύχης πληρῶσαι ἅ περ προείλετο, ἣν, φημὶ, ὑπέσχετο μετὰ Συνεσίου ἐπὶ φιλοσοφίᾳ ξυμβίωσιν, ὁ Συνέσιος παραμυθούμενος αὐτὸν, οἱ κατὰ Θεὸν, φησὶν, ἀντερῶντες, οὐδὲν ἧττον κἂν τῇ τῶν σωμάτων ἀπουσίᾳ ταῖς τῶν ψυχῶν ἀῤῥήτοις εἴτ' οὖν ἀοράτοις συνόδοις σύνεισιν.

(α) Ἀρχαὶ, εἴτ' οὖν αἴτια χαμερπῆ τῶν ἐν ἀνθρώποις ἐρώτων, ὡς ἁπλῶς εἰπεῖν, δύω τινά εἰσιν, ἥ τε χρεία, καὶ τὸ ἡδὺ, οὗτινός ἐστι καὶ ἡ τῶν σωμάτων ὥρα. (β) Μετὰ τὴν ἀπόλαυσιν προσκορεῖς γινόμενοι. (γ) Οὐ δευσο-

παρουσίᾳ μόνῃ (δ) καὶ μόλις μετρούμενοι· οἷς (ε) δὲ ὁ ἐφεστὼς (ζ) βραβεύει Θεὸς, κατὰ τὴν θεσπεσίαν Πλάτωνος φωνὴν συστήξας τῇ τέχνῃ, καὶ ἕνα ἄμφω ποιήσας τοὺς ἀντερῶντας, οὗτοι (η) καὶ χρόνου καὶ τόπου φύσιν ἐλέγχουσιν (θ)· οὐδὲν γὰρ ἐμποδὼν ψυ-

χαῖς

ποιοὶ οὐδὲ δυσέκνιπτοι, ἀλλ' εὐαπάλλακτοι. (δ) Τῶν ἀρχῶν, τῆς χρείας λέγω, ἢ τοῦ ἥδοντος ὑφιστάμενοι. (ε) Ἀντερῶσιν. (ζ) Οὗτος ὁ τοῦ ἔρωτος ἀρχηγὸς, τοῦτ' ἔστιν οἱ δὲ ἀντερῶντες ἀλλήλων οὐ διά τινα τῶν εἰρημένων ἀνθρωπικῶν ἀρχῶν, ἀλλὰ δι' αὐτὸν τὸν Θεόν. (η) Οἱ οὕτως ἀντερῶντες ἀλλήλων. (θ) Ἀνίσχυρον. Ἰστέον δὲ ὅτι ἐν ἑλληνισμῷ ἔτι γεγραφὼς ὁ Συνέσιος τὰς πρὸς Ἑρκουλιανὸν ἐπιστολὰς, ὥσπερ τἆλλα ἐν αὐταῖς πλατωνίζει, οὕτω καὶ τὴν Πλάτωνος περὶ τῶν ἀντερώντων καταγέλαστον τερατολογίαν θεσπεσίαν ὀνομάζει φωνήν. ἐν γὰρ τῷ Συμποσίῳ ὁ Πλάτων εἰσάγει τὸν Ἀριστόδημον λέγοντα, ὡς τοπρῶτον οὐχ ὥσπερ νῦν δύω μόνα ἦν τὰ γένη τῶν ἀνθρώπων, ἄρσεν καὶ θῆλυ, ἀλλὰ καὶ τρίτον προσῆν, καὶ εἶδος καὶ ὄνομα ἀνδρόγυνον, ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος· νῦν δὲ ἐξέλιπεν ἐν ὀνείδει μόνον ὄνομα κείμενον. ἦν δὲ τοῦ ἀνδρογύνου τούτου ἀνθρώπου ὅλον τὸ εἶδος στρογγύλον, νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον, χεῖρας τέσσαρας, σκέλη ταῖς χερσὶν ἴσα, πρόσωπα δύω ἐπ' αὐχένι κυκλοτερεῖ ὅμοια πάντῃ, κεφαλὴν ἐπ' ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις κειμένοις μίαν, ὦτα τέτταρα, αἰδοῖα δύω, καὶ τἆλλα πάντα ὡς ἀπὸ τούτων ἄν τις εἰκάσειεν. ἐπορεύετο δὲ ὀρθὸν ὥσπερ νῦν, καὶ ὁποτέρωσε βουληθείη. δραμεῖν δὲ δεῆσαν, ὀρθὰ τὰ ἐναντία σκέλη, ὥσπερ οἱ κυβιστῶντες περιέφερε. τὸ δὴ τοιοῦτο γένος ἀνυπόστατον τὴν ἰσχὺν ὄντες, ἐπεχείρησαν ὑπὸ φρονήματος καὶ αὐτοῖς τοῖς Θεοῖς ἐπιθέσθαι, καὶ, ὃ λέγει Ὅμηρος περὶ Ἐφιάλτου καὶ Ὤτου, ὡς εἰς τὸν οὐρανὸν ἐπεχείρησαν ἀναβῆναι, περὶ αὐτῶν εἴρηται. ὁ δὲ Ζεὺς κεραυνῶσαι μὲν αὐτοὺς ὥσπερ τοὺς Γίγαντας οὐκ ἐδικαίωσεν, ἵνα μὴ ἐπιλίπωσιν αἱ παρ' αὐτῶν τιμαί τε καὶ τὰ ἱερά· παῦσαι δὲ τῆς ὕβρεως αὐτοὺς, καὶ ἀσθενεστέρους ποιῆσαι διανοηθεὶς, διέτεμεν αὐτοὺς δίχα ἕκαστον, ὥστε βαδίζειν αὐτοὺς ἐπὶ δυοῖν σκελοῖν. ἐπεὶ δὲ ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαστον τὸ ἥμισυ τὸ αὐτοῦ, ξυνείη, καὶ περιβάλλοντες τὰς χεῖρας καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες συμφῦναι, ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας, διὰ τὸ μηθὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν· καὶ ὁπότε τι τῶν ἡμίσεων ἀποθάνοι, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπλέκετο, εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει, ὃ δὴ νῦν γυναῖκα καλοῦμεν, εἴτε ἀνδρὸς, καὶ οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς, μετατίθησι τὰ αἰδοῖα αὐτῶν εἰς τὸ ἔμπροσθεν

χαῖς ἐφιεμένους ἀλλήλων, ἀῤῥήτοις συνόδοις ὁμόσε χωρεῖν καὶ συμ-

---

(ἐν γὰρ τῇ διχοτομίᾳ τοῦ τε προσώπου καὶ τοῦ ἡμίσεως τοῦ αὐχένος μεταστραφέντος πρὸς τὴν τομὴν, ἵνα θεώμενος τὴν αὐτοῦ τμῆσιν, κοσμιώτερος εἴη ὁ ἄνθρωπος, τὰ αἰδοῖα τέως ἐκτὸς εἶχον, καὶ ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλλήλους, ἀλλ᾽ εἰς γῆν ὡς οἱ τέττιγες) καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησε διὰ τοῦ ἄῤῥενος ἐν τῷ θήλει. οὕτως οὖν ἄνωθέν ἐστιν ὁ ἔρως τοῖς ἀνθρώποις, καὶ τῆς ἀρχαίας φύσεως συναγωγεὺς, καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν, καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου ξύμβολον, ἅτε τετμημένος ὥσπερ αἱ ψῆτται ἐξ ἑνὸς δύω· ζητεῖ δὲ τὸ ἑαυτοῦ ἕκαστον ξύμβολον. τῶν μὲν οὖν τοῦ κοινοῦ, ὃ δὴ τότε ἀνδρόγυνον ἐκαλεῖτο, τμημάτων, ὅσοι μὲν ἄνδρες, φιλογύναιοί εἰσιν· ὅσαι δ᾽ αὖ γυναῖκες, φίλανδροι· ἑκατέρου δ᾽ αὖ τῶν ἑτερογενῶν τμημάτων (ὑποτμηθέντος, ὡς ἔοικεν, εἰς ὁμογενῆ τμήματα) ὅσαι μὲν τῶν γυναικῶν γυναικὸς τμῆμά εἰσι, φιλάλληλοι μᾶλλόν εἰσι καὶ γυναικομανεῖς, ἢ φίλανδροι· ὅσοι δὲ ἄῤῥενος τμῆμά εἰσι, φιλανδροί τέ εἰσι καὶ παιδερασταὶ, εἴτ᾽ οὖν ἀῤῥενομανεῖς, ἑκατέρου τμήματος τὸ συγγενὲς ἀσπαζομένου, οὐκοῦν ἐπ᾽ ἀφροδισίοις τοσοῦτον, ἀλλ᾽ ὥστε μᾶλλον κατὰ τὴν ἀρχαίαν φύσιν εἰς ἓν ἐλθεῖν· ὅπερ βουλομένη ἑκατέρου ἡ ψυχὴ, εἰπεῖν οὐ δύναται, ἀλλὰ μαντεύεται ὃ βούλεται, καὶ αἰνίττεται τῷ τῶν ὁμογενῶν τμημάτων πρὸς ἄλληλα ἔρωτι, καὶ τῇ μετ᾽ ἀλλήλων ὁμοῦ διαβιώσει. Καὶ εἰ αὐτοῖς ὁμοῦ κατακειμένοις ἐπιστὰς ὁ Ἥφαιστος ἔχων τὰ ὄργανα, ἔροιτο, τί ἐσθ᾽, ὃ βούλεσθε, ἄνθρωποι, ὑμῖν παρ᾽ ἀλλήλων γενέσθαι; ἆρα ἐν τῷ αὐτῷ γενέσθαι μάλιστα ἀλλήλοις, ὥστε νύκτωρ καὶ μεθ᾽ ἡμέραν μὴ ἀπολείπεσθαι ἀλλήλων; εἰ γὰρ τούτου ἐπιθυμεῖτε, ἐθέλω ὑμᾶς συντῆξαι καὶ συμφύσαι εἰς τὸ αὐτὸ, ὥστε ἐκ δυοῖν ἕνα εἶναι κοινῇ ἀμφοτέρους, καὶ ζῶντας ἐνταῦθα, καὶ τεθνεῶτας ἐν ᾅδου, εἰ ταῦτα, φημὶ, ὁ Ἥφαιστος ἔροιτο, πᾶς τις ἀκούσας, οὐδὲν ἂν οἴοιτο ἀκηκοέναι, ἀλλ᾽ ἢ ὃ πάλαι ἐπεθύμει, συνελθὼν καὶ συντακεὶς τῷ ἐρωμένῳ ἐκ δυοῖν εἷς γενέσθαι, κατὰ τὴν ἀρχαίαν ἡμῶν φύσιν, καθ᾽ ἣν ἓν ἦμεν καὶ ὅλοι, νυνὶ δὲ διὰ τὴν ἀδικίαν διχοτομηθέντες διῳκίσθημεν. τῇ γοῦν τοῦ ὅλου ἐπιθυμίᾳ καὶ διώξει, ἔρως ὄνομα. Ταῦτα μὲν δὴ συνεπτυγμένως τὰ τοῦ Πλάτωνος περὶ τῶν ἀντερώντων συμποσιακὰ τερετίσματα, ἐξ ὧν καὶ ὁ Συνέσιος ὁρμώμενος, ἄλλον Ἥφαιστον ἐφίστησι τὸν Θεὸν χαλκευτικοῖς οὐκ οἶδα οἷς τισιν ὀργάνοις συντήκοντα καὶ ἑνοποιοῦντα τῶν τῆς ἀνδρογύνου πάλαι φύσεως διχοτομημάτων τὰ ὁμογενῆ τμήματα, τὰ ἀῤῥενικὰ λέγω καὶ τὰ θηλυκὰ, ἑκάτερα πρὸς ἑαυτὰ οὐ πρὸς ἄλληλα, ὡς τῶν ἑτερογενῶν τμημάτων οὐ τῇ τοῦ Ἡφαίστου συντήξει, ἀλλὰ τοῖς εἰς τὸ πρόσθεν μετατεθεῖσιν αἰδοίοις ἀλληλεχομένων.

συμπλέκεσθαι· ἐκεῖθέν ποθεν (ι) ἠρτῆσθαι δεῖ τὸ ἡμέτερον (κ), εἰ μὴ τὰ φιλοσοφίας τροφεῖα (λ) μέλλοιμεν αἰσχύνειν, αἴσθησιν (μ) ἀγαπῶντες, καὶ ὅταν αὐτὴ μὴ ὑπὸ σωμάτων θυροκοπῆται, ψυχῆς παρουσίαν οὐ προσιέμενοι. τί οὖν ποτνιᾷ, καὶ ταῖς ἐπιστολαῖς τῶν δακρύων ἐγχεῖς; εἰ μὲν γὰρ ἡμᾶς ἐλεῶν, ὅτι μήπω φιλοσοφοῦμεν, καὶ ταῦτα (ν) δοκοῦντες καὶ λέγοντες, ἐπιγινώσκω τοῦ θρήνου τὴν ἀλήθειαν· εἰ δ' ὅτι τὴν συνουσίαν ἡμῶν ἠδίκησεν (ξ) ἀγνώμων ἡ τύχη· τοῦτο γάρ σοι τῶν ἐπιστολῶν τὸ βούλημα· θῆλυ καὶ παιδαριῶδες τὸ ταῦτα (ο) ἀγαπᾷν, ἐφ' ὧν δύναται βλάπτειν ὁ δαίμων (π) τὰ τέλη τῶν προαιρέσεων. ἐγὼ δὲ τὴν ἱερὰν κεφαλὴν Ἑρκουλιανὸν, ἠξίουν ἄνω βλέπειν (ρ), καὶ ὅλον εἶναι θεωρὸν τῶν ὄντων, καὶ τὰς τῆς θνητῆς ἀρχῆς τὰς ἀρετὰς (σ) διαβάντα, καὶ πάλαι τὰς ἀπεστραμμένας (τ) καὶ κοσμούσας τὰ δεῦρο· καὶ ὡς πρὸς τοιοῦτόν μοι τῆς ἐπιστολῆς τὸ πρόσρημα (υ), πολ-

(ι) Ἐκ τοῦ ἐφεστῶτος Θεοῦ, καὶ οὐκ ἐκ τῶν ἀνθρωπικῶν ἀρχῶν. (κ) Τὸν ἡμῶν πρὸς ἀλλήλους ἔρωτα. (λ) Τὴν μητέρα καὶ τροφὸν ἡμῶν Φιλοσοφίαν· ἢ τὴν διὰ φιλοσοφίας ἡμῶν ἀγωγήν. (μ) Τὴν σωματικὴν αἴσθησιν ἀγαπῶντες τέρψιν διὰ τῶν ταύτης ἀντικειμένων, εἴτ' οὖν ὑποκειμένων αἰσθητῶν. (ν) Καὶ μάλιστα οἱ καὶ δοκοῦντες τοῖς ἄλλοις, καὶ λέγοντες ὅτι φιλοσοφοῦμεν. (ξ) Ἐκώλυσεν. (ο) Τὴν σωματικὴν συνουσίαν, εἴτ' οὖν παρουσίαν. (π) Ἡ ἀγνώμων τύχη. (ρ) Οὐ τοῖς σωματικοῖς ὀφθαλμοῖς τὸ κῦτος τοῦ οὐρανοῦ, ἀλλὰ τοῖς ψυχικοῖς τὰ ἀεὶ ὡσαύτως ἔχοντα. τὸ δὲ, ὅλον εἶναι θεωρὸν τῶν ὄντων, ἐξήγησίς ἐστι τοῦ ἄνω βλέπειν. (σ) Ἀρετὰς τῆς τῶν θνητῶν ἀρχῆς ἐννοεῖ τὰς περιγείους καὶ πολιτικὰς, αἵτινες ὡς τὸ τῶν ἀνθρώπων κοσμοῦσαι πολίτευμα, ἀρχαὶ, εἴτ' οὖν ἄρχουσαι καὶ ἡγεμόνες τῶν θνητῶν παρὰ τῷ Συνεσίῳ ἀκούουσι, πρὸς ἀντιδιαστολὴν τῶν οὐχὶ τὸ παθητικὸν, εἴτ' οὖν ἄλογον (τῶν περιγείων γὰρ τοῦτο) ἀλλὰ τὸ λογικὸν, εἴτ' οὖν νοερὸν τῆς ψυχῆς κοσμουσῶν ἀρετῶν, περὶ ὧν αὐτός τε ἐχομένως ἐρεῖ, καὶ ἡμεῖς ἀποχρόντως διασαφήσομεν. (τ) Ἀπὸ γὰρ κοσμογονίας ἀπεστράφησαν ἀπὸ τῶν ἀρχεγόνων παραδειγματικῶν ἐπὶ τὸ κοσμεῖν τὰ κάτω, τὰ ἀνθρώπινα. ταῦτα δὲ ἐν τοῖς ἑξῆς σαφηνισθήσονται ἀκριβέστερον. (υ) Ἦν γὰρ ὁ ἐν τῇ ἐπιστολῇ κατάρχων ἀσπασμὸς, Συνέσιος Ἑρκουλιανῷ πολλὰ φρονεῖν.

πολλὰ φρονεῖν, οὐ χαίρειν, οὐδὲ εὖ πράττειν τὸ μετριώτερον (φ)· ἐπιστατεῖ γὰρ (χ) πράξεσι νοῦς ἐλάττων, οὐχ ὃν (ψ) ἠξίουν ἀνακεχῶσθαι παρὰ σοί, περὶ οὗ σοι καὶ πάμπολλα διὰ δύω τῶν πρώτων ἐπιστολῶν (ω) διελέχθην, ὧν οὐδεμίαν οἱ λαβόντες ἀποδεδώκασιν· ἐπείτοι πέμπτην ταύτην (α2) ἐκπέμπω τὴν ἐπιστολήν· ἀλλ' εἴθε μὴ καὶ ταύτην μάτην· γένοιτο δ' ἂν οὐ μάτην, εἰ πρῶτον μὲν ἀποδοθείη· τὸ δὲ ἐπὶ τούτῳ, καὶ τοῦτο σεμνότερον, κατανουθετήσειέ σε, καὶ παιδαγωγήσει, καὶ πείσει μεταθεῖναι τὴν τοῦ σώματος ἰσχὺν ἐπὶ τὴν τῆς ψυχῆς ἀνδρίαν, οὐ τὴν ἐκ τῆς πρώτης καὶ περιγείου τετρακτύος τῆς ἀρετῆς (β2), ἀλλ' ἐπὶ τὴν ἀνάλο-

(φ) Τοῦ χαίρειν. Ἐμοὶ δὲ δοκεῖ οὐ τὸ εὖ πράττειν λέγειν μετριώτερον τοῦ χαίρειν Συνέσιος, ἀλλ' ἄμφω ταῦτα τοῦ πολλὰ φρονεῖν. (χ) Οὐκ ηὐξάμην (ἐν τῇ ἐπιστολῇ) εὖ πράττειν σε, καθ' ὅ,τι αἱ σωματικαὶ πράξεις τοῦ πολιτικοῦ εἰσι (τοῦτο γὰρ βούλεται τὸ, νοῦς ἐλάττων) οὐ τοῦ θεωρητικοῦ νοός. (ψ) Οὐκ ἐκεῖνος ὃν ἠξίουν κτ: (ω) Ὧν ἡ μὲν, ἐστὶν ἡ 137, ἧς ἡ ἀρχή. Εἰ τῆς Ὀδυσσέως πλάνης. ἡ δὲ, ἡ 139, ἧς ἡ ἀρχή. Ἤκουσά τε τῶν δεινῶν λέγειν ἀνδρός. (α2) Ἡ πρὸ αὐτῆς τετάρτη πρὸς Ἑρκουλιανὸν λείπει.
(β2) Λαμβάνεται ἀπὸ κοινοῦ ἡ ἐπὶ πρόθεσις, οἷον οὐκ ἐπὶ τὴν ἐκ τῆς πρώτης καὶ περιγείου τετρακτύος τῶν ἀρετῶν· ἐπάγει γὰρ, ἀλλ' ἐπὶ τὴν κτ: πρὸς δέγε σαφήνειαν τῆς πολυθρυλλήτου ταυτησὶ τετρακτύος τῶν ἀρετῶν, (περὶ ἧς ἄλλοις τε πολλοῖς, καὶ ἡμῖν αὐτοῖς ἐν τῇ κατὰ τὸ ἀγώνυμον ὄρος σχολῇ τὰς διατριβὰς ποιουμένοις γεγράφαται πολλὰ, ἐφ' οἷς δέον ἡμῖν τε κἀκείνοις αἰσχύνεσθαί τε καὶ ἐγκαλύπτεσθαι) παραθετέον ἐνταῦθα τὰ ἐφεξῆς.

Ἐκ τῶν ἐκλογῶν Ἰωάννου τοῦ Στοβαίου συνοπτικὴ προδιάθεσις πρὸς σαφήνειαν τῆς ἐν τῇ τοῦ Συνεσίου πρὸς Ἑρκουλιανὸν δ', ἐπιστ: τετρακτύος τῆς ἀρετῆς

Πορφυρίου· Ἡ τῶν ἀρετῶν τετρακτὺς παρὰ Πλάτωνι οὐχὶ μοναπλῆ, τετραπλῆ δέ τις οὖσα φαίνεται· ἡ μὲν γάρ ἐστιν (ἵν' ἀπὸ τῆς περιγείου καὶ πολλοστῆς ἄρξωμαι) τοῦ πολιτικοῦ, ἡ δὲ, τοῦ θεωρητικοῦ, ἡ δὲ, τοῦ νοός, καθ' ὃ νοῦς, καθαρῶς ἐνεργοῦντος, ἡ δὲ τετάρτη, παραδειγματική.

Τετρακτὺς πρώτη.

Αἱ μὲν οὖν πολιτικαί, ἐν μετριοπαθείᾳ τοῦ ἀλόγου κεῖνται, τῷ ἕπεσθαι καὶ

λογον ἐν τρίταις τε καὶ τετάρταις. ἄψαιο δ' οὖν αὐτῆς, ὅταν μη-

---

ἀκολουθεῖν τῷ κατὰ τὰς πράξεις καθήκοντι λογισμῷ, (ὥστε ἐκκλίνειν τὰ ἐκ διαμέτρου ἀντικείμενα ἄκρα, ὑπερβολὴν λέγω καὶ ἔλλειψιν) δι' ὃ πρὸς κοινωνίαν βλέπουσαι τὴν ἀβλαβῆ τῶν πλησίον, ἐκ τοῦ συναγελασμοῦ καὶ τῆς κοινωνίας πολιτικαὶ λέγονται. καὶ ἔστι φρόνησις μὲν, περὶ τὸ λογιστικόν· ἀνδρία δὲ, περὶ τὸ θυμικόν· σωφροσύνη δὲ, περὶ τὸ ἐπιθυμητικόν· δικαιοσύνη δὲ, ἡ ἑκάστου τούτων ὁμοῦ οἰκειοπραγία περί τε τοῦ ἄρχειν καὶ ἄρχεσθαι.

Δευτέρα.

Αἱ δὲ τοῦ πρὸς θεωρίαν, ἢ τέως προκόπτοντος, ἢ ἤδη προκεκοφότος θεωρητικοῦ, ἐν ἀποστάσει κεῖνται τῶν ἐνταῦθα (εἴτ' οὖν τῶν αἰσθητῶν.) δι' ὃ καὶ καθάρσεις αὗται λέγονται, ὡς ἐν ἀποχῇ θεωρούμεναι τῶν τοῦ σώματος πράξεων καὶ συμπαθειῶν τῶν πρὸς αὐτό· αὗται μὲν γὰρ τὴν ψυχὴν ἀφιστῶσι πρὸς τὸ ὄντως ὄν, αἱ δὲ πολιτικαὶ τὸν θνητὸν ἄνθρωπον κατακοσμοῦσιν. εἰσὶ δὲ καὶ πρόδρομοι τῶν καθάρσεων αἱ πολιτικαί· δεῖ γὰρ κοσμηθέντα κατ' αὐτὰς (πρότερον εἶθ' οὕτως) ἀποστῆναι τοῦ σὺν σώματι πράττειν τι προηγουμένως (τοῦτ' ἔστιν ὅ,τι μὴ πᾶσα ἀνάγκη.) δι' ὃ ἐν ταῖς καθάρσεσι τὸ μὲν τὴν ψυχὴν μὴ συνδοξάζειν (εἴτ' οὖν συμφρονεῖν) τῷ σώματι, ἀλλὰ μόνην (αὐτὴν καθ' ἑαυτὴν) ἐνεργεῖν, ὑφίστησι τὸ φρονεῖν, ὃ διὰ τὸ καθαρῶς νοεῖν τελειοῦται· τὸ δὲ μὴ ὁμοιοπαθεῖν, (εἴτ' οὖν συμπαθεῖν) συνίστησι τὸ σωφρονεῖν· τὸ δὲ μὴ φοβεῖσθαι ἀφισταμένην τοῦ σώματος, ὡς ἀλλοτρίου τινὸς πράγματος καὶ ἑτερουσίου, τὴν ἀνδρίαν· ἡγουμένου δὲ λόγου καὶ νοῦ, καὶ μηδενὸς ἀντιτείνοντος, δικαιοσύνη τὸ τοιοῦτον. Ἡ μὲν οὖν κατὰ τὰς πολιτικὰς ἀρετὰς διάθεσις, ἐν μετριοπαθείᾳ (ὡς εἴρηται) τελειοῦται, τέλος ἔχουσα τὸ ζῆν ὡς ἄνθρωπον κατὰ φύσιν· ἡ δὲ κατὰ τὰς θεωρητικὰς, ἐν ἀπαθείᾳ, ἧς τέλος ἡ πρὸς Θεὸν ὁμοίωσις. Καὶ αἱ μὲν πολιτικαὶ ὡς μιᾶς γοῦν κακίας (τῆς σωματικῆς, εἴτ' οὖν πρακτικῆς) τὴν ψυχὴν ἀπαλλάττουσαι, ἀρεταὶ ἐκρίθησαν, καὶ τίμιαι· αἱ δὲ καθαρτικαὶ, τιμιώτεραι ὡς καὶ τῆς ψυχικῆς κακίας ἀπαλλάττουσαι. (ψυχῆς δὲ κακία τὸ ἐσκεδάσθαι περὶ τὸ συναφὲς σῶμα, καὶ ταῖς τῶν αἰσθημάτων ἡδοναῖς, ἢ λύπαις συμπαθεῖν· εἰ μή τι γε τις καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν, καὶ τὰς αἰσθήσεις ἰατρείας ἕνεκα παραλαμβάνοι, ἢ πόνων ἀπαλλαγῆς, ἵνα μὴ ἐμποδίζοιτο· ἀφαιρετέον δὲ καὶ τὰς ἀλγηδόνας, εἰ δὲ μὴ οἷόν τε εἴη, πράως οἰστέον, ἐλάττους τιθέντα τῷ μὴ συμπάσχειν. τὸν δὲ θυμὸν καὶ τὸν φόβον, ἐν μόνῃ νουθετήσει, καὶ μηδὲ τότε συναναμικτέον τὴν προαίρεσιν· σίτων δὲ καὶ ποτῶν, οὐκ αὐτὸς μεθέξει, ἤπερ αὐτούς. ἀφροδισίων δὲ τῶν φυσικῶν, οὐ δ' ἀπροαιρέτως, εἰ δ' ἄρα, ὅσον μέχρι φαντασίας προπετοῦς τῆς κατὰ τοὺς ὕπνους.

μηδὲν τῶν ἀνθρωπίνων θαυμάζῃς· κἂν μήπω σοι σαφὴς ἡ διαί-

ρε-

Τρίτη.

Γένος τρίτον ἀρετῶν μετὰ τὰς καθαρτικὰς καὶ τὰς πολιτικάς, νοερῶς εἴτ' οὖν καθαρῶς τῆς ψυχῆς ἐνεργούσης, ἧς σοφία μὲν καὶ φρόνησις, τὸ ἐν θεωρίᾳ τοῦ ὄντος εἶναι τὸν νοῦν· δικαιοσύνη δέ, ἐν οἰκειοπραγίᾳ πρὸς τὸν νοῦν καὶ ἀκολουθεῖν καὶ ἐνεργεῖν· σωφροσύνη δέ, ἡ εἴσω πρὸς τὸν νοῦν στροφή· ἡ δὲ ἀνδρία, ἀπάθεια καθ' ὁμοίωσιν τοῦ πρὸς ὃ βλέπει ἀπαθὲς ὂν τὴν φύσιν (εἴτ' οὖν τὸν Θεόν) καὶ συνακολουθοῦσί γε αὐτῇ ἀλλήλαις, (αἱ νοεραί, ἀνδρία φημί, φρόνησις, σωφροσύνη, δικαιοσύνη·) ὥσπερ καὶ ἄλλαι (αἵ τε πολιτικαὶ καὶ αἱ καθαρτικαί.)

Τετάρτη.

Τέταρτον εἶδος Ἀρετῶν, τὸ τῶν παραδειγματικῶν. αἵπερ ἦσαν ἐν τῷ νῷ, κρείττους οὖσαι τῶν ψυχικῶν, καὶ τούτων ὥσπερ παραδείγματα· ἐπιστήμη μέν, ἡ νόησις· σοφία δέ, γινώσκων ὁ νοῦς· (ὧν ἑκάτερα φρόνησις·) τὸ δὲ πρὸς αὐτὸν (ἐστράφθαι), ἡ σωφροσύνη· τὸ δὲ οἰκεῖον ἔργον, εἴτ' οὖν ἡ οἰκειοπραγία, ἡ δικαιοσύνη· ἡ δὲ ἀνδρία, ἡ ταυτότης, τὸ ἐφ' ἑαυτὸν (φημὶ) μένειν καθαρὸν περιουσίᾳ δυνάμεως.

Ἐπανάληψις.

Τέτταρα τοίνυν ἀρετῶν γένη πέφηνεν. αἱ μέν, ἦσαν τοῦ νοῦ· αἱ δέ, παραδειγματικαὶ καὶ σύνδρομοι αὐτοῦ τῇ οὐσίᾳ· αἱ δέ, ψυχῆς πρὸς νοῦν ἐνορώσης ἤδη καὶ πληρουμένης ἀπ' αὐτοῦ· αἱ δέ, ψυχῆς ἀνθρώπου καθαιρομένης τε καὶ καθαρθείσης ἀπὸ τῶν τοῦ σώματος ἀλόγων παθῶν· αἱ δέ, ψυχῆς κατακοσμούσης τὸν ἄνθρωπον τῷ μέτρα τῇ ἀλογίᾳ ἀφορίζειν καὶ μετριοπάθειαν ἐνεργάζεσθαι.

Ἐξήγησις τῶν ἐν τῇ ἐπιστολῇ τοῦ Συνεσίου.

Κατὰ δὴ τὴν ἐκτεθεῖσαν Πλατωνικὴν τετραπλόην τῆς τετρακτύος τῶν ἀρετῶν, τετραπλῆς οὔσης καὶ τῆς ψυχικῆς ἀνδρίας· (ἡ μὲν γὰρ πρώτη, ἐστὶ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους μετριοπάθεια· ἡ δὲ δευτέρα, τῆς ψυχικῆς πρὸς τὸ σῶμα μετριοπαθοῦς συμπαθείας καθαρτική· ἡ δὲ τρίτη, καθαρῶς ἀπαθής· ἡ δὲ τετάρτη, ταυτότης ὡς εἴρηται·) ταύτητοι καὶ ὁ Συνέσιος ἀξιοῖ τὸν Ἑρκουλιανὸν μεταθεῖναι τὴν τοῦ σώματος ἰσχὺν (ἦν γὰρ ὡς ἔοικε γενναῖος μὲν τὸ σῶμα, ἀγεννὴς δέ, εἴτ' οὖν ἀφιλόσοφος καὶ περιαλγὴς πρὸς τὰς συμπιπτούσας περιστάσεις) ἐπὶ τὴν τῆς ψυχῆς ἀνδρίαν, οὐκ ἐπὶ τὴν τῆς πρώτης καὶ περιγείου τετρακτύος τῶν ἀρετῶν, φημὶ δὴ τῆς πολιτικῆς, (ἣν πρώτην μὲν καλεῖ τῇ τάξει, ὡς πρόδρομον τῆς δευτέρας, εἴτ' οὖν τῆς

ρεσις ἢ τοῦ λελεγμένου, τίνες ἀρχεγονώτεραι (γ 2), καὶ τίνες

αἱ

καθαρτικῆς· περίγειον δέ, ὡς ἐν τῇ ὑλικῇ δυάδι, τῷ θυμῷ λέγω καὶ τῇ ἐπιθυμίᾳ, καὶ ἁπλῶς τῷ ἀλόγῳ μέρει τῆς ψυχῆς, οὗ ὕλη τὰ ἐπίγεια, μέτρα ὁρίζουσαν· πολλοστὴν δέ, ὡς διὰ τὸ αὐτῆς μετριοπαθές, εἴτ' οὖν συμπαθές πως τῇ ἀξίᾳ ἐσχάτην, πρὸς ἀντιδιαστολὴν τῆς τρίτης τε καὶ τετάρτης τῶν ἀρχεγόνων καὶ ἀπαθῶν.) ἔχουν ἐπὶ τὴν τῆς μετριοπαθοῦς πρώτης, οὐδ' ἐπὶ τὴν τῆς καθαρτικῆς δευτέρας, τῆς οὐδ' αὐτῆς πω καθαρῶς ἀπαθοῦς, ἀλλ' ἐπὶ τὴν τῆς τρίτης τε καὶ τετάρτης τετρακτύος, ὧν ἡ μέν, ἐστὶ καθαρῶς ἀπαθής, ἡ δέ, καὶ δευτοποιὸς ἀπάθεια ἡ δ.

Τὴν δὲ ἐν ταῖς τρίταις τε καὶ τετάρταις τετρακτύσι τῶν ἀρετῶν ἀπαθῆ τῆς ψυχῆς ἀνδρείαν ἀνάλογον λέγει τῇ ἐν ταῖς πρώταις, καθ' ὃ καὶ ἡ ἐν ταῖς πρώταις ὡς μὴ ὁλοπαθής, ἀλλὰ μετριοπαθής, ταῖς ἀπαθέσιν ἐν μέρει ᾠκοίωται· ὡς εἶναι τὸ ξυμφραζόμενον τοιοῦτο. μεταθετέον τὴν τοῦ σώματος ἰσχὺν ἐπὶ τὴν τῆς ψυχῆς ἀνδρείαν, οὐ τὴν ἐν ταῖς πρώταις μετριοπαθῆ· (πολιτικοῦ γὰρ τοῦτο, οὐ θεωρητικοῦ) ἀλλ' ἐπὶ τὴν ἐν ταῖς τρίταις τε καὶ τετάρταις ἀπαθῆ, τὴν ἀνάλογον τῇ ἐν ταῖς πρώταις μετριοπαθεῖ ἀνδρείᾳ, εἴ γ' ὃν ἔχει λόγον ἡ ἀπάθεια ἐν ταῖς τρίταις τε καὶ τετάρταις, τὸν αὐτὸν ἔχει καὶ ἡ μετριοπάθεια ἐν ταῖς πρώταις· ἀπαθὴς γάρ πως καὶ ἡ ἐν ταῖς πρώταις.

Τὸ δὲ πολλὰ φρονεῖν, ὅπερ ἐπεύχεται τῷ Ἑρκουλιανῷ ὁ Συνέσιος, ἀπὸ τῆς δευτέρας μὲν ἄρχεται, ὡς εἴρηται, τετρακτύος τῶν ἀρετῶν, εἴτ' οὖν τῆς καθαρτικῆς, τελειοῦται δὲ διὰ τοῦ καθαρῶς νοεῖν, ὅ ἐστι διὰ τῆς τρίτης τε καὶ τετάρτης· ἐπεὶ φρονεῖ μὲν καὶ ἡ πρώτη, εἴτ' οὖν ἡ πολιτικὴ τετρακτύς, ἀλλ' οὔτε πολλά, οὔτε καθαρᾷ πάντῃ πάθους, ἀλλὰ περίγεια.

Ἰστέον δὲ ὅτι τὴν κατὰ Πλάτωνα τετραπλόην τῆς τῶν ἀρετῶν τετρακτύος φράζειν μὲν εὐχερές, ἑρμηνεύειν μέντοι οὐδ' αὐτοῖς τοῖς τὰ τοῦ Πλάτωνος πνέουσιν εὐχερές. Ἐφ' οἷς σημειωτέον, ὅτι ὁ ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀπράγμονι, καὶ προσβάλλων τοῖς νοῦ κάλλεσιν, ἃ μόνης ἐστὶ καρποῦσθαι τῆς μακαρίας σχολῆς, (κάλλη δὲ τοῦ νοὸς ἐκληπτέον τὴν θεωρίαν τῶν ὄντων, τὴν τὸν νοῦν καλλύνουσαν) καὶ διὰ νοῦ τῷ Θεῷ συγγινόμενος, (ἐπιστ. 11.) κἀντεῦθεν καὶ τὸν Ἑρκουλιανὸν ἀξιῶν ἄνω βλέποντα, ὅ ἐστι πρὸς τὸν ἀπαθῆ Θεόν, καθ' ὁμοίωσιν, ἐπὶ μηδενὶ κλάειν, (ἐπιστ. 140.) κλαίοντα ἐπὶ τῇ διαμαρτίᾳ τῆς τοῦ Συνεσίου φιλοσόφου συνου-

(γ 2) Αἱ τὸν νοῦν κοσμοῦσαι· αἱ καὶ πρωτόγονοι, ἐφ' ἃς ἠξίου ἐν τῇ πρὸ ταύτης ἐπιστολῇ τὸν Ἑρκουλιανὸν ἀνάγειν τὸ ἐν αὐτῷ θεῖον.

ὐ πολιτικὰ (δ 2) τῆς ἀρετῆς· τὸ ἐπὶ μηδενὶ κλάειν, ἀλλὰ πάν-

των

σίας, κλαίων τε αὐτὸς ὁρᾶται ἐπὶ τῇ τοῦ υἱέως τελευτῇ, (οἴμοι γάρ φησιν, ὁ τρίτος γε καὶ λοιπὸς οἴχεται τῶν υἱέων! ἐπισ: 126.) καὶ οὕτως ἑαλωκὼς τοῦ πάθους, ὡς μὴ δὲ τοῖς ἐκ φιλοσοφίας, φησὶ, δόγμασιν αὐτοῦ κρατῆσαι, ἀλλὰ κἂν εἰργάσατό τι δεινὸν αὐτὸς ἑαυτὸν, οὕτω κρατηθεὶς ὑπὸ τοῦ πάθους γυναικωδέστερον (θῆλυς γάρ εἰμι, φησὶ, περὶ τοῦτο πέρα τοῦ δέοντος· ἐπισ: 57, καὶ 79.) ὥστε καὶ αὐτὸ τὸ ζῆν ἀπολέγεσθαι· (ἐπισ: 16.

Οὕτως ἄρα πρόχειρον τὸ διδάσκειν ἑτέρους καὶ ὧν αὐτός τις οὐδ' ἄκροις, ὅ φασι, δακτύλοις ἐγεύσατο. Σκοπεῖν δὲ κἀκεῖνο. Τῷ ἐκ τῆς πρώτης τετρακτύος τῶν ἀρετῶν διὰ τῆς καθαρτικῆς δευτέρας ἐπὶ τὴν τρίτην τε καὶ τετάρτην προκεκοφότι, εἴτ' οὖν προσβάντι, τῶν μὲν ἀναγκαίων ἡδονῶν μεθεκτέον μὲν ὑγιείας ἕνεκα, ἢ πόνων ἀπαλλαγῆς, ὥσπερ οὖν καὶ σίτων καὶ ποτῶν, οὐ μήν γε αὐτῷ, ἢ αὐτὸς, ἀλλ', ὡς εἰπεῖν, ἀπροαιρέτως· ἀφροδισίων δὲ τῶν κατὰ φύσιν οὐ δ' ἀπροαιρέτως, ὡς προδιείληπται. ὁ δὲ Συνέσιος εἰς ἐπισκοπὴν ἀναγόμενος, (καὶ ταῦτα ἐν ᾧ καιρῷ τῶν ἐπιγυναίων οἱ εἰς τὴν τοῦ ἐπισκόπου προεδρίαν προχειριζόμενοι, εἰ καὶ μὴ ἔκ τε τέως συνοδικοῦ κανόνος, ἐξ ἔθους γε μὴν τῆς πρεσβυτέρας Ῥώμης ἀντὶ κανόνος κεκρατηκότος, ὡς φαίνεται ἐν τῷ ιγ', κανόνι τῆς ἐπιστολῆς, ἐγκράτειαν ἀπὸ τῆς συνοικέσεως συζύγου ὡμολόγουν) προαγορεύει ἅπασιν, ὡς οὔτε ἀλλοτριώσεται καθάπαξ τῆς ἰδίας γυναικὸς, οὔτε ὡς μοιχὸς λάθρα συνέσεται, ἀλλὰ βουλήσεται συχνά οἱ πάνυ καὶ χρηστὰ γενέσθαι παιδία. (ἐπισ: 105.) καί τοι ὁ ἀπόστολος οὐ διὰ παιδοποιΐαν τὴν μηκέτι λοιπὸν, κατὰ τὸν θεῖον Χρυσόστομον, ἀναγκαίαν οὖσαν, ἀλλὰ διὰ μὲν τὰς πορνείας τὸν γάμον, διὰ δὲ τὴν τῶν γεγαμηκότων ἀκρασίαν, τὴν τούτων ἐπὶ τὸ αὐτὸ συνέλευσιν ἐπέτρεψε, μᾶλλον δὲ συνεχώρησε. (ά. πρὸς Κορ: 7, 1, 5.) ἡ δὲ γ', καὶ μάλιστα ἡ δ', τετρακτὺς τῶν ἀρετῶν, (ἧς εἰκὸς δή που ἐπιβῆναι τὸν ἐννεάσαντα τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντως ἀπράγμονι,) οὐχ ὅπως τῆς προαιρετικῆς πορνείας καὶ ἀκρασίας, ἀλλὰ καὶ αὐτῆς τῆς ἀπροαιρέτου τῶν κατὰ φύσιν ἀφροδισίων πεῖραν ἄπειρον, εἴτ' οὖν ἐγκρατῆ εἶναι ἐθέλει τὸν, οὗτινος ἡ ψυχὴ πρὸς τὸν παραδειγματικὸν νοῦν ἐνορῶσα, τὸν σύνδρομον τῇ τοῦ ψυχικοῦ νοὸς οὐσίᾳ, πληροῦται ἀπ' αὐτοῦ

Ἦν ἄρα τρανὸς αἶνος ἀνθρώπων ὅδε,
Ὡς τὸν πέλας μὲν νουθετεῖν βραχὺς πόνος,

(δ 2) Αἱ πολιτικαὶ αἱ πάλαι ἀπεστραμμέναι, καὶ τὴν τῶν θνητῶν ἀρχὴν κοσμοῦσαι, αἱ καὶ ἐλάττονος νοός.

των τ τῇδε ἐν δίκῃ καταφρονεῖν ὅταν σοι παραγένηται, τὸ το ἔξω σοι κανὼν καὶ κριτήριον τ πρώτων τ τεύξεως, ἵνα σοι καὶ παρ᾽ ἡμῶν τὸ πολλὰ φρονεῖν ἐν ταῖς ἐπιστολαῖς ἐπανέλθῃ. ἐῤῥωμένως διαβιώης, φιλοσοφίας εὐθυμίαν πρυτανευούσης ἀκύμονα, δέσποτα ἀξιάγαστε. εἰ φιλοσοφία πρεσβεύειν οἶδεν ἀπάθειαν αὐτὴν, αἱ μέσαι δὲ ἕξεις (ε 2) εἰς μετριοπάθειαν ἴσχανται, τὴν ἀπειροπάθειαν (ζ 2) καὶ τὸ εὐταπείνωτον ποῦ χώρας τάξομεν; ἆρ᾽ οὐχὶ πόῤῥω φιλοσοφίας, ἧς μύστην γενέσθαι σε κατηυξάμεθα; μὴ δῆτα (η 2), ὦ πάντων ἐμοὶ προσφιλέστατε, ἀλλ᾽ ἀῤῥενωπότερον ἡμῖν τὸν φίλον ἀποδείκνυε. ἅπασά μου ἡ οἰκία κατεδεήθη προσειπεῖν σε ὑπὲρ αὐτῆς. προσείρησο οὖν παρὰ πάντων, ἑκάστου μονονοὺκ ἐγχέαντος τὴν ψυχὴν τῇ προσρήσει· καὶ αὐτὸς ὑπὲρ ἡμῶν τὸν Ἱπποτοξότην πρόσειπε παρακαλῶ.

Τῷ

Αὐτὸν δ᾽ ἐνεγκεῖν ὕβριν ἠδικημένον,
Πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος· — Μοσχίωνος.
Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας.
Πάντες διαιρεῖν, ἢ τύχας τὰς οἴκοθεν. — Εὐριπίδου.
Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν. — Φιλήμωνος.

Ὁρῶμεν δὲ καὶ τοὺς ἰατροὺς τοῖς νοσοῦσιν εὖ σφόδρα πάντας λαλοῦντας, αὐτοὺς δὲ, ἐπὰν πταίσωσί τι, ποιοῦντας πάνθ᾽ ὅσ᾽ οὐκ εἴων τότε.

Ἐπὶ τούτοις ἰστέον, ὅτι τὸ ἐπὶ μηδενὶ κλάειν, ὁ μὲν Συνέσιος φιλόσοφον ἡγεῖτο, ὅγε μὴν θεολόγος Γρηγόριος ἀπάνθρωπον· φησὶ γὰρ (ἐπισ: 189, Τιμοθέῳ) οὔτε τὸ λίαν ἀπαθὲς ἐπαινῶ, οὔτε τὸ ἄγαν περιπαθές· τὸ μὲν γὰρ, ἀπάνθρωπον, τὸ δὲ, ἀφιλόσοφον· ἀλλὰ δεῖ τὴν μέσην βαδίζοντα, τῶν μὲν ἄγαν ἀσχέτων (εἴτ᾽ οὖν ἐμπαθῶν) φιλοσοφώτερον φαίνεσθαι, τῶν δὲ φιλοσοφούντων ἀμέτρως, ἀνθρωπινώτερον. καὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν ἐδάκρυσεν ἐπὶ Λαζάρῳ· καὶ Σολομῶν ὡσαύτως ἐπὶ νεκρῷ, φησὶ, κατάγαγε δάκρυα. ὥστε τὸ ἐπὶ μηδενὶ κλάειν, εἰ μὴ εἴη κενολογῶν ὁ τοῦτο λέγων, ἀπανθρώπου ἂν εἴη, ἢ ἠλιθίου, οὐ μὴν φιλοσόφου.

(ε 2) Αἱ τῆς φιλοσοφίας ἐν μεσότητι ἱστῶσι τὸ παθητικὸν τῆς ψυχῆς, ὑπερβολὴν καὶ ἔλλειψιν ἐκκλίνουσαι. (ζ 2) Τὴν ὑπερβολὴν τῆς λύπης, ὥστε καὶ δακρύων ταῖς ἐπιστολαῖς ἐγχεῖν. (η 2) Ἀπειροπάθει.

Τῷ αὐτῷ. 141.

Μὴ θαυμάσῃς εἰ διακομιστῇ δυοῖν ἐπιστολῶν (α) ἑνὶ χρῶμαι, ἀλλὰ πρῶτον μὲν αἰσθάνου δίκας ὑπέχων ἐγκλήματος ἀκαίρου (β), καὶ ἐμφοροῦ τῆς ἀδολεσχίας (γ) ἡμῶν, εἶτα καὶ χρείαν ἑτέραν ἐθέλω μοι πληρῶσαι τὰ δεύτερα γράμματα· αἰτῶ γὰρ τὸ ἐν ἰάμβοις ἐκεῖνο συνταγμάτιον, δι᾽ οὗ πρὸς τὴν ψυχὴν ὁ γεγραφὼς διαλέγεται· ἐπεὶ τότε (δ) μὲν ᾤμην ἀπὸ τῆς μνήμης αὐτὸ συναθροίσειν, νῦν δὲ κινδυνεύει τὸ ἀντ᾽ ἐκείνου (ε) μηδὲν εἶναι πρὸς ἐκεῖνο (ζ)· ἀλλ᾽ ἂν ἐπιτρέψω τὸ γράφειν, γνώμῃ (η) μᾶλλον ἢ μνήμῃ χρήσομαι· καὶ ἴσως μὲν χεῖρον, ἴσως δὲ καὶ βέλτιον, οὐ μὴν δεῖ τίκτειν δὶς τὸν αὐτὸν τόκον, ἐξὸν ἔχειν τὸ τετεγμένον. ἀντίγραφον οὖν τῆς τετράδος ἀπόστειλον, πρὸς αὐτῆς τῆς ψυχῆς, ἣν κοσμεῖν βούλεται τὸ βιβλίον· ἀλλ᾽ ὅπως (θ) τάχιστά τε καὶ ἀσφαλῶς· τοῦτο δέ ἐστιν, εἰ διὰ τῶν πάντως ἀποδωσόντων ποιήσεις· τὸ γὰρ (ι) παρὰ θάτερον διαμαρτεῖν, πάντως οὐ ποιήσεις· κἂν σχολαιότερον ἀποστείλῃς· ὑστερήσει γάρ μου τῆς παρουσίας, κἂν δῷς τῷ μὴ πάντως δώσοντι.

*) Τῷ αὐτῷ. 142.

Τὸν μὲν Ὀδυσσέα διὰ τῆς ἐπιστολῆς ἐπέγνων, πολλῶν ἐπανα-

γόν-

(α) Ταύτης τε καὶ τῆς προτέρας· ὧν ἐν μὲν τῇ προτέρᾳ παρὰ καιρὸν ἐγκαλῶ σοι δέον πρότερον, ἡ δὲ παροῦσα, διὰ χρείαν ἑτέραν. (β) Ὅτι δίκην ὀφείλεις ἀνθ᾽ ὧν ἀκαίρως, καὶ παρὰ λόγον ἐνεκάλεσάς μοι. (γ) Τῆς ἐν τοῖς πρώτοις γράμμασιν ἐπιπλήξεως· ἦσαν δὲ τὰ γράμματα ἐκεῖνα ἡ ἐφεξῆς, οἶμαι, 142 ἐπιστολή. (δ) Ὅτε σοι αὐτὸ ἔπεμψα, διὰ τοῦτο ἔπεμψα, οἰόμενος ὡς ἀπὸ μνήμης ἔπειτα αὐτὸ τοῦτο συντάξω. (ε) Ποιηθησόμενόν μοι. (ζ) Παραβαλλόμενον. (η) Ἐξ ὑπαρχῆς σκέψει. (θ) Ὅρα ἵνα ἀποστείλῃς. (ι) Ἐν ἄλλ: τῷ γὰρ παρὰ θάτερον. μὴ διαμαρτεῖν δὲ ἐστιν, εἰ τάχιστα καὶ ἀσφαλῶς· τὸ δὲ τάχιστα μέν, μὴ ἀσφαλῶς δέ· ἢ ἀσφαλῶς μέν, μὴ τάχιστα δέ, παρὰ θάτερόν ἐστι διαμαρτεῖν.

*) Ἐν τῇ πρώτῃ πρὸς Ἑρκουλιανὸν ἐπιστολῇ ὁ Συνέσιος ἔγραψεν, ὡς

γόντων ἐπὶ τῷ μνήματι τοῦ Ἥρωος, τὸν δὲ Πρωτέα ἠγνόησα· σὲ μὲν γὰρ ὄντα τοιόνδε, καὶ ἡμιθέων ψαύειν οὐκ ἀπεικὸς, ἐγὼ δὲ ἄλλο μέν τι σοφὸς, κατὰ δὲ τὸ Δελφικὸν γράμμα (α) ἐμαυτὸν ἐγνωκὼς, καταδικάζω πενίαν τῆς φύσεως, καὶ ἀπογινώσκω τὴν εἰς Ἥρωας οἰκειότητα, πλὴν ὅσον μιμητὴς εἶναι τῆς ἐχεμυθίας (β) ηὐξάμην, ἣν καὶ αὐτὴν σύ μοι συνέχεας κατὰ τὸν ἐκ Σπάρτης Μενέλεων (γ)· ὥστε κινδυνεύεις συνωρίδι προσήκειν Ἡρώων, οὐκ Ὀδυσσεῖ μόνῳ. ταῦτα μὲν ταύτῃ· τὴν δὲ ἀνεπιτηδειότητα τοῦ γράφειν μεμψάμενος, οὐκ εἶ δίκαιος ἀπαιτεῖν πλῆθος ἀνιασόντων γραμμάτων· διὸ συνέστειλα τῆς ἐπιστολῆς τὸ μῆκος, ἵνα μὴ πόνος ᾖ πλείων ἀναγινώσκοντι πλείονα. ἐῤῥωμένως, εὐθύμως διαβιώης, φιλοσοφίᾳ χαίρων εἰς

τὸ

μᾶλλον ἂν ὕμνησεν, εἰ περὶ ἣν ὁ ποιητὴς, τὴν ἑκατέρων αὐτῶν πρὸς Ἀλε-
ξάνδρειαν ἀποδημίαν, ἢ τὴν Ὀδυσσέως πλάνην. καὶ ὅτι ἐπιλαθόμενος ὁ
Συνέσιος τῆς τοῦ Πρωτέως ἐχεμυθοῦς τέχνης, ἐξωρχήσατο πρὸς τὸν Ἑρκου-
λιανὸν ἀπροαιρέτως τὰ τέως ἀνέκπυστα τῆς φιλοσοφίας ὄργια. ἀπήντησεν,
ὡς ἔοικεν, ὁ Ἑρκουλιανὸς πρὸς ταῦτα, ἐγκαλῶν πως ἐν αὐτοῖς τῷ Συνεσίῳ
ἀνεπιτηδειότητα τοῦ γράφειν· ὧν γε μὴν ἁπάντων, περί τε Ὀδυσσέως καὶ Πρω-
τέως ἔγραψεν ἀδήλων ὄντων, Κάλχαντός τινος εἰς κατάληψιν χρήζει
ἅπαντα ἁπάντων ὁ Συνέσιος περί τε Ὀδυσσέως καὶ Πρωτέως γράφει, Ὀδυσ-
σεῖ μὲν καὶ Μενέλεῳ παρεικάζων τὸν Ἑρκουλιανὸν, τὸν δὲ Πρωτέα ἀγνοῶν.

(α) Τὸ γνῶθι σαυτόν. (β) Τῆς τοῦ Πρωτέως, ὃς τὰ θεῖα ἐχεμυθῶν, πολιτικῶς συνῆν οὐ θείως. (γ) Ὃς τὸν ἐν τῇ κατ' Αἴγυπτον Φάρῳ νήσῳ Πρωτέα, ἔνθα μετὰ τὴν Τροίας ἅλωσιν πλανώμενος προσωρμίσθη, λοχησάμενος καθ' ὃν ἡ ἐκείνου θυγάτηρ Εἰδοθέη ἐμηχανήσατο δόλον, ἐπελάβετο αὐτοῦ· καὶ πειρώμενον τῇ εἰς πάντα τὰ ἑρπετὰ τῆς γῆς καὶ ὕδωρ καὶ πῦρ μεταμορφώσει ἐκφυγεῖν, οὐ πρότερον ἀφῆκε βίᾳ πιέζων, ἕως ἔμαθε πάντα τὸν ἐκείνου νοῦν, διερωτῶν αὐτὸν τί δή ποτε οἱ Θεοὶ εἰκοστὴν ἤδη ἡμέραν κατέχοντες αὐτὸν ἐν τῇ Φάρῳ, κωλύουσι τῆς εἰς τὴν πατρίδα ἐπανόδου, οὖρον μὴ ἐπιπνέοντες ὄπισθεν τῶν νηῶν; καὶ ὅ,τί ποτε οἴκοι κακόν τ' ἀγαθὸν τέτυκται; καὶ εἰ πάντες σὺν νηυσὶν ἀπήμονες ἀπὸ Τροίας οἴκαδε ἐπανῆλθον Ἀχαιοί· εἰ δέ τις ἐξ αὐτῶν ἀπώλετο, πότερον ἁλμυρὸν πιὼν ὕδωρ, ἢ φίλων ἐν χερσί; (ζήτει ταῦτα εἰς πλάτος ἐν τῇ Δ ῥαψῳδίᾳ τῆς Ὀδυσσείας.)

τὸ θεῖον ποδηγετούσῃ, ἀξιάγαστε. τὸν θαυμάσιον Κόμητα πρόσειπε, πρὸς ὃν αὐτοπροσώπως ποιεῖσθαι προσρήσεις ἑαυτοῖς οὐκ ἐπετρέψαμεν· τὸ γὰρ (δ) ἐκ τῆς ποιήσεως

Ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος,

πολέμου μὲν (ε) καὶ στάσεως ἄρχεσθαι δικαιοῖ τὸν νέον, φιλοφροσύνης δὲ τὸν πρεσβύτερον· καίτοι παρ' ἐμοὶ τίμιος ὁ ἀνήρ, καὶ παντὸς ἄξιος, ὃς παιδείαν καὶ στρατείαν διατετειχισμένας (ζ) θριγκοῖς μεγάλοις τῶν ἐφ' ἡμῖν μόνος εἰς ταὐτὸν ἤγαγε, παλαιάν τινα ἐξευρὼν ἐν τοῖς ἐπιτηδεύμασι τούτοις συγγένειαν (η)· μεγαλόφρων δὲ ὤν, ὡς οὐδείς πω στρατιώτης, ἐκ γειτόνων τῆς μεγαλοφροσύνης παροικοῦσαν τὴν ἀλαζονείαν ἐκφεύγει· τὸν οὖν τοιοῦτον κἂν μὴ γράφω, φιλῶ· κἂν μὴ θεραπεύω, τιμῶ.

Τῷ αὐτῷ. 143.

Οὐκ ἐμπεδοῖς τὰ ὡμολογημένα (α) πρὸς ἡμᾶς ὦ φιλότης, μὴ ἔκπυστα ποιεῖν τὰ ἄξια κρύπτεσθαι; ὡς ἐγώ τινων ἤκουσα τὴν ἀφι-

---

(δ) Διὰ μέσου ἀναγνωστέον τοῦτο μέχρι τοῦ, τὸν πρεσβύτερον· τὸ δέ, καίτοι παρ' ἐμοὶ τίμιος ὁ ἀνήρ, συναπτέον τῷ, πρὸς ὃν αὐτοπροσώπως κτ: (ε) Ἐν ἄλλ: πολέμου μὲν γὰρ καὶ - ἀλλὰ περιττὸς ὁ γάρ. (ζ) Διῳκισμένας καὶ ἀσυμβάτους οὔσας ἐν τοῖς καθ' ἡμᾶς ἄρχουσι διὰ τὸ αὐτῶν πρὸς παιδείαν ἀνέραστον· τοῦτο γὰρ ἐννοεῖ θριγκούς· ὅθεν ἐν τῷ περὶ Βασιλείας φησὶν, ἐρασθείης, ὦ βασιλεῦ, φιλοσοφίας καὶ παιδείας ἀληθινῆς. (η) Σόλωνα, καὶ Λυκοῦργον, καὶ Θουκυδίδην, καὶ Ξενοφῶντα καὶ πολλοὺς ἄλλους τοὺς τὰ ἐπιτηδεύματα ταῦτα παιδείαν λέγω καὶ στρατείαν, συγγενεύοντα ἐν ἑαυτοῖς ἐπιδείξαντας.

(α) Τὰ ὑπεσχημένα· ἐπὶ γὰρ ταύταις ταῖς ὁμολογίαις ὅ,τε Ἑρκουλιανὸς ᾔτησε, καὶ ὁ Συνέσιος ἔπεμψε τὰ ἄξια κρύπτεσθαι, ὥστε μὴ ἔκπυστα ταῦτα ποιῆσαι· ἦσαν δὲ ταῦτα ὁ περὶ ἐννυπνίου τυχὸν λόγος. Ἐγὼ δὲ οἶμαι ὡς τὰ κρύπτεσθαι ἄξια ταυτὶ συγγράμματα οὐκ ἦν ὁ περὶ ἐνυπνίου λόγος, ἀλλ' ἕτερ' ἄττα περὶ Θεοῦ τυχὸν ἐναντία ταῖς κοιναῖς προλήψεσι δογματίζοντα, ἅπερ ἡ τοιαῦτα πυκνῷ καὶ βαθεῖ σκότει συνεχῶς καλύπτεσθαι, καὶ λανθάνειν ἐβούλετο τοὺς πολλοὺς, ἵνα μὴ κακόν τι ἐντεῦθεν ἑαυτῷ ἐπισπάσαιτο.

ἀφικομένων παρὰ σοῦ, οἱ καὶ λέξεων ἐνίων μεμνημένοι, τὴν διάνοιαν ἧττον αὐτοῖς παρ' ἡμῶν ἀνακαλύπτεσθαι· ἀλλ' ἡμεῖς τὸν ἡμέτερον τρόπον (β), καὶ πρὸς αὐτοῦ οὔτε μετεποιήθημεν τῶν συγγραμμάτων, οὔτ' ἐπιγινώσκειν αὐτὰ ἔφαμεν. δεῖ δή σοι νουθεσίας οὐκέτ' ἡμετέρας, ὦ φίλη κεφαλή· μικρὰ γὰρ, ἢ ὥς τε σε πείθειν· τὴν δὲ Λύσιδος τοῦ Πυθαγορείου πρὸς Ἵππαρχον ἐπιστολὴν ἐπιζήτησον, κἂν που περιτύχῃς, ἐμοὶ χάρισαι τὸ πολλάκις ἐπελθεῖν· τάχ' ἂν ἰσχυρά σοι γένοιτο μετάνοια τῆς οὐ δεούσης ἐκφάνσεως· τὸ γὰρ δαμοσίᾳ φιλοσοφέν (γ)· οὕτω γάρ πως ὁ Λύσις ὑποδωρίσας λέγει· μεγάλης εἰς ἀνθρώπους ἦρξε τῶν Θείων καταφρονήσεως (δ)· ἐπεί τοι συγγεγονὼς ἐγώ τισιν οἶδα, καὶ πάλαι μὲν, ἀτάρτοι καὶ ἔναγχος ἀνθρώποις, οἳ διὰ τὸ προάλως (ε) ἀκηκοέναι ῥηματίων σεμνοτέρων, ἠπίστησαν ἑαυτοῖς, ὅσπερ ἦσαν, ἰδιώταις εἶναι, καὶ φύσης (ζ) ἐμπλησθέντες, ἐμόλυναν θεσπέσια δόγματα, μεταποιήσει διδασκαλίας (η), ὧν οὐκ εὐτύχησαν μάθησιν· καὶ μέντοι καὶ τοὺς θαυμασομένους τρεῖς τινας, ἢ τέτταρας, οὐδὲν ἀποδέοντας βαναύσους εἶναι, τό γε κατὰ ψυχὰς (θ), ἀνηρτήσαντο, μηδὲ διὰ τῶν προπαιδευμάτων ἐνίους ἠγμένους (ι)· δεινὸν γὰρ ἡ δοξοσοφία (κ) καὶ ἀπατηλὸν, ἐν οὐκ εἰδόσιν οὐδὲν (λ) ἀναδυομένη, καὶ (μ) ἀπερισκέπτως τολμῶσα· τί γὰρ ἂν ἀμαθίας γένοιτο θαῤῥαλεώτερον; τοιούτοις ἀνθρώποις ἀλαζόσι περιτυχὼν κηφῆσιν, οὔτε ἐπαΐουσι λόγων, οὔτε ἐφιεμένοις, μισήσας τὸ φῦλον, οὐχ ἑτέ-

ραν

(β) Κατὰ τὸ σύνηθες ἡμῶν. (γ) Δωρικῶς ἀντὶ φιλοσοφεῖν. (δ) Ἐντεῦθεν δῆλον ἧς τινος ὕλης ἐτύγχανον τὰ ἄξια κρύπτεσθαι συγγράμματα. (ε) Προπετῶς, καὶ ὡς αὐτὸς ἑρμηνεύει ἀναγώγως, καὶ πρὸ ὥρας. (ζ) Οἰήσεως, δοκοφροσύνης. (η) Ἐπιχειροῦντες διδάσκειν ἅ περ οὐκ ἔμαθον.
(θ) Κατὰ τὴν τοῦ νοὸς ἕξιν, ἢ καὶ κατὰ τὰ ἤθη· τὸ δὲ ἄρθρον τὸ, ΤΟ' παρέλκει. (ι) Μηδὲ τὰ στοιχειώδη τῆς φιλοσοφίας προπαιδευθέντας.
(κ) Ἥν φύσαν προεῖπε. (λ) Οὐδὲν μάθημα ἢ ἐρώτημα ἀποποιουμένη.
(μ) Ὁ ΚΑΙ', ἀντὶ τοῦ ἀλλά ἐστι.

ραν αἰτίαν εὑρίσκω τῆς τροφῆς αὐτὴν (ν), ἢ τὸ ἀναγώγως (ξ), καὶ παρ' ὥρας ἠξιῶσθαι τὴν ἀρχὴν, ἴσως ὑφ' ἑτέρων ὁμοίων, ὡς οἷόν τε (ο), πολυτελῶν ἀκροάσεων· ταῦτά τοι καὶ προμηθέστερος φύλαξ αὐτός τέ εἰμι, καὶ σὲ παρακαλῶ τῶν φιλοσοφίας ὀργίων εἶναι. ὅτι μὲν γὰρ Ἑρκουλιανῷ πρέποντα ταῦτα, ἐγὼ γινώσκω· δεῖ δέ σε εἴπερ αὐτῇ φιλοσοφίᾳ γνησίως προσελήλυθας, ἀφίστασθαι κοινωνίας τῆς πρὸς τοὺς ἀποστρόφους αὐτῆς, καὶ νοθεύοντας τῇ μεταποιήσει (π) τὸ ὑπέρσεμνον αὐτῆς. τὸν ἔφορόν σοι φιλίας Θεὸν (ρ), μὴ ἐξενέγκῃς πρός τινας τὴν ἐπιστολήν· εἰ γὰρ ποιήσαις, οἱ τῆς κακίας χαρακτῆρες (σ) ἕξουσι λυπουμένους τοὺς ἐπιγινώσκοντας παρ' ἑαυτοῖς, ἢ τοῖς αὐτὴν φίλοις τὰ εἰρημένα σύμβολα (τ)· τὸ δὲ λυπεῖν ἐστι μὲν ὅτε ἄῤῥεν, καὶ πρὸς τρόπου (υ) φιλοσοφίας, ὅταν πρὸς παρόντας· τὸ δὲ καὶ χαίρειν περὶ τούτων, μικροπρεπὲς δοκεῖ (φ). ἀλλ' ἅπερ ἂν Συνέσιος πρὸς αὐτὸν διαλεχθείη, ταῦτα καὶ πρὸς τὴν τιμίαν σου κεφαλὴν διαλέγεται, τοῦ μόνου φίλου, ἢ μετὰ δυοῖν μάλιστα φίλου, ὡς ἐμοί γε ἐκτὸς τῆς τριττύος ὑμῶν, οὐδέν ἐστιν ἀνθρώπινον τίμιον· προσκείμενος δὲ καὶ αὐτὸς, τάχα (χ) συμπληρῶ τετρακτὺν ἱερᾶς φιλίας· ἀλλ' εὐφημείσθω (ψ) τῆς ἐν ἀρχαῖς (ω)

ὁμω-

(ν) Εἴτ' οὖν τῆς δοξοσοφίας ἧτινι τρέφονται. (ξ) Ἢ τὸ ἠξιῶσθαι κατ' ἀρχὰς πολυτελῶν ἀκροάσεων ὑφ' ἑτέρων ὁμοίων. (ο) Καθ' ὅσον οἷοί τε ἦσαν ἀξιωθῆναι. (π) Τῷ προσποιεῖσθαι, ἐπαγγέλλεσθαι, ἐπιχειρεῖν φιλοσοφίαν. (ρ) Ὄμνυμι. (σ) Οἱ εἰρημένοι, τὸ προάλως λέγω ἀκηκοέναι ῥηματίων σεμνοτέρων τοὺς μηδὲν βαναύσων ἀποδέοντας τάγε κατὰ ψυχὴν, κἀντεῦθεν μεταποιεῖσθαι διδάσκειν ἃ οὐκ ἔμαθον κτ: (τ) Τοὺς, ὡς εἴρηται, τῆς κακίας χαρακτῆρας. (υ) Καθῆκον ἤθει φιλοσόφου. (φ) Ἐνδεικτῶν, συκοφαντῶν, διαβόλων. (χ) Τὸ, τάχα διὰ μετριοφροσύνην, ὡς δῆθεν μὴ ἱκανὸς ἀριθμῆσθαι ἐν τῇ τῶν φιλοσόφων τετρακτύϊ, ἣν ἱερὰν καλεῖ ὡς τῶν Πυθαγορείων ὅρκον τὴν τετρακτὺν ποιουμένων. ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν. (ψ) Ὁ ἀλλὰ ἀντὶ τοῦ γάρ. Ἐμοὶ δὲ καὶ ὧδε ἐναντιωματικὸς δοκεῖ (ω) Ἴσως τῆς ἐν ἀρεταῖς μᾶλλον γραπτέον, ἵν' ᾖ ἡ τῶν φίλων τετρακτὺς, ἢ τετρακτὶς, τῇ τετρακτύϊ τῶν γενικῶν ἀρετῶν ὁμώνυμος.

ὁμωνύμου τετρακτύος ἡ φύσις. ἐν τῷ τετραδίῳ τῶν ἰαμβείων εὗρον ἐπὶ τέλους αὐτοῦ δώδεκα στίχους γραφέντας ἅμα, ὡς ἓν ὂν ἐπίγραμμα· ἐπεὶ οὖν σε εἰκὸς ἔχειν αὐτοῦ, ἴσθι ὡς οὔτε ἕν εἰσιν, οὔτε ἑνός· ἀλλ᾽ οἱ μὲν ὀκτὼ πρῶτοι μετ᾽ ἐπιστήμης γραφέντες ποιητικῆς, μιγείσης ἕξεως ἀστρονομικῆς, εἰσὶ τοῦ σοῦ φίλου· οἱ δὲ τελευταῖοι τέσσαρες, ποιητικῆς εἰσι τρυφώσης μόνον (α 2), καὶ ἔστιν ἀρχαῖον· ἡγοῦμαι δὲ ἀσεβέστερον ἀποθανόντων λόγους κλέπτειν, ἢ θοιμάτια, ὃ καλεῖται τυμβωρυχεῖν. ἐῤῥωμένως διαβιώης, εὐαγῶς καὶ εὐλαβῶς φιλοσοφίας ἀντιποιούμενος. εἴκοσι τοῦ Μεσωρὶ (β 2) ἡμέρας συντίθεμαί σοι περιμένειν σε, μεθ᾽ ἃς σὺν Θεῷ τῆς ὁδοῦ ἕξομαι. τὸν ἀγαθώτατον ἑταῖρον πλεῖστά μοι πρόσειπε· φιλῶ γὰρ αὐτὸν, δι᾽ ὅ,τι σε πάνυ φιλεῖ.

Τῷ αὐτῷ. 144.

Φοιβάμμων ὁ τὴν ἐπιστολὴν ἐπιδιδοὺς, καὶ ἀνήρ ἐστιν ἀγαθὸς, καὶ φίλος, καὶ ἀδικεῖται. διὰ πάντα οὖν αὐτῷ συλλαβέσθαι δίκαιος εἶ, καὶ δι᾽ ἡμᾶς, καὶ διὰ τὸν τρόπον, καὶ διὰ τὴν περίστασιν. τοῦτο μὲν οὕτω γινέσθω· καὶ γὰρ ἔοικε σφόδρα πιστεῦσαι τῇ πρὸς ἀλλήλους ἡμῶν εὐνοίᾳ· σοῦ γὰρ δεόμενος, ἐπ᾽ ἐμὲ κατέφυγε, τεθαῤῥηκὼς,

Εἰ δὲ δεῖ μὴ μεταποιεῖν τὴν γραφὴν, ἀρχαὶ, αἷς ἡ τῶν φίλων τετρακτὺς ὁμωνυμεῖ, κατὰ μέν τινας τὰ τέσσαρά εἰσι στοιχεῖα, ἐξ ὧν τὰ σύνθετα (καίτοι τὰ στοιχεῖα αἴτια μᾶλλον, οὐχὶ δὲ καὶ ἀρχαί· ἀρχαὶ γάρ ἡ ὕλη καὶ τὸ εἶδος.) κατὰ δὲ Πυθαγόραν, ἡ ἐν ἀριθμοῖς τετράς· εἴγε πᾶς ἀριθμὸς τοῖς δέκα συμπληροῦται· ὁ δὲ δέκα, σύνθεσις τῶν τεσσάρων· (ἓν γάρ καὶ δύω καὶ τρία καὶ τέσσαρα συντεθέντα, δέκα ἐστί·) καὶ διὰ τοῦτο πάντα ἀριθμὸν τετρακτὺν ἔλεγον· ὡς εἶναι κατὰ τοὺς Πυθαγορείους τὴν τετρακτὺν ἀρχὴν ἀριθμοῦ, τοῦ δεκαδικοῦ δηλ: ἄλλως γάρ ἡ μονάς ἐστιν ἀρχὴ ἀριθμοῦ, ὁ δὲ ἀριθμὸς σωρεία μονάδων. (α 2) Κηλέσης μόνον τὸν ἀναγινώσκοντα μυθολογίᾳ τυχὸν, ἢ οἷς τισιν ἄλλοις πέφυκε τέρπειν ἡ ποίησις, ἐπιστημονικῆς δέ τινος ἕξεως ἀμοιρούσης. Ζήτει τούτους ἑξῆς ἐν τοῖς εἰς τὴν 254 ἐπιστ: πρὸς τῷ τέλει. (β 2) Αὐγούστου.

κῶς, ὅτι δι' ἐμοῦ, σοῦ τεύξεται· καὶ ὑπεσχόμην αὐτῷ τὸν Ἑρκουλιανὸν διὰ Συνεσίου· τὸ δὲ νικᾷν τοὺς λυποῦντας, δι' Ἑρκουλιανοῦ, τῆς ἱερᾶς καὶ τιμίας κεφαλῆς. περὶ τοῦ Κόμητος ἐγεγράφεις (α) δι' Οὐρσικίνου, λέγω δὲ τοῦ τυχόντος ἀρχῆς τῶν ἐν τῇ πατρίδι στρατιωτῶν· καὶ ᾔτεις συνθήματα παρ' ἡμῶν, τοῦ γενέσθαι παρὰ τῶν δυναμένων τοῦτο (β) ποιεῖν σῶν φίλων, γράμματα πρός τε αὐτὸν, καὶ πρὸς τὸν ὀρδινάριον ἄρχοντα. τὴν μὲν οὖν προαίρεσιν (γ) ἀπεδεχόμην καὶ τότε, τὸ δὲ ἔργον, ὡς πάρελκον, ἠρνούμην, γυμνὸν (δ) ἐμαυτὸν εἰς φιλοσοφίαν ἱστάς· νῦν δὲ ἀδικούμενοι φίλοι, καὶ ἰδιῶται, καὶ στρατιῶται, βιάζονταί με βούλεσθαι μεταποιεῖσθαι τῆς πολιτικῆς δυνάμεως, πρὸς ἣν ἀποπεφυκὼς οἶδα, καὶ αὐτοί μοι τοῦτο συνίσασιν· ἀλλὰ βιάζονται σφῶν ἕνεκα ποιεῖν τι καὶ ἀκούσιον. νῦν οὖν εἰ δοκοίη σοι τοῦτο ποιεῖν, ἐπιτρέπω (ε). πρόσειπέ μοι τὸν ἱερὸν ἑταῖρον τὸν διάκονον, καὶ γυμναζέσθω πρὸς ἀνταγωνιστὴν ἱππέα (ζ). προσαγορεύει σε πᾶς μου ὁ οἶκος, προσγινομένου αὐτῷ νῦν καὶ Γ'σίωνος, ὃν ἐπόθεις ἀπὸ διηγημάτων, ὃς αἴτιός μοι γέγονε τῆς ἀγε-

---

(α) Προτέρα ταύτης τῆς ἐπιστολῆς ἐστιν ἡ ἐφεξῆς 146, ἧς ἡ ἀρχή· Ἐπιθυμήσας ἀῤῥενῶσαι κτ: ἐν ἐκείνῃ γὰρ ἀπεποιεῖτο τὴν παρὰ τοῦ Κόμητος ἐκ συστάσεως τοῦ Ἑρκουλιανοῦ, καὶ τῶν περὶ αὐτὸν φίλων προτεινομένην αὐτῷ πολιτικὴν δύναμιν, ἧς ἐν ταύτῃ τῇ ἐπιστολῇ βιαζόμενος ὑπὸ τῶν ἀδικουμένων, μεταποιεῖται. ὁ γοῦν Ἑρκουλιανὸς συστήσας τὸν Συνέσιον πρὸς τὸν Κόμητα, ᾔτει ἑξῆς καὶ τὴν αὐτοῦ συγκατάθεσιν, εἴτ' οὖν ἐπιτροπὴν, ἵνα καὶ γράμματα ὑπὲρ αὐτοῦ παρὰ τῶν φίλων πρός τε τὸν Κόμητα καὶ τὸν στρατοπεδάρχην γένωνται, νενομισμένον ὂν, ὡς ἔοικε, δημαιτήτως τὸν πολιτάρχην προχειρίζεσθαι. Ἐν δὲ τοῖς τοῦ Λατίνου σημειώμασι φέρεται καὶ τοῦτο. Ἑρκουλιανὸς ἐδεήθη τοῦ Κόμητος ὑπὲρ Συνεσίου ὅπως ἀρχῆς τινος τύχῃ, καὶ γράφει τῷ Συνεσίῳ ἵνα εἰ τοῦτο ἀποδέχοιτο, παρασκευάσῃ τοὺς ἑαυτοῦ φίλους ὁ Συνέσιος γράμματα πέμψαι πρὸς τὸν Κόμητα καὶ τὸν Ὀρδινάριον. τὸ γοῦν σῶν φίλων οὐ τοὺς τοῦ Ἑρκουλιανοῦ, ἀλλὰ τοὺς τοῦ Συνεσίου αἰνίττῃ· ἔστι δὲ ὁ λόγος ἀπὸ τοῦ Ἑρκουλιανοῦ πρὸς τὸν Συνέσιον· καὶ ὡς ἐκείνου λέγοντός ἐστι τὸ σῶν. (β) Τὴν πολιτικὴν δύναμιν ἐμοὶ μνηστεύσασθαι. (γ) Σοῦ τοῦ συστήσαντός με. (δ) Πολιτικῆς δυνάμεως. (ε) Σοὶ τοῦτο ποιῆσαι· καὶ τοῦτο ἦν τὸ σύνθημα,

γενῆς καὶ ἀφιλοσόφου τοῦ γραμμάτων (η) αἰτήσεως πρὸς τοὺς ἄρχοντας, καταδεηθεὶς τὰ μὲν, αὐτοπροσώπως ὑπὲρ πολλῶν (θ), τὰ δὲ, δι᾿ ὧν ἐκόμισεν ἐπιστολῶν. καὶ ἔτος ἓν σε μέλλει τῆς διηγορευμένης (ι) εἰκάδος περιμένει.

Τῷ αὐτῷ. 145.

Οἰκέτης ἐμὸς ἐδραπέτευσεν, οὐ τῶν πατρῴων τῶν ἐμῶν, οὐ δὲ τῶν ἄλλως συντραφέντων ἐμοί· ἀγωγῆς γὰρ ἐλευθερίου μεταχόντες, καὶ μικροῦ δέω λέγειν ἐν ὁμοτίμοις ἀγόμενοι (α), φιλοῦσιν ὡς αἱρετὸν ἄρχοντα μᾶλλον, ἢ δεδίασιν ὡς νόμῳ δεσπότην· ἀλλ᾿ ὁ Φιλόρωμος (τοῦτο γὰρ ὄνομα τῷ δραπέτῃ) τῆς ἀδελφιδῆς μου τῆς Ἀμελίου θυγατρὸς οἰκέτης ὢν, ἐμὸς γίνεται δι᾿ ἐκείνης· τραφεὶς δὲ ἐμμελὴς καὶ ἀνάγωγος, φιλόσοφον καὶ Λακωνικὴν (β) ἐπιστασίαν οὐκ ἤνεγκε· καὶ νῦν ἀντ᾿ ἐμοῦ δεσπότην εὑράμενος Ἀλεξανδρέα, περινοστεῖ μετ᾿ ἐκείνου τὴν Αἴγυπτον. Ἀρποκρατίων τίς ἐστι τῶν Ἡρακλειανοῦ δορυφόρων, τάξιν ἔχων τῷ βοηθῷ βοηθεῖν· ἡ γὰρ σουβαδίουβα (γ) λέξις, τοῦτο ἑρμηνεύειν (δ) πιστεύεται· τούτῳ σύνεστιν ὁ Φιλόρωμος· κἀγὼ τό γ᾿ ἐμὸν (ε), εἴασα ἂν χαίρειν (ζ) αὐτόν· πῶς γὰρ εὔλογον τὸν μὲν χείρω τῶν βελτιόνων μὴ δεῖσθαι, τοὺς δὲ βελτίονας ὁμολογοῦν-

---

ὅπερ ᾔτει παρ᾿ αὐτοῦ ὁ Ἑρκουλιανός. (ζ) Ἴσ: ἱερέα, τοῦτ᾿ ἔστιν ἵνα ἀπὸ διακόνου ἱερεὺς γένηται. (η) Ἵνα δηλ: αἰτήσωμαι τὰ παρὰ τῶν σῶν φίλων ὑπὲρ ἐμοῦ πρός τε τὸν εἰρημένον Κόμητα καὶ τὸν Ὀρδινάριον γράμματα. (θ) Τῶν, ὡς εἴρηται, ἀδικουμένων. (ι) προσειληφθείσης ἐν τῇ πρὸ ταύτης ἐπιστολῇ.

(α) Οἱ ἄλλως οὐ μὴν ὡς δοῦλοι ἐμοὶ συντραφέντες. (β) Βραχύλογον, ὡς φιλορρήμων, εἴτ᾿ οὖν πολυρρήμων αὐτὸς ὤν. (γ) Τοῦτο γὰρ ἦν, ὡς ἔοικε, τῷ Ἀρποκρατίωνι τὸ ἐπώνυμον. (δ) Σημαίνειν. (ε) Ὅσον τὸ ἐπ᾿ ἐμοί. (ζ) Φθείρεσθαι, οἴχεσθαι· τὸ γάρ τοι χαιρέτω λαμβάνεται ἐνίοτε ἀντὶ τοῦ ἐρρέτω· ἔχει δέ τινα πρὸς ἐκεῖνο διαφορὰν, καθ᾿ ὅ,τι τὸ μὲν ἐρρέτω, ἐπὶ τῶν ὁμολογουμένως κακῶν λέγομεν· ὡς ἐρρέτω φθόνος, ἐρρέτω φιλο-

γοῦντας εἶναι, δεῖσθαι τοῦ χείρονος; ἀλλ' ἡ δέσποινα τοῦ κακοδαίμονος, οὔπω πείθεται πάνυ φιλοσοφεῖν, ὥστε καταφρονεῖν τῶν οὐκ ἀντεχομένων (η), καὶ κατεδεήθη πολλὰ σταλῆναι τοὺς ἐπανάξοντας αὐτόν· ὑπέστη δὲ τὴν ὑπηρεσίαν αὐθαίρετος ὁ σύσκηνος ἡμῶν Ἀειθαλὴς, ὃν ἐγὼ Θεῷ τε ἡγεμόνι θαῤῥῶν ἔστειλα, καὶ ἀνθρωπίνην ἐπικουρίαν ὑποσχόμενος τὴν παρὰ σοῦ. εἴη σοι τὴν ἐπιστολὴν ἀποδοθῆναι· τὰ δὲ ἐντεῦθεν, ἐπειδὴ παρείληφας τὴν ὑπόθεσιν, Θεῷ καὶ αὐτῷ σοὶ, καὶ Ἀειθαλεῖ μελήσει.

Τῷ αὐτῷ. 146.

Ἐπιθυμήσας (α) ἀῤῥενῶσαι τὴν ἱεράν σου ψυχὴν τῷ διὰ ἐπιστολῶν ἐπιπλῆξαι τῷ σφοδρῷ τῆς εἰς τὴν συντυχίαν ἡμῶν συστάσεως (β), πολλῷ πρότερον ὑπὸ τοῦ κατακλυσμοῦ τῶν ἐν ταῖς ἐπιστολαῖς ἰΰγγων (γ) αὐτὸς ἐθηλύνθην, καὶ εἰμὶ νῦν τοιοῦτος, ὁποίῳ σοὶ συγχάνοντι πρότερον ἐνεκάλουν. ἆρ' οὖν ἀγαθῶν μοι μεγάλων αἴτιος ὁ θαυμάσιος Ἑρκουλιανὸς, οὕτω τὴν ἐμὴν ψυχὴν ἀναρτήσας ἑαυτοῦ, καὶ καταβιβάσας τοῦ φιλοσοφίας ἀξιώματος; ἐγὼ μὲν οὐ διὰ ἄλλο τι τὰς Σειρῆνας ὑπὸ τοῦ ποιητοῦ ἡγοῦμαι βλασφημεῖσθαι, ἢ ὅτι τῷ μελιχρῷ προσαγόμεναι τὸν πιστεύσαντα. ἤκουσα δέ του τῶν σοφῶν καὶ ἀλληγοροῦντος τὸν μῦθον· Σειρῆνας γὰρ αὐτὰς αἰνίττεσθαι τὰς ἀπολαυστικὰς ἡδονὰς, αἳ τοὺς εἴξαντας καὶ καταγοητευθέντας αὐταῖς τῷ προσηνεῖ (δ), μετὰ μικρὸν ἀπολλύουσι. τί οὖν ἀποδέουσιν εἶναι Σειρῆνες, αἱ τῶν σῶν ἐπιστολῶν ἡδοναὶ, ὑφ' ὧν ἐγὼ τὸ ἐμβριθὲς (ε) ἀφεὶς, ὅλος Ἑρ-

νεικία· τὸ δὲ χαιρέτω, ἐπὶ τῶν ἀγαθῶν εἶναι δοκούντων κατ' εὐφημισμὸν, ὡς οὐ δέον φανερῶς δυσφημεῖν καὶ τῶν τοιούτων· οἷον χαιρέτω φιλία, χαιρέτω λόγος, ἐπειδὰν ἀηδῶς τούτων ἤδη τις ἔχῃ. (η) Τῶν μὴ δεομένων αὐτῆς.

(α) Ἐν τῇ 140 ἐπιστολῇ ἧς, ἡ ἀρχή· Τῶν ἐρώτων κτ: (β) Τῇ ἀνενδότῳ καὶ ἐνστατικῇ ἐπιθυμίᾳ περὶ τῆς συντυχίας ἡμῶν. (γ) Θελκτικῶν ἡδονῶν, ὡς ἑξῆς φησι. (δ) Τῇ ὡς εἴρηται μελιχρᾷ καὶ ἐπαγωγῷ φωνῇ. (ε) Ἀρ

Ἐρκυλιανοῦ γέγονα (ζ); μάρτυς Θεὸς, οὐ νόμῳ τοῦ γράφειν (η), ἀντ' ἄλλου εἶδον περὶ τούτου (θ) πεποίημαι λόγους, ἵν' ὑπόθεσιν ἔχω γραμμάτων, ἀλλὰ τῶν παρ' Οὐρσικίνου δοθεισῶν ἐπιστολῶν· ἦσαν δὲ τρεῖς· ἡ μέση κατὰ τὸ μέγεθος ἔμβιόν τι ψυχῆς πάθος (ι) ἐνέσταξέ μοι κομίσασα, καὶ γέγονα τῶν ἐν τοῖς γράμμασι κολακείας ἥττων τοσοῦτον, ὅσον αἰσχύνεσθαι. τὸν ἀδελφὸν Κῦρον ἔδει κομίσασθαι παρὰ σοῦ γράμματα περὶ ὧν ἐδήλωσας, διὰ τὸν ἐκ Πενταπόλεως Κόμητα· καὶ χάριν μὲν ἔχον τῇ προαιρέσει (κ) τοῦ συστήσαντος (λ)· ἐπελάθου δὲ ὅτι φιλοσοφεῖν πειρῶμαι, καὶ μικρὸν ἡγοῦμαι τιμὴν ἅπασαν, εἰ μὴ ἐπὶ φιλοσοφίᾳ γένοιτο. δέομαι οὖν διὰ τὸν Θεὸν οὐδέν (μ)· οὔτε γὰρ ἀδικοῦμεν, οὔτε ἀδικούμεθα (ν). τὸ δὴ τοιοῦτον (ξ), ἐκείνῳ μὲν (ο) ὑπὲρ ἡμῶν ἔπρεπε ποιεῖν, ἡμῖν δὲ αἰτεῖν, οὐ πρέπον· εἰ γὰρ ἔδει (π) ζητεῖν ἐπιστολὰς, αἰτεῖν ἔδει πρὸς ἐμὲ γενέσθαι (ρ)· οὕτω γὰρ ἂν ἐτιμήθην· οὐχ ὑπὲρ ἡμῶν πρὸς ἕτερον. ἐρρωμένος, εὐθυμῶν διαβιώης, φιλοσοφίαν ἀδολώτατα μετιών. πᾶσα ὁμοῦ σε ἡ οἰκία, μάρτυς Θεὸς, καὶ παῖδες καὶ γέροντες καὶ γυναῖκες προσαγο-

---

μενωπόν. (ζ) Ἐθηλύνθην. (η) Νενόμισται γὰρ, εἴτ' οὖν εἴθισται τοῖς ἐπιστέλλουσι γράφειν τὸ, ὅλος εἰμὶ, ἢ γέγονα σός. (θ) Τοῦ, ὅλος Ἐρκυλιανοῦ γέγονα θηλυνθεὶς ὑπὸ τῆς ἐν ταῖς ἐπιστολαῖς ἡδονῆς. (ι) Ζῶσαν ἐρωτικὴν ἡδονήν. (κ) Τῇ σῇ. (λ) Ἐμὲ πρὸς τὸν Κόμητα. (μ) Τὸ Ὁμηρικὸν ἐκεῖνο τοῦ Ἀχιλλέως δοκεῖ ὑπαινίττεσθαι, τὸ,

— — — οὔ τι με ταύτης

Χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ.

(ν) Ὡς μηδένα ἀδικοῦντες ἐκ τούτου οὐδὲ ἀδικούμεθα ὑπό τινος, ἤ τινων (καίτοι ἐξ ἀναγκαίας ἡ συνέπεια, ἐνὸν ἀδικεῖσθαι καὶ μὴ ἀδικοῦντα) μὴ ἀδικούμενοι δὲ ὑφ' ἑτέρων, οὐ δὲ πολιτικῆς τιμῆς, εἴτ' οὖν δυνάμεως δεόμεθα, ὡς μὴ ἔχοντες ὃν ἂν ὡς ἀδικοῦντα ἀμυνώμεθα. (ξ) Τὸ τιμῆσαί με. (ο) Τῷ Κόμητι. (π) Ἐμέ. (ρ) Τοῦτ' ἔστιν ἐχρῆν τοὺς δυναμένους τοῦτο ποιεῖν, γράφειν παρακλητικὰ γράμματα οὐχὶ ὑπὲρ ἐμοῦ πρὸς τὸν Κόμητα, ἀλλὰ πρὸς ἐμὲ αὐτὸν, ἵν' ὦ παρακαλούμενος μᾶλλον κοὐχὶ παρακαλῶν. φαίνῃ δὲ ἐν τούτοις χρώμενος τὸ ἔργον, οὐχ ὡς φιλοσοφεῖν ᾑρημένος, ἀλλὰ μᾶλλον ὡς μὴ τιμηθεὶς, εἴτ' οὖν ἐξαιτηθεὶς καθ' ὃν αὐτὸς ᾔτει τρόπον· ὅθεν ἔπειτα

γορεύουσιν· ἴσως δ' ἂν αὐτὸς (σ) καὶ φιλοφρονουμένας τὰς γυναῖκας μισοίης· ἰδοὺ τί πεποίηκας! ἐν ὁδῷ με ὄντα (τ) ἀπαῒξ λαβόμενος κατέχεις· ἦσαν ἄρα Αἰγύπτιοι φαρμακεῖς, καὶ οὐ πάντα Ὅμηρος ψεύδεται (υ), ὅτε καὶ αὐτὸς ἰΰγγων (φ) πλήρεις ἐπιστολὰς ἐκπέμπεις ἀπ' Αἰγύπτου. Ἑλένη μὲν οὖν (χ) τὸ λαθικηδὲς φάρμακον

Πολύδαμνα πόρε Θῶνος παράκοιτις·

ἀγεννῶς τε καὶ ἀφιλοσόφως ᾔτησε τὰ ὑπὲρ ἑαυτοῦ πρὸς τοὺς ἄρχοντας γράμματα, βίαν τὴν ὑπὸ τῶν ἀδικουμένων εὐπρόσωπον προβαλλόμενος. (σ) Φαίνεται ἐκ τούτων, οὐ μὴν ἀλλὰ καὶ ἐκ τῆς 137 ἐπιστολῆς ὁ Ἑρκουλιανὸς ἀγαμίαν ἀσκῶν, εἴτ' οὖν ᾑρημένος, ἑπομένως καὶ κρεωδαισίας ἀποχήν· ἐφ' οἷς καὶ ἐπέσκωψεν αὐτὸν ἐν τῇ 137 ἐπιστολῇ ὁ Συνέσιος ὡς ἡγούμενον αὐτὰ οὐχὶ ὁδὸν καὶ προοίμιον ἐπὶ τὸ φρονεῖν, καὶ τὴν κατὰ νοῦν ζωήν, ὅπερ ἐστὶ τέλος ἀνθρώπου. ἀλλ' εἴπεν ἄντις, εἴπερ ἡ ἀγαμία καὶ ἡ ἀποχὴ τῆς κρεωδαισίας ὁδός ἐστι καὶ κατ' αὐτὸν Συνέσιον, ἐπὶ τὸ φρονεῖν, ἐφ' ὃ δεῖ δι' αὐτῆς φθάσαι, ὅπως ποτὲ ὁ Συνέσιος, ἐπὶ τὸ φρονεῖν ἢ ἔφθασεν, ἢ σπεύδει φθάσαι, μὴ τὴν ὁδὸν ὁδεύσας τὴν ἐπὶ τὸ φρονεῖν ἄγουσαν, φημὶ δὴ ὁ μήτε τῆς ἰδίας γυναικός, μήτε κρεωδαισίας ἀπεχόμενος; ἔστι μὲν οὖν ὁδὸς ταῦτα, οὐ μὴν καὶ τῶν ὧν οὐκ ἄνευ. (τ) Τοῦ γὰρ Ἑρκουλιανοῦ μέχρι τῆς διηγορευμένης εἰκάδος μὴ ἐλθόντος, ὁ Συνέσιος ἐν ᾧ τῆς ὁδοῦ ἥψατο, τὴν ἐπιστολὴν αὐτοῦ ἐδέξατο. (υ) Τοῦτ' ἔστι τὸν Ὅμηρον καὶ περὶ τῶν ἐν Αἰγύπτῳ φαρμακῶν ψευδόμενον αὐτὸς τό γε σὸν μέρος ἀληθεύοντα ἔδειξας. (φ) Φαρμάκων θελκτικῶν, ἐκστατικῶν, ἀλλοιωτικῶν τῶν φρενῶν. (χ) Ὁ Μενέλεως μετὰ τὴν τῆς Τροίας ἅλωσιν εἰς Αἰθίοπας καὶ Σιδονίους καὶ Ἄραβας, διὰ Κύπρου, Φοινίκης τε καὶ Αἰγύπτου ὠνιών, παρέθετο τὴν Ἑλένην, κατ' Αἴλιον Διονύσιον, Θῶνι βασιλεῖ τοῦ κατὰ Κάνωβον Νειλώου στόματος· τοῦ δὲ Θῶνος ἐρασθέντος αὐτῆς, ὡς καὶ πρὸς βίαν κατεπιχειρῆσαι, ἡ Θῶνος παράκοιτις Πολύδαμνα ζηλώσασα, ἐξέθετο τὴν Ἑλένην εἰς Φάρον νῆσον· οἰκτείρασα δέ, ἔδωκεν οἱ καὶ βοτάνην ἐχθρὰν τοῖς ἐκεῖ πολλοῖς ὄφεσιν, ἣ φυτευθεῖσα καὶ βλαστήσασα, Ἑλένιον ἐκλήθη. ἐν δὲ τῇ ἐπανόδῳ ὁ Μενέλαος, τὸν μὲν Θῶνα ὡς κατεπιχειρήσαντα τῆς Ἑλένης ἀνεῖλε, τῇ δὲ Σπάρτῃ μετὰ τῆς Ἑλένης ἐπιδημήσας, τοὺς περὶ τὸν Τηλέμαχον ξενισθέντας παρ' αὐτῷ, καὶ ὀδυρομένους τὸν Ὀδυσσέα, ὡς μὴ εἰδότας ζώει ὅγε πλανώμενος, ἢ τέθνηκεν, αὐτὸς μὲν ἐπὶ δόρπον ἐκάλει παραμυθούμενος, ἡ δὲ Ἑλένη εἰς οὖν ἔπινον οἶνον βάλε φάρμακον νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων ὃς τό, καταβρόξειεν, ἐπεὶ κρατῆρι μιγείη, οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρει-

σοὶ δὲ τίς (ψ) τὸ ἀνιαρὸν (ω) δέδωκεν, ᾧ χρίσας ἔπεμψας τὴν ἐπιστολήν;

Ἰωάννῃ. 147.

Οἶμαί σε καὶ περὶ εὐχῆς εὖ πράττειν (α), ὅς γε ἀφεὶς τοὺς ἀνθρώπους ἡμᾶς

Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας,

καὶ ταῖς χθονίαις ἐγκαλινδουμένους φροντίσιν, αὐτὸς ὑπὲρ ταύτας στήσας σαυτὸν, ἀνεχώρησας, ἔτι δεῦρο ὢν, καὶ μακαρίας ἥψω ζωῆς· εἰ μὴ φίλος ὢν Γάνος, ἐν τῷ λέγειν καὶ διαγγέλλειν τὰ σὰ πρὸς ἡμᾶς, οἴεται δεῖν τι καὶ ψεύδεσθαι· δεινὸν γὰρ ἡ εὔνοια κλέψαι τὴν ἀλήθειαν. οὗτος οὖν ὁ Γάνος ἐπεφήμισέ σοι τὸν μονήρη βίον, καὶ πρόφασιν τῆς εἰς τὴν πόλιν εἰσόδου βιβλία· καὶ τὸν νοῦν αὐτὸν, ὅσος εἰς θεολογίαν συντείνει, καὶ φαιὸν τριβώνιον ἀμπέχεσθαί σέ φησιν· οὐδὲν μὲν ἦν μεῖον, εἰ καὶ λευκὸν ἦν· τῇ γὰρ φανοτάτῃ φύσει (β) μᾶλλον ἀνακείμενον εἴη τὸ ἐν τοῖς αἰσθητοῖς καθαρὸν, καὶ φωτοειδέστερον· εἰ δὲ καὶ τὸ μέλαν ἐπή-

---

ὢν, οὐδὲ εἴ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε, οὐδὲ εἴ οἱ προπάροιθεν ἀδελφεὸν, ἢ φίλον υἱὸν χαλκῷ δηϊόφεν, ὅδ', ὀφθαλμοῖσιν ὁρῷτο. τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα ἐσθλά· τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. (Ὀδυσσ: Δ) (ψ) Αἰγύπτιος, ἐν ᾧ καιρῷ οὔτε Ἑλένη περίεστιν, οὔτε ἡ Θῶνος παράκοιτις;

(ω) Τὰς ἐν ταῖς τοῦ Ἑρκουλιανοῦ πρὸς αὐτὸν ἐπιστολαῖς ἴυγγκας, ἀνιαρὸν φάρμακον λέγει, καθ' ὃ ἔμβιόν τι τῇ ψυχῇ πάθος ἐνστάξασαι, ἐξεθήλυναν αὐτὸν, ὥστε καὶ αἰσχύνεσθαι.

(α) Πλάτωνος ἡ ἐν ταῖς ἐπιστολαῖς ἐπιγραφὴ τοῦτο. Ἐπικούρου τὸ, εὖ διάγειν, Κλέωνος τὸ, χαίρειν. ὁ δὲ Συνέσιος ἐν ταῖς πρὸς Ἑρκουλιανὸν ἐπιστολαῖς ἐκαινοτόμησε τὴν ἐπιγραφὴν, πολλὰ φρονεῖν αὐτῷ ἐπευχόμενος.

(β) Εἴγε λευχείμονες ὤφθησαν καὶ ὁ παλαιὸς τῶν ἡμερῶν τῷ Δανιὴλ, καὶ

ἐπῄνεσας, ἐπειδὴ ζήλῳ τινῶν προλαβόντων ἐποίησας, ἐπαινῶ πᾶν τὸ ἐπὶ τῷ Θείῳ γινόμενον· τὸ γὰρ οὗ χάριν γίνεται (γ), δίδωσι κατορθοῦν τῷ ποιοῦντι, καὶ ἡ προαίρεσις (δ) ἔχει τὴν ἀρετήν. ἡμεῖς μὲν οὖν σοι συνηδόμεθα, σχεδιάσαντι τὸ τέλος (ε), ὅσπερ ἡμεῖς πάλαι σὺν πόνῳ μόλις θυροκοποῦμεν· σὺ δὲ ἡμῖν σύνευξαι φθάσαι ποτὲ καὶ αὐτοῖς, καὶ εὑρέσθαι τι κέρδος ἀπὸ τῆς ἐν φιλοσοφίᾳ μερίμνης, ἵνα μὴ τὴν ἄλλως ὦμεν κατατετριφότες πρὸς τοῖς βιβλίοις τὸν βίον. ἐρρωμένως εὐδαιμονῶν διαβιώης θαυμάσιε.

Ὀλυμπίῳ. 148.

Ἀπέλιπον τὴν τάξιν τῶν φόρων· τί γὰρ ἦν ποιεῖν, οὐδενὸς Ἑλλήνων τῶν τὴν Λιβύην ἐπῳκηκότων θέλοντος εἰς τὴν παρ᾽ ἡμᾶς (α) θάλατταν ἐκπέμπειν ὁλκάδας; καὶ σὲ δὲ ἀφίημι τῆς συν-

---

ὁ Χριςὸς μεταμορφωθεὶς ἐπὶ τοῦ Θαβὼρ, καὶ οἱ ἄγγελοι τὴν ἀνάςασιν τοῦ Χριςοῦ ταῖς μυροφόροις γυναιξὶ κηρύττοντες· ἀλλὰ καὶ Σολομὼν ἔςωσαν, φησὶ, τὰ ἱμάτιά σου λευκά· καὶ συςήματα μοναχῶν λευχειμονοῦντα τὸ πάλαι ἱςόρηται. Ἐπειδὴ δὲ οἱ ἐπὶ νεκρῷ πενθοῦντες, μελανειμονεῖν εἰώθασι, παρὰ τοῦτο, οἶμαι, καὶ οἱ τὸν μονήρη βίον ἀνῃρημένοι ὡς νεκρωθέντες τῷ κόσμῳ, καθ᾽ ὁμοιότητα μελανειμονοῦσιν· ἀλλὰ γὰρ οἱ τοιοῦτοι οὐχὶ ἑαυτοὺς, ἀλλὰ τὸ τῆς σαρκὸς φρόνημα νεκροῦν ἐπαγγέλλονται· νεκρώσατε γὰρ, φησὶ, τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, κτ': ἑαυτοὺς δὲ παριςᾶν τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας· ἐπὶ δὲ τῇ τοῦ σαρκικοῦ φρονήματος καὶ ἁπλῶς τῇ τῆς ἁμαρτίας νεκρώσει τοὺς τῷ Θεῷ ζῶντας, μὴ λευχειμονοῦντας χαίρειν, κατὰ τὸ, χαίρετε ἐν Κυρίῳ χαίρετε, πάλιν ἐρῶ χαίρετε, ἀλλὰ μελανειμονοῦντας πενθεῖν, μὴ καὶ ἀξύμφωνον τῷ ἐπαγγέλματι ᾖ; (γ) Τοῦτ᾽ ἔςιν ὁ Θεὸς, οὗ χάριν τὸ μεμανειμονεῖν. (δ) Οὐχ ἡ μελανειμονία. (ε) Ἐξ ἑτοίμου ἀπραγμόνως τε καὶ ἀπόνως ἐπιλαβομένῳ τοῦ τέλους, τῆς μακαρίας, φημὶ, ζωῆς,

(α) Γράφε ὑμᾶς· Λυβίη γὰρ ἡ Ἀφρικὴ πρὸς Νότον· Συρία δὲ μέρος οὐ σμικρὸν τῆς Ἀσίας πρὸς Ἀπαρκτίαν· ὁ γοῦν ἐν Λυβίῃ Συνέσιος, καὶ ὁ ἐν Συρίᾳ Ὀλύμπιος εἴτε οὖν Ἰωάννης κοινωνικοὶ, εἴτ᾽ οὖν σύντροφοι γινόμενοι περὶ τὸ τελωνεῖν τῶν ἐμπορικῶν πλοίων τά τε ἀπαίροντα καὶ τὰ καταίροντα, ἐπεὶ

συντάξεως· οὐ δὲ τοῖς Σύροις ἐπιμελὲς καταίρειν εἰς τὰ Κυρηναίων ἐπίνεια· λάθοι δ' ἄν με τοῦτό ποτε καὶ γινόμενον· οὐ γάρ εἰμι γείτων θαλάττης, οὐδ' ἐλλιμενίζω συχνά, ἀλλ' ἀνῴκισμαι (β) πρὸς νότον ἄνεμον, Κυρηναίων ἔσχατος· καὶ γείτονες ἡμῖν εἰσιν, οὓς Ὀδυσσεὺς κατὰ τὴν Ἰθάκην (γ) τὸ πηδάλιον ἔχων (δ) ἐζήτει, μῆνιν Ποσειδῶνος ἐκ τοῦ χρησμοῦ (ε) παραιτούμενος (ζ),

Οἳ οὐκ ἴσασι θάλασσαν
Ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν (η).

Ἀλ-

οὐδετέρωθεν ἑκατέρωσε πλοῖα διεπορεύετο, ἀπέλιπον κἀκεῖνοι τὸ ἐξωνεῖσθαι παρὰ τοῦ δημοσίου τὸ τελώνιον. (β) Ἀνώτερον, εἴτ' οὖν πόῤῥω τῆς πρὸς Ἀπαρκτίαν θαλάσσης οἰκῶ. (γ) Οἱ γὰρ Φαίακες, εἴτ' οὖν οἱ Κερκυραῖοι, διασωθέντα ἐκεῖ ἐκ ναυαγίου τὸν Ὀδυσσέα, φιλοφρόνως δεξιωσάμενοι, ἐντίμως αὐτὸν εἰς τὴν γείτονα Ἰθάκην διεπόρθμευσαν. (δ) Ἐπ' ὤμων, τοῦτ' ἔστι τὴν κώπην. (ε) Τοῦ μάντεως Τειρεσίου. (ζ) Φεύγων· ἢ, ὃ καὶ μᾶλλον, ἐξιλεῶν. (η) Ὁ Ὀδυσσεὺς μετὰ τὴν Τροίας ἅλωσιν πλαζόμενος πολλαχοῦ, ἐξῆς προσωρμίσθη καὶ τῇ νήσῳ τῆς Κίρκης. ζητῶν δὲ μαθεῖν περὶ τοῦ νόστου, ταύτης ταῖς ὑποθήκαις ἀνήχθη κατὰ τὰ ἀνήλια τοῦ ὠκεανοῦ ἄκρα, κἀκεῖ νεκυομαντίᾳ ἀναγαγὼν ἐξ ᾅδου ψυχὰς ἄλλων τε πολλῶν νεκύων, μεθ' ὧν καὶ τὴν Τειρεσίου τοῦ μάντεως, ἔμαθε παρ' αὐτοῦ, ὅτι νοστήσει μὲν οἴκαδε, ἀργαλέως ὅμως διὰ τὸν τοῦ Ποσειδῶνος κότον· (ἦν γὰρ ἐγκοτῶν ὁ Ποσειδῶν αὐτῷ, Ἀνθ' ὧν ἐν Σικελίᾳ γενόμενος, τὸν ἐκείνου υἱὸν Πολύφημον δόλῳ οὐ βίηφι ἐτύφλωσεν· ὅθεν καὶ ἀπὸ τῆς νήσου τῆς Καλυψοῦς, ἔνθα μετὰ τὴν ψυχαγωγὸν νεκυμαντίαν ναυαγήσας ὑπὸ τῆς Καλυψοῦς κατείχετο, ἀπολυθεὶς κατ' ἐπιταγὴν τῶν ἄλλων Θεῶν, μόνος τε καὶ γυμνὸς ἐκ ναυαγίου τῇ τοῦ Ποσειδῶνος μήνιδι ἐξεβράσθη εἰς Φαίακας·) διδάσκεταί τε παρὰ Τειρεσίου ἵνα μετὰ τὸν νόστον καὶ τὴν τῶν μνηστήρων ἀναίρεσιν ἀναλαβὼν ἐπ' ὤμων πρὸς ἐξιλασμὸν τοῦ Ποσειδῶνος εὐῆρες ἐρετμὸν, εἴτ' οὖν εὐάγωγον κώπην, διαπορεύηται ἕως ἂν εἰς ἐκείνους ἔλθῃ, οἳ οὐκ ἴσασι θάλασσαν ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν· οὐδ' ἄρα τοί γ' ἴσασι νέας φοινικοπαρῄους, οὐδ' εὐήρε' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται. σημεῖον δὲ τῶν Ἀνδρῶν τούτων εἰλήφει, ὡς ἔνθα ἂν ὁδεύοντα αὐτὸν ἰδών τις ὁδοίτης, ἀθηρηλοιγὸν, εἴτ' οὖν πτύον λικμητήριον τῶν ἀχύρων εἴποι, ἣν κατ' ὤμαδον φέρει κώπην, οὗτοί εἰσιν, οἳ οὐκ ἴσασι θάλασσαν· (οὐ γὰρ ἂν, εἴπερ, εἶπον τὴν κώπην πτύον) κἀκεῖ πῆξαί τε τὴν κώπην, καὶ ῥέξαι ἱερὰ καλὰ τῷ Ποσειδῶνι, καὶ οὕτως ἐξιλάσηται αὐτὸν, ὡς καὶ ἠπειρώτην Θεὸν ποιήσας τὸν τέως μό-

Ἀλλὰ μὴ λόγον ἄλλως (θ) οἰηθῇς, τὸ μηδὲ μέχρις ἁλῶν ἐνταῦθα δεῦρο κελεῦσαι θαλάττῃ, μήτε μὴν ἄναλτα διὰ τοῦτο κατεσθίειν ἡγοῦ τὰ κρέα τε καὶ τὰ πέμματα· εἰσὶ νὴ τὴν ἱερὰν Ἑστίαν (ι), εἰσὶν ἠπειρῶται παρ' ἡμῖν ἅλες, ἀπέχοντες (κ) πρὸς Νότον ἔλαττον, ἢ πρὸς Ἀπαρκτίαν ἡ θάλαττα. τούτους Ἄμμωνος καλοῦμεν ἐνταῦθα ἅλας· πέτρα δὲ αὐτόθι ψαφαρὰ (λ) καὶ τρέφει καὶ κρύπτει, ἣν ὅταν ἀφέλῃς ἐπιβεβλημένην ὥσπερ ἐφελκίδα (μ), ῥᾳστώνη πολλὴ καὶ χερσὶ καὶ σκαλίσιν ἄρξειν τὸ βάθος· τὸ δὲ ἀναχωννύμενον, ἅλες εἰσὶν, ἰδεῖν τε ἡδεῖς, καὶ γεύσασθαι τὴν ἄλλην ἡδονήν (ν). ἀλλ' ὅπως μὴ σοφιστικὴν ἀπειροκαλίαν (ξ) οἰηθῇς τὸ ἐπεξελθεῖν τῶν ἐπιχωρίων ἁλῶν τῷ διηγήματι· ἥκιστα γὰρ τοῖς ἀγροδιαίτοις ἡμῖν προσιζάνει τὸ φιλό-

---

νοις τοῖς ποντοπορεῦσι γνωριζόμενον· (ἡ μυθολογία ἐν τῷ Λ τῆς Ὀδυσ:) Σημείωσαι δὲ, ὅτι πηδάλιον ὁ Συνέσιος μετωνόμασεν, ὅπερ ὁ χρησμὸς, εἴτ' οὖν ὁ μάντις Τειρεσίας εὐῆρες ἐρετμὸν ἐκάλεσε. σκοπεῖν δὲ κἀκεῖνο, ὅτι ὁ μὲν χρησμὸς ἀνεῖλε τῷ Ὀδυσσεῖ ἔρχεσθαι ἁπλῶς μετὰ τὸν νόστον, λαβόντα εὐῆρες ἐρετμὸν, εἰσόκε τοὺς ἀφίκηαι, οἳ οὐκ ἴσασι θάλασσαν κτ: ὁ δὲ Συνέσιος εἰσάγει ἀστείως τὸν Ὀδυσσέα ζητοῦντα τοὺς τοιούτους ἀνέρας κατὰ τὴν Ἰθάκην, εἴτ' οὖν ἐν αὐτῇ τῇ νήσῳ, ἐν ᾗ οὐκ ἔστιν, ὅς τις οὐκ οἶδε τὴν θάλασσαν. ὑπαινίττεται δὲ, οἶμαι, ὁ μυθικὸς χρησμὸς τὸ καὶ πᾶσι πρόδηλον, ὡς οὐκ ἂν ἄλλως ἐκφύγοι ὁ ποντοπόρος ναυτίλος τὴν μῆνιν τοῦ Ποσειδῶνος, τὸν τῆς θαλάττης, φημὶ, κλύδωνα, καὶ τὴν ἐντεῦθεν ὕβριν καὶ τὰ ναυάγια, ὅτι μὴ γεηπόρος, εἴτ' οὖν ἠπειρώτης γινόμενος, ὅπερ ὑπεδήλου ἡ ναυτικὴ κώπη πηγνυμένη ἐπὶ τῆς ἠπείρου, ἧς οἱ οἰκήτορες οὐκ ἴσασι θάλασσαν. (θ) Μάταιον καὶ ψευδῆ· τὸ γὰρ ἄλλως καὶ ἀντὶ τοῦ ματαίως λαμβάνεται. (ι) Ἑστία κυρίως μὲν ἐσχάρα οἴκου, καθ' ἣν (ἴσ: ἐφ' ἣν) ἔθυον ὁσημέραι Διΐ τε ἑστιούχῳ, καὶ Θεᾷ τινι, ἣν ἐκάλουν Ἑστίαν, διὰ τὸ συνεστάναι τὸν οἶκον δι' αὐτῆς· ἐκεῖθεν δὲ καθ' ὁμωνυμίαν καὶ ὅλος ὁ οἶκος ἑστία ἐλέγετο· ἐντεῦθεν καὶ Ζεὺς ἐφέστιος.

(κ) Ἡμῶν, ἀντὶ τοῦ πλησιέστεροι ἡμῖν εἰσιν οἱ πρὸς Νότον ἅλες, τοῖς καὶ αὐτοῖς, ὡς εἴρηται, ἀνῳκισμένοις, ἢ ἡ πρὸς Ἀπαρκτίαν θάλασσα. (λ) Εὔθραυστος. (μ) Ἐπιδερματίδα, ἢ, ὥς τινες, πλάκα. (ν) Δύο εἰσὶν ἡδοναὶ τοῦ ἅλατος, ἡ μὲν, τοῦ ἰδεῖν, ἡ δὲ ἄλλη τοῦ γεύσασθαι. (ξ) Ῥητορικὴν φιλοδοξίαν, μεγαλοῤῥημοσύνην ἀμέτρως καλλύνουσαν, ἅπερ διηγοῦμαι.

λότιμον πάθος· ἀλλὰ σὺ γὰρ (ο) ἀπαιτεῖς ἕκαστα παρ' ἡμῶν, τὰ περὶ ἡμῶν εἰδέναι· ἀνέχου τοίνυν ἀδολεσχούσης ἐπιστολῆς, ἵνα καὶ τῆς ἀκαίρου πολυπραγμοσύνης δῷς δίκην· ἅμα δὲ καὶ χαλεπὸν εἰς πίστιν τὸ ἑκάστοις ἀπότροφον. οὐ φαῦλον οὖν ἔργον (π) Σου-ρον ἀναπεῖσαι περὶ χερσαίων ἀλῶν, ἐπεὶ καὶ δεῦρο πράγματα ἔχω, περὶ νεῶν καὶ ἱστίων καὶ θαλάττης ἀνακρινόμενος· οἶσθα γὰρ ὡς ἐγὼ καὶ φιλοσοφῶν ποτε ἅμα ὑμῖν, ἐθεασάμην τὸ χεῖμα τοῦτο τὴν θάλασσαν, καὶ πρὸς Φάρῳ, καὶ πρὸς Κανώβῳ, τὴν μεγάλην λίμνην τὴν ἁλμυράν. καὶ εἵλκετο ναῦς (ρ), καὶ ἀνήγετο (σ) πρὸς οὖρον αὕτη, κώπαις ἐκείνη. ἐγελᾶτε γοῦν εἰκάσαντος αὐτὴν ἐμοῦ ζώῳ πολύποδι. οἱ δὲ (τ), διάκεινται τὰς γνώμας (υ), ὥσπερ ἡμεῖς (φ), ὅταν ὑπὲρ τῶν ἐπέκεινα Θούλης (χ) ἀκούωμεν, ἥ τίς ποτέ ἐστιν ἡ Θούλη, διδοῦσα τοῖς διαβᾶσιν αὐτὴν ἀνεύθυνα καὶ ἀνέλεγκτα (ψ) ψεύδεσθαι. ἀλλ' οὗτοί γε (ω) κἂν προσίωνταί ποτε τὰ περὶ τῶν νεῶν, ἢ δόξωσιν ἐκεῖνο (α 2) γελᾶν, ἀνὰ κράτος ἀπιστοῦσιν, ὅτι δύναται τρέφειν ἀνθρώπους καὶ θάλαττα· τοῦτο γὰρ μόνην ἔχειν ἀξιοῦσι τὴν μητέρα γῆν τὸ πρεσβεῖον. ἐγὼ δέ ποτε αὐτοῖς ἀνανεύουσι πρὸς τὰ περὶ τῶν ἰχθύων, ἀναλαβὼν καὶ προσαρράξας πέτρῳ (β 2) τινὰ κέραμον, ἔδειξα τῶν ἀπ' Αἰγύπτου ταρίχη συχνά· οἱ δὲ, ὄφεων πονηρῶν ἔφασαν εἶναι σώματα, καὶ ἀναθορόντες ἔφευγον, τὰς ἀκάνθας ὑποπτεύοντες, ὡς οὐδὲν ἠπιωτέρας τῶν διὰ τῶν ὀδόντων φαρμάκου· καὶ ἔφη τίς ὁ γεραίτατος, καὶ ἐν τῇ δόξῃ (γ 2) φρε-

νῶν

(ο) Ὁ ἀλλὰ, παρέλκει. Ἐμοὶ δὲ δοκεῖ ὅτι παρέλκει ὁ γάρ. (π) Οὐκ ἀτελὲς, οὐ μικρὸν, οὐ ῥᾷστον, ἀλλὰ μέγα καὶ δυσχερές. (ρ) Ἀπὸ τοῦ νεωρίου εἰς θάλασσαν. (σ) Εἰς τὸ πέλαγος. (τ) Οἱ ἡμῖν γείτονες. (υ) Ἀπιστοῦσι δηλαδὴ ἡμῖν. (φ) Διακείμεθα ἀπιστοῦντες. (χ) Θούλη, τῶν Βρετανικῶν νήσων ἡ ἐσχάτη ἐν τοῖς ὑπερβορείοις τοῦ ὠκεανοῦ. (ψ) Ὡς μὴ ἔχουσά τινα τῶν ἀκεόντων ἐλέγχοντα τοὺς ψευδομένους. (ω) Οἱ ἡμῖν γείτονες. (α 2) Τὸ περὶ τῶν νεῶν. (β 2) Πέτρῳ γραπτέον, οὐ πέτρα, ἐπεὶ κἀν τῷ Η τῆς Ἰλιάδος ὁ Αἴας τὴν ἀσπίδα τοῦ Ἕκτορος μυλοειδεῖ πέτρῳ ἔαξε βαλών· ἐξ οὗ δὴ παρέξεσται τὸ παρὸν Συνεσίῳ, (γ 2) Καθ' ἣν εἶχεν ὑπόληψιν ὡς γεραίτατος.

νῶν ἐπηβολώτατος, χολῇ γοῦν περὶ ὕδατος ἀλυκοῦ πιστεῦσαι, καλόν τι αὐτόθι τρέφεσθαι καὶ ἐδώδιμον, τῶν πηγαίων, τῶν ἀγαθῶν καὶ ποτίμων ναμάτων, βατράχους καὶ βδέλλας γλυνώντων, οὐδ' ἂν ὁ μαινόμενος γεύσαιτο· καὶ εἰκότα γε ἀγνοοῦσιν·

Οὐ γὰρ σφᾶς ἐκ νυκτὸς ἐγείρει κῦμ' ἐπιθρῶσκον πελάγους, ἀλλ' ἵππων χρεμετισμοὶ, καὶ μηκάζον αἰπόλιον, καὶ προβατίων βληχὴ, καὶ ταύρου μύκημα· πρώτης δὲ ἀκτῖνος ἐπιβαλέτης, τῶν μελιττῶν ὁ βόμβος (δ 2), εἰς ἡδονῆς λόγον οὐδεμιᾷ παραχωρῶν μουσικῇ· μή τοί σοι δοκῶμεν ἐκδιηγεῖσθαι τὰς Ἀγχεμάχου (ε 2), τοιοῦτον οἰκοῦντες ἀγρὸν, πόῤῥω πόλεως καὶ ὁδῶν καὶ ἐμπορίας καὶ τρόπων ποικίλων (ζ 2); ἡμῖν γὰρ ἔστι χολὴ μὲν φιλοσοφεῖν, ἀχολία δὲ κακουργεῖν· συνόδοι δὲ πᾶσαι πᾶσιν ἑταιρικαὶ, χρωμένων ἀλλήλοις ἐπὶ γεωργίαν, ἐπὶ ποίμνας, ἐπὶ ποιμένας, ἐπὶ θήραν, ὧν ἡ γῆ φέρει παντοδαπήν· οὐδὲ γὰρ νόμος ἡμῖν, οὔτ' αὐτοῖς, οὔθ' ἵπποις ἀνιδρωτὶ σῖτον αἱρεῖσθαι· ἀριστῶμεν δὲ ἐπ' ἀλφίτοις, ἡδίστοις μὲν ἐμφαγεῖν, ἡδίστοις δὲ ἐμπιεῖν, ἃ καὶ τῷ Νέστορι (η 2) κίρνησιν Ἑκαμήδη. μετὰ τὸν κόπον, ἰσχυρὸν ὁ κυκεὼν τῆς θερινῆς ὥρας ἀλέξημα. καὶ μὴν ἔστιν ἡμῖν καὶ πύρινα πέμματα, καὶ τρωκτὰ ἀκροδρύων, τὰ μὲν, ἥμερα, τὰ δ' ἄγρια, πάντα ἐγχώρια, γῆς ἀρίστης χυμοὶ, καὶ κηρία μελιττῶν, καὶ γάλα ἐξ αἰγῶν· οὐ γὰρ νομίζομεν βοῦς ἀμέλγειν. ποιεῖ δὲ οὐκ ἐλάττω τὴν ἀφθονίαν ἐν ταῖς τραπέζαις, καὶ ἡ διὰ τῶν κυνῶν καὶ τῶν ἵππων θήρα, ἣν οὐκ οἶδα πῶς οὐ προσεῖπεν Ὅμηρος κυδιάνειραν, οὐδὲ ἀρι-

(δ2) Ἐγείρει ἐκ νυκτός. (ε2) Γράφεται καὶ Ἀγεμάχου ἐν ἄλλοις· τίς δὲ οὗτος ὁ εἴτε Ἀγχέμαχος, εἴτε Ἀγέμαχος, ὁ τῷ βόμβῳ τῶν μελισσῶν πρωΐας ἐξεγειρόμενος, ζητητέον· ἐπεὶ καὶ τοὺς ἐπιχωρίους μουσικοὺς Ἀγχεμαχητὰς, εἴτε οὖν Ἀγεμαχητὰς ἑξῆς ὀνομάζει. (ζ2) Ἠθῶν πανούργων. (η2) Ὁ κυκεὼν, ὃν τεῦχε τοῖς περὶ Πάτροκλον καὶ Ἀχιλλέα ἡ τῷ Νέστορι μνηστευθεῖσα Ἑκαδήμη θυγάτηρ Ἀρσινόου, ποτὸν ἦν ἐκ μέλιττος χλωροῦ, καὶ ἀλφίτων κριθῆς καὶ κρομύου, καὶ Αἰγείου τυροῦ κνῆστι κνηστοῦ, καὶ οἴνου πραμνείου ἐσκευασμένον Ἰλ. Λ

ἀριπρεπέας ἔφη τοὺς ἄνδρας ἐν αὐτῇ γίγνεσθαι· τὴν δὲ ἀγορὰν ἐγκωμίῳ τοιούτῳ τετίμηκεν, ἀνθρώπια παρεχομένην ἀναιδῆ καὶ παμπόνηρα, καὶ οὐδὲν ὑγιές, ἀλλὰ λοίδορα, καὶ κακορραφεῖν εἰδότα, ἐφ' οἷς καὶ γελῶμεν ἡμεῖς, ὅταν ποτὲ ἡμῖν ὁμάρροφα (θ2) γένηται· φρίττουσι γάρ τοι πρὸς τὰ ἐκ τῶν καμίνων κρέα τὰ θήρια, καὶ τί λέγω τὰ θήρεια; φαρμάκου γ' ἂν θᾶττον, ἢ τούτων παρ' ἡμῖν γεύσαιντο. ζητοῦσι (ι2) δὲ οἶνον μὲν τὸν λεπτότατον, μέλι δὲ τὸ παχύτατον· καὶ ἔλαιον μὲν τὸ κουφότατον, πυρὸν δὲ τὸν βαρύτατον· καὶ πατρίδας αὐτῆς ὑμνοῦσι, Κύπρον (κ2) καὶ Ὑμηττόν τινα (λ2), Φοινίκην (μ2), καὶ Βάρβαρον (ν2). ἡμῖν δὲ ἡ χώρα καὶ εἰ καθ' ἓν (ξ2) ἑκάστης ἡττᾶται τῆς τὸ ἄκρον φερούσης, τοῖς λοιποῖς ἑκάστην νικᾷ· καὶ τοῦτ' ἔστι τὸ ἐκ δευτέρων πρωτεῖον, ὃ καὶ Πηλεὺς καὶ Θεμιστοκλῆς (ο2) εὑράμενοι, πάντα πάντων ἄριστοι τοῖς Ἕλλησιν ἐκηρύχθησαν. εἰ δὲ δὴ καὶ δοίημεν τὸ δεῦρο μέλι χεῖρον εἶναι πρὸς τὸ Ὑμήττειον, ἀλλὰ τοιοῦτόν ἐστιν, οἷα παρόν-

(θ2) Γρ: ὁμώροφα, καὶ ὅρα τὴν ὀρθογραφίαν τῶν ἐκ τοῦ ὄροφος συνθέτων ἐν τῷ Θεοδώρῳ τῷ Γαζῇ. (ι2) Παρ' ἡμῖν ἑστιώμενοι. (κ2) Διὰ τὸν ἀνθοσμίαν οἶνον τὸν λεγόμενον κουμανταρίαν. (λ2) Διὰ τὸ ἐν Ἀθήναις Ὑμήττειον μέλι. (μ2) Διὰ τὸ κουφότατον ἔλαιον. (ν2) Διὰ τὸν βαρύτατον σῖτον. (ξ2) Οἷον εἰ κατὰ τὸ μέλι ἡττᾶται τῶν Ἀθηνῶν, κατά γε μὴν τἆλλα, οἶνον λέγω καὶ ἔλαιον καὶ σῖτον νικᾷ αὐτάς· ὡσαύτως καὶ τῆς Κύπρου ἡττωμένη κατὰ τὸν οἶνον, νικᾷ αὐτὴν κατὰ τὰ ἄλλα, καὶ ἁπλῶς καθ' ἓν καὶ μόνον ἡττωμένη ἑκάστης, κατὰ τὰ ὑπόλοιπα τρία νικᾷ αὐτήν, ἐν τοῖς δευτέροις τοῖς καὶ πλείοσι τὸ πρωτεῖον ἔχουσα. (ο2) Τῶν Ἑλλήνων καταναυμαχησάντων ἐν τῇ κατὰ Σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, ἕκαστος ἔπειτα τῶν ναυάρχων παριὼν εἰς θέατρον ἔλεγεν, ὡς αὐτὸς πρῶτος ἠρίστευσεν ἐν τῇ ναυμαχίᾳ· ἐρωτώμενος δὲ, τίς μετ' αὐτὸν δεύτερος ἠρίστευσεν; ὁ Θεμιστοκλῆς ἔλεγον· καὶ οὕτως ὁ Θεμιστοκλῆς ἐν δευτέροις ὢν τὰ πρωτεῖα, πρῶτος ἑκάστου τῶν πρώτους ἑαυτοὺς λεγόντων ἀναδέδεικται· εἴγε λέγοντες ἕκαστος ἑαυτὸν μὲν, πρῶτον, δεύτερον δὲ τὸν Θεμιστοκλέα, ἀνῄρουν τὰ ἀλλήλων πρωτεῖα. τῶν δὲ ἑκάστου πρωτείων οὕτως ἀναιρουμένων, ὁ παρὰ πάντων δεύτερος ταχθεὶς, πρῶτος ἁπάντων ἐδείκνυτο. ὡσαύτως δὲ καὶ περὶ τῶν χυμῶν τῆς γῆς, ἑκάστη τῶν ἄλλων πόλεων ἑαυτὴν μὲν πρώτην, δευτέ-

ρόντος, ὐδὲν δεῖν τοῦ ξένου χυμοῦ (π 2)· ἔλαιον μέντοι σαφῶς τὸ ἡμεδαπὸν ἄριστον, ἢν μὴ κρίνωσιν οἱ διεφθορότες τὴν δίαιταν· ἐκεῖνοι μὲν γὰρ αὐτὸ ζυγοστατοῦσι, ῥοπῇ τὴν ἀρετὴν ἐξετάζοντες, καὶ τὸ μειαγωγοῦν (ρ 2) ἐν πλεονεκτήματος μοίρᾳ λογίζονται· ἡμῖν δὲ οὐ χαλκεύονται μὲν ἐπὶ τοὔλαιον τάλαντα, φαμὲν δέ, εἴπερ αὐτὸ δέοι ποιεῖν, φύσιν εἶναι τὸ πλέον ἕλκον (σ 2) τιμᾶν. ἀμέλει τὸ θαυμαστὸν αὐτοῖς καὶ ὤνιον (τ 2) ἔλαιον, ἐν ταῖς θρυαλλίσιν, ὑπ' οὐδενείας (υ 2) ἀσθενεῖ θρέψαι φλόγα· τὸ δὲ αὐτόχθον, ὑπὸ γενναιότητος (φ 2) πυρκαϊὰν ὅλην ἀνίστησι, κἂν ἐπειδὰν λύχνου δέοι, χειροποίητον ἡμέραν ποιεῖ· ἀγαθὸν δὲ λιπᾶναι μάζαν (χ 2), ἀγαθὸν δὲ σωμασκοῦσι θρέψαι νεῦρα. ἡμῖν δὲ καὶ τὸ μουσικῆς χρῆμα ἐπιχώριον ὡς οὐδὲν ἄλλο, καὶ ἔστιν Ἀγχεμαχηταῖς λύριόν τι (ψ 2) ποιμενικόν, λιτὸν (ω 2) καὶ αὐτόσκευον (α 3), εὔφημόν τε (β 3) καὶ ἄρρεν (γ 3) ἐπιεικῶς, οὐκ ἀνάξιον εἶναι ἐν τῇ Πλάτωνος πόλει παῖδας ἐκτρέφειν (δ 3), ὡς οὐ λυγίζεται (ε 3) τοῦτο, οὐ δὲ ἀρετὴν ἔχει παμφανῶς ἡρμόσθαι, τῷ δὲ ἁπλῷ τῶν χορδῶν συμβαίνουσιν οἱ προσᾴδοντες· οὐ γὰρ ἐπιτίθενται (ζ 3) τρυφώσαις (η 3) ὑποθέσεσιν, ἀλλ' ἔστιν ὑμῖν καλόν τι χρῆμα ᾠδῆς, ἔπαινος ἐνόρχου κριοῦ, καὶ ὁ μείουρος κύων ἐγκωμίου τυγχάνει, ὅτι, οἶμαι, δίκαιός ἐστι (θ 3), τὰς ὑαίνας οὐκ ὀρρωδῶν, καὶ λαρυγγίζων

ραν δὲ μεθ' αὐτὴν ἑβδομίαν ἀλλ' ἢ τὴν Κυρήνην τιθεῖσα, τὴν δευτερεύουσαν πρωτεύουσαν δείκνυσιν ἐν τοῖς χυμοῖς τῆς γῆς.' (π 2) Καὶ παρόντος γὰρ τοῦ ξένου, τὸ ἡμεδαπόν ἐστιν ἡμῖν αἱρετώτερον. (ρ 2) Τὸ κουφότερον τῇ ῥοπῇ, βαρύτερον τῇ τιμῇ λογίζονται. (σ 2) Τὸ βαρύτερον τιμᾶσθαι.
(τ 2) Παρ' ἡμῖν. (υ 2) Κουφότητος. (φ 2) Βαρύτητος. (χ 2) Ἀπὸ τῆς μάζης συνεκδοχικῶς καὶ ἅπαν ἐδώδιμον, ἕψημα. (ψ 2) Λύρα τὸ μουσικὸν ὄργανον. (ω 2) Ἀποίκιλον. (α 3) Ὑπ' αὐτοῦ τοῦ ποιμένος οὐχ ὑπὸ τοῦ τεχνίτου κατασκευαζομένη. (β 3) Ὑποθέσεις σεμνὰς τὰς ἐξῆς ἔχουσα, οὐκ αἰσχράς. (γ 3) Οὐκ ἐκθηλῦνον λυγίζον, θρύπτον. (δ 3) Πλάτων ἐν τῷ γ', τῶν πολιτειῶν. (ε 3) Ἐν ἄλλ: λογίζεται. (ζ 3) Εἴτ' οὖν χρῶνται. (η 3) Ἐκθηλυνούσαις, γυναικιζούσαις, θρυπτούσαις, αἰσχραῖς. (θ 3) Τυγχάνειν ἐγ

γίζων (ι3) περὶ λύκους· καὶ ὁ κυνηγέτης οὐχ ἥκιστα ᾠδὴ γί-
νεται, ταῖς κατανομαῖς (κ3) εἰρήνην ποιῶν, καὶ εὐωχῶν ἡμᾶς
πανδεσίᾳ κρεῶν· ἥ τε διδυμοτόκος ὄϊς οὐκ ἀπαξιοῦται τῆς
λύρας, ὅτι πλείω τῶν ἐτῶν ἐκτρέφει τὰ ἔγγονα· τὴν δὲ
κράδην θαμὰ καὶ τὴν ἄμπελον ἐντείναντες (λ3), ψάλλομεν·
οὐδὲν δὲ (μ3) ὅσον εὐχαί τινες, ἔτι τε ᾆσμα, καὶ αἰτήσεις ἀγα-
θῶν ἀνθρώποις, καὶ φυτοῖς, καὶ βοτοῖς. ταῦτά σοι καὶ τὰ τοι-
αῦτα παρ' ἡμῖν ὥρια καὶ ἀρχαῖα καὶ πενήτων ἀγαθά. βασι-
λεὺς δὲ καὶ βασιλέως φίλοι, καὶ δαίμονος ὄρχησις, (ν3) οἷα
δὴ συνιόντες ἀκούομεν, ὀνόματά τινα καθάπερ αἱ φλόγες ἐπὶ
μέγα τῆς δόξης ἐξαπτόμενα καὶ σβεννύμενα, ταῦτα δεῦρο
ἐπιεικῶς σιγᾶται, καὶ σχολὴ ταῖς ἀκοαῖς τοιούτων ἀκροαμάτων·
ἐπεὶ καὶ βασιλεὺς, ὅτι μὲν ζῇ τις ἀεὶ, τοῦτ' ἴσως ἐπίστανται
σαφῶς· ὑπομιμνησκόμεθα γὰρ ἅπαν κατ' ἔτος ὑπὸ τῶν ἐκλε-
γόντων τοὺς φόρους· ὅς τις δὲ οὗτός ἐστιν, οὐ μάλα ἔτι τοῦτο σα-
φῶς· ἀλλ' εἰσί τινες ἐν ἡμῖν, οἳ μέχρι καὶ νῦν Ἀγαμέμνονα
κρατεῖν ἥγηνται τὸν Ἀτρείδην, τὸν ἐπὶ Τροίαν (ξ3), τὸν
μάλα καλόν τε καὶ ἀγαθόν· τοῦτο γὰρ παιδόθεν ἡμῖν ὡς βασι-
λικὸν παραδέδοται τοὔνομα· καὶ Ὀδυσσέα τινὰ φίλον αὐτοῦ ὀνο-
μάζουσιν οἱ χρηστοὶ βουκόλοι, φαλακρὸν μὲν ἄνθρωπον, ἀλλὰ
δεινὸν ὁμιλῆσαι πράγμασι, καὶ πόρον ἐν ἀμηχάνοις εὑρεῖν.
ἀμέλει γελῶσιν, ὅταν περὶ αὐτοῦ λέγωσιν, ἡγούμενοι πέρυσιν,
ἐκτετυφλῶσθαι τὸν Κύκλωπα· καὶ ὡς εἵλκετο (ο3) μὲν ὑπὸ τῷ
κριῷ

κωμίου. (ι3) Ὥσπερ ἵππου τὸ χρεμετίζειν, ὄνου τὸ ὀγκᾶσθαι, αἰγῶν τὸ μη-
κᾶσθαι, προβάτων τὸ βληχᾶσθαι, καὶ ἄλλων ἄλλα, οὕτω καὶ κυνὸς τὸ ἀρρίζειν κατὰ
Βλεμμύδην, παρὰ τὸ ἐν τῷ λάρυγγι γινόμενον αρρρ· ὁ δὲ Συνέσιος λαρυγ-
γίζειν τὸ ἀρρίζειν εἶπεν· λέγει δὲ λαρυγγίζειν, τὸ ὑλακτεῖν. (κ3) Οἱ δαι-
τυμόνες μὴ καὶ θηρείων κρεῶν παρακειμένων, δυσχεραίνουσι πρὸς τὸν ἑστιάτο-
ρα. ὁ γοῦν κυνηγέτης καὶ θήρεια κρέα διανέμων αὐτοῖς, εἰρηνεύει αὐτούς.
(λ3) Τὰς χορδάς. (μ3) Τοσοῦτον ᾄδεται παρ' ἡμῖν. (ν3) Τὴν τύχην,
οἶμαι, λέγει τὴν τοὺς φίλους τοῦ βασιλέως, καὶ αὐτὸν βασιλέα νῦν μὲν, ὑψοῦ-
σαν, νῦν δὲ ταπεινοῦσαν. (ξ3) Στρατεύσαντα. (ο3) Ὅρα τὴν μυθολο-

κρίῳ τὸ γερόντιον· τὸ δὲ κάθαρμα τὴν θύραν ἐτήρει, καὶ ὤραγεῖν ᾤετο τὸν ἡγεμόνα τῆς ποίμνης, οὐκ ἀχθόμενον τῷ φορτίῳ, τῇ δὲ αὐτοῦ συμφορᾷ (π 3) συναχθόμενον. ἐγένου βραχύ τι διὰ τῆς ἐπιστολῆς μεθ' ἡμῶν τῇ γνώμῃ· τεθέασαι τὸν ἀγρόν· εἶδες ἁπλοῦν πολιτευμάτων· τὸν ἐπὶ Νῶε βίον ἐρεῖς, πρὶν γενέσθαι (ϱ 3) τὴν δίκην ἐν δουλείᾳ.

Τῷ αὐτῷ. 149.

Ἡμῖν ἀεὶ καὶ ἀπὼν ἐπιδημεῖς τῇ μνήμῃ· καὶ γὰρ οὐδ' ἂν εἰ πάνυ βουληθείημεν, ἐπιλαθέσθαι δυνάμεθα τῆς γλυκυτάτης σου ψυχῆς, καὶ τῶν ἀδολωτάτων ἠθῶν, ἀδελφὲ διὰ πάντα θαυμάσιε· ὡς οὐδὲν ἂν ἐν ἡμῖν γένοιτο τῆς περὶ σὲ μνήμης ἱερώτερον (α), ἢ τὸ πάλιν περιπτύξασθαι τὴν σεβασμίαν σου κεφαλήν· ὃ δοίη ποτὲ Θεὸς, καὶ ἴδοιμέν σε, καὶ ἀκούσαιμέν σου τῆς ἡδίστης τῶν λόγων ἠχοῦς. ἦσας δὲ ἡμᾶς καὶ οἷς ἀπέστειλας· ἅπαντα γὰρ ἐκομισάμεθα· πλέον δ' ἠνίασας ἡμᾶς τῷ λογισμῷ, τῷ, ποίου τινὸς ἑταίρου ζῶντος ζῶντες στεροίμεθα! ἔλθοι δή ποτε καὶ συντυχίας καιρὸς, καὶ εὐτυχήσαιμι τοῦτο παρὰ Θεοῦ.

γίαν ἐν τῷ 1 τῆς Ὀδυσ: (π 3) Τῇ τοῦ Κύκλωπος ἐκτυφλώσει.

(ϱ 3) Τοῦ χωρίου τούτου τὴν ἀσάφειαν ἄλλοι μὲν ἄλλως διασαφεῖν ἐπεχείρησαν, ἐγὼ δὲ οἶμαι τὸν Συνέσιον τοῦτο λέγειν, ὡς οἱ μὲν ἐπὶ τοῦ Νῶε, μέχρι τῆς πυργοποιίας ἀβασιλεύτως βιοῦντες, τὰ τῆς δίκης, εἴτ' οὖν τὰ δίκαια καὶ νόμιμα οὐχ ὡς οἱ δοῦλοι ὑπὸ δεσπότου ἀναγκαζόμενοι, ἀλλ' ἀκαταναγκάστως καὶ αὐτοπροαιρέτως καὶ ἐλευθέρως, καὶ ἁπλῶς εἰπεῖν φύσει ἔπραττον· μετὰ δὲ τὴν πυργοποιίαν ἐπὶ πρόσωπον πάσης τῆς γῆς διασπαρέντες, καὶ κατὰ συστήματα βασιλέας ἑαυτῶν χειροτονήσαντες, ὡς δοῦλοι λοιπὸν ἠναγκάζοντο καθ' οὓς οἱ βασιλεῖς ἔθεντο νόμους δικαιοπραγεῖν· καὶ οὕτως ἡ ἐπὶ Νῶε ἀκαταναγκαστος δικαιοπραγία, ἐπὶ τῶν μετὰ ταῦτα ἐν δουλείᾳ ἐπράττετο, βασιλέων. δηλαδὴ καὶ ἡγεμόνων καὶ ἀρχόντων ἐπιταττόντων τοῖς ὑποχειρίοις ἑκοντὶ ἀέκοντι δικαιοπραγεῖν.

(α) Ἱερὸν μὲν ἡμῖν ἡ σὴ μνήμη, ταύτης δὲ ἱερώτερον οὐδὲν ἂν γένοιτο, ἢ τὸ πάλιν περιπτύξασθαι κτ:

Πυλαιμένει. 150.

Οὐ δὲ τὴν σὴν Ἡράκλειαν ἀνήκοον οἶμαι γεγονέναι τοῦ παρ᾽ ἡμῖν φιλοσοφήσαντος Ἀλεξάνδρου, ἀνδρὸς ἁπανταχοῦ διαβάντος μετὰ δόξης·

Κωφὸς ἀνήρ, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλῃ (α)· Τούτου παῖς, ἐμὸς ἀνεψιός, ἐπιδώσει σοι τὴν ἐπιστολὴν, τὸν πατρῷον ζῆλον (β) ὑπεισελθὼν, οὐ διὰ τῆς στολῆς (γ), ἀλλὰ διὰ τῆς γνώμης. στέλλεται οὖν ἐπὶ πονηροὺς ἄνδρας, τὸν Ἡράκλειον τρόπον ἐκκαθαίρων αὐτῆς τὴν πατρίδα. Θεοῦ δὲ ἔδει (δ) δήπου καὶ Ἡρακλέους (ε), οὐ μὴν ἀλλὰ καὶ Ἰόλεω συμμάχου (ζ) καὶ παραστάτου. οὐκοῦν τὸν μὲν Θεὸν ἑαυτοῦ (η) ποριεῖται τὸν ἐνόντα τρόπον, καὶ προσκλινεῖ, βίου τε ἀρετῇ καὶ γνώμης εὐσεβείᾳ· τὴν δὲ σὴν φιλίαν, ἀντὶ τοῦ Ἰόλεω μνηστευόμεθα ἡμεῖς αὐτῷ διὰ τῆς ἐπιστολῆς. συνέσῃ δὲ τοσαῦτα αὐτῷ, ὅσα ἡμῖν. κἂν χρήσῃ τῇ φιλίᾳ τοῦ νεανίσκου, πάντως ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Τῷ αὐτῷ. 151.

Ἆρά μοι μένεις φιλόσοφος; ἆρα ἐκεῖνος, ὃν ἀπολέλοιπα, Πυλαιμένης, ἡ νεοτελὴς ψυχὴ, τὸ σπέρμα τὸ θεῖον; φοβοῦμαι τὸν χρόνον τὸν ἀπὸ γενέσεως (α)· πλεῖον φοβοῦμαι τὴν ὁμιλίαν τῆς ἀγορᾶς, τὸ ἐγκαλινδεῖσθαι συχναῖς ἤδη τύχαις (β) καὶ πρά-

---

(α) Γρ: παραβάλῃ, κατ᾽ ἔλλειψιν τοῦ ἐάν, διὰ τοῦτο καὶ ὑποτακτικ[illegible] (β) Τὸν Ἡράκλειον μᾶλλον, ἢ τὸν Ἀλεξάνδρειον. (γ) Τῆς λεοντῆς καὶ τοῦ ῥοπάλου, ἃ ἔφερεν Ἡρακλῆς. (δ) Τῇ πατρίδι εἰς κάθαρσιν. (ε) Τοῦ ἐμοῦ ἀνεψιοῦ, τοῦ τὸν ζῆλον τοῦ Ἡρακλέους ὑπεισελθόντος. (ζ) Τῷ νέῳ Ἡρακλεῖ. Ἐν τῇ κατὰ Πελοπόννησον Λέρνῃ λίμνῃ ἐτράφη ὑπὸ τὴν παρακειμένην πλάτανον ἡ Ὕδρα, ὄφις ἑπτακέφαλος. ἐπεὶ δὲ ὁ Ἡρακλῆς τέμνων τὰς κεφαλὰς, ἑπτὰ καθ᾽ ἑκάστην κεφαλὴν ἀναφυομένας ἑώρα, κελεύσας Ἰόλεω ἐπικαίειν τὰς κεφαλὰς, εἶτ᾽ οὖν τὰς τομὰς, ἀνεῖλε τὸ θηρίον. (η) Ἴσ. ἑαυτῷ.

(α) Τὸ νέον δηλονότι τῆς ἡλικίας σου. (β) Ταῖς νῦν μὲν ἄνω, νῦν δὲ

πράξεσι, μὴ μολύνῃ τὸν ἁγιώτατον. νεὼν, τὸν νοῦν σου τὸν ἱερὸν, ὃν ἐγὼ μετ' ὀλίγων (γ) ἀξιώτατον ἡγοῦμαι δοχέα Θεοῦ. καὶ οἶδα μέν τοι συνοργιάσαι σοι τὰ φιλοσοφίας εὐχὴν ποτε ποιησάμενος, ἐπεὶ δ' οὖν κρείττων ὁ τῆς πατρίδος ἔρως ἐγένετο, ηὐξάμην ὅπου ποτὲ γῆς εἴης φιλοσοφίαν ἐργάζεσθαί σε κατὰ δύναμιν.. τοιγαροῦν ἀσπάζομαι τὴν φίλην κεφαλὴν, καὶ σιγῶν, καὶ λέγων, καὶ γράφων, καὶ μὴ γράφων·

Τῷ αὐτῷ. 152.

Οἶου με περιπτύσσεσθαι Πυλαιμένην, αὐτὴν τὴν ψυχὴν, αὐτῇ τῇ ψυχῇ. ἀπορῶ λόγων οἷς ἐκχέοιτο ὅσον ἐστὶ τῆς γνώμης μου τὸ βουλόμενον· μᾶλλον δὲ οὐδὲ αὐτὸ τὸ πάθος, ὅ, τί ποτέ ἐστι (α), τὸ περὶ σέ μου τῆς ψυχῆς ἐξευρίσκω. ἐγένετο δέ τις ἀνὴρ δεινὸς τὰ ἐρωτικὰ, Πλάτων ὁ Ἀρίστωνος Ἀθηναῖος, εὔπορος εὑρεῖν, εὔκολος εἰπεῖν ἐραστοῦ φύσιν (β), καὶ δὴ καὶ ὅ,τι αὐτῷ (γ) γενέσθαι περὶ τὰ παιδικὰ (δ) βούλεται· καὶ ὑπὲρ ἐμοῦ τοίνυν ἐξευρηκώς τε ἔσω, καὶ εἰρηκώς. βούλοιτ' ἂν οὖν (ε), φησὶν, Ἡφαίστου τέχνῃ συντακῆναί τε καὶ συμφῦναι, καὶ ἓν ἄμφω γενέσθαι·

Τῷ αὐτῷ. 153.

Δὶ ἔτους ἡμῖν ἀφικνεῖται παρὰ σοῦ γράμματα, ὥσπερ τῶν ὡρῶν καὶ τοῦτο (α) φερουσῶν. ἐμοὶ μὲν οὖν ἴσως καρπὸς ἡδίων οὗτος,

ἤ

κάτω στροβούσαις. (γ) Εἴτ' οὖν ὀλίγους τινὰς ἡγοῦμαι τοὺς μετὰ σοῦ, καὶ σὲ δηλ: δοχεῖον ὄντας Θεοῦ.

(α) Τοῦτ' ἔστι, τὸ αἴτιον, δι' ὃ φιλῶ σε οὐ δύναμαι εὑρεῖν· τὰ δὲ ἐν ταύτῃ τῇ ἐπιστολῇ ἡρμηνεύθη διεξοδικῶς ἐν τῇ 140, ἧς ἡ ἀρχή. Τῶν ἐρώτων κτλ: (β) Πάθος, ὅ,τί ποτέ ἐστι, καὶ τί βούλεται. (γ) Τῷ ἐραστῇ. (δ) Τὸ πρὸς τὸν ἐρώμενον πάθος· εἴτ' οὖν ὁ πόθος. (ε) Τὸ πάθος εἴτ' οὖν ὁ πόθος τοῦ ἐραστοῦ.

(α) Τὰς σὰς ἐπιστολάς.

ἢ ὃν ἐκτρέφουσι μυλώνων κύκλοι, καὶ γεωργοί· σὺ δὲ οὐκ ἂν εἰκότα ποιοίης, τοῦ ἐπὶ τούτοις ἡμᾶς εὐφροσύνης ἀποστερῶν, ἀλλὰ μετάθου τὴν γνώμην, καὶ ποίησον ἡμῖν τὸ γοῦν τῆτες εὐετηρίαν (β) ἐπιστολῶν·

*) Τῇ Φιλοσόφῳ. 154.

Τῆτες ἐξήνεγκα δύω βιβλία (α), τὸ μὲν, ὑπὸ τοῦ Θεοῦ κι-

(β) Ἀφθονίαν.

*) Ἡ Ὑπατία, περὶ ἧς ὅρα τὸν Σουΐδαν, ἤκμασεν ἐν Ἀλεξανδρείᾳ ἐ-
πὶ τῆς βασιλείας Ἀρκαδίου, πρὸς ὃν καὶ ὁ Συνέσιος τὸν περὶ βασιλείας
λόγον ἀνήνεγκε χριστιανὸς ὤν· εὐχαὶ γάρ φησιν, ἐν ἁγίαις τελεταῖς ἱε-
ραὶ πατέρων ἡμῶν ἐκβοῶσι πρὸς τὸν ἐπὶ πάντων Θεὸν κτλ· οὐκοῦν καὶ τὴν ἐ-
πιστολὴν ταύτην, ᾗ τινι καὶ ὁ περὶ τοῦ δώρου λόγος συμπέμπεται, χριστιανὸς ὢν,
ἀπέστειλε τῇ Ὑπατίᾳ· οὐ μὴν ἀλλὰ καὶ οἱ λοιδορήσαντες αὐτὸν, τῶν πιστῶν
καὶ αὐτοὶ ὄντες φαίνονται, οἶμαι δὲ καὶ τῶν μοναστῶν· τῶν πιστῶν μὲν, εἴγε
ἠξίουν αὐτὸν οἱ θεωροὶ τοῦ νοητοῦ, ὡς ᾤοντο, γεγονότες, μαθητιῶν ἑαυτοῖς
τὰ περὶ Θεοῦ, ἐπαγγελόμενοι ἐν ὀλίγῳ ἀποδείξειν αὐτὸν παντολμότατον,
ἡμέρας ἑξῆς καὶ νύκτας θεολογεῖν δυνάμενον· καὶ τῶν μοναστῶν δὲ, εἴγε οἱ
μὲν, αὐτῶν ἦσαν μελανειμονοῦντες, οἱ δὲ, λευχειμονοῦντες, εἰθισμένον καὶ
λευχειμονεῖν τοὺς τότε μοναστὰς ὡς κἀν τῇ 147, ἐπιστολῇ ὑποδηλοῦται· οἶμαι
δὲ ἔγωγε ὡς καὶ ἐπίσκοπος ὢν διεπρεσβεύσατο πάλαι πρὸς τὸν Ἀρκάδιον·
τὸ γὰρ λέγειν ἐκεῖ, εὐχαὶ ἐν τελεταῖς ἁγίαις ἱεραὶ πατέρων ἡμῶν ἐκβοῶ-
σι πρὸς τὸν Θεὸν, καὶ πρό γε τούτων. Ἐμέσοι πέμπει Κυρήνη στεφανώσοντα
χρυσῷ μὲν τὴν κεφαλὴν, φιλοσοφίᾳ δὲ τὴν ψυχὴν, ταῦτα, φημὶ, οὐ μᾶλ-
λον φιλοσόφου, ἢ καὶ ἐπισκόπου ἔμφασιν ἔχει· σὺ γὰρ, φησὶν, ἐμοὶ πείθου.
οὐ δὲ μᾶλλον ὡς φιλόσοφος, ἢ καὶ ὡς ἐπίσκοπος διεπρεσβεύσατο. εἰ δὲ μη-
δὲ ἐν τῷ τότε, ἐν ᾧ γε μὴν χρόνοις ὕστερον· (πάλαι γάρ φησιν, ὁ περὶ
τοῦ δώρου λόγος ἐγένετο ἐν τῷ καιρῷ τῆς πρεσβείας· τὸ δὲ Πάλαι,
οὐχ ὡς τὸ Πρώην καὶ ἐπὶ ὀλιγίστου, ἀλλ᾽ ἐπὶ μακροῦ χρόνου λαμβάνεται.)
τόν τε κατὰ τῶν λοιδόρων λόγον ἐξήνεγκε, καὶ τὴν ἐπιστολὴν ταύτην ἔγρα-
ψεν, ἐπίσκοπος ὁμολόγως ἦν· εἰ δὲ τοῦτο, ἄπορον ὅπως ποτὲ ἐπίσκοπος
ὢν, ἢ ὑπὸ τῶν ὑπ᾽ αὐτὸν πιστῶν εἴτε λαϊκῶν, εἴτε μοναστῶν ἐπὶ τοσοῦτον ἐ-

---

(α) Λόγους, συγγράμματα· ἦσαν δὲ ταῦτα ὁ περὶ τοῦ ἐνυπνίου λόγος,

κινηθεὶς, τὸ δὲ, ὑπὸ λοιδορίας ἀνθρώπων· καὶ γὰρ τῶν ἐν λευκοῖς ἔνιοι τρίβωσι, καὶ τῶν ἐν φαιοῖς, ἔφασάν με (β) παρανομεῖν εἰς φιλοσοφίαν ἐπαΐοντα (γ) κάλλους ἐν λέξεσι, καὶ ῥυθμοῦ (δ), καὶ περὶ Ὁμήρου (ε) τὶ λέγειν ἀξιοῦντα, καὶ τῶν ἐν ταῖς ῥητορείαις (ζ) σχημάτων· ὡς δὴ τὸν φιλόσοφον μισολόγον (η) εἶναι προσήκει, καὶ μόνα περιεργάζεσθαι τὰ δαιμό-

---

λοιδορήθη, ὥστε τοὺς μὲν, αὐτῶν καὶ μαθητιᾷν αὐτὸν ἑαυτοῖς ἀξιοῦν, τοὺς δὲ, καὶ νομοθετεῖν αὐτῷ μηδὲν τῶν δεόντων φθέγγεσθαι· ἢ αὐτὸς τοῦ μοναδικοῦ ἐπαγγέλματος ἐπὶ τοσοῦτον κατέδραμεν, ὥστε τὸν θεωρὸν τῶν ὄντων πρὸ τῶν εὐαγγελικῶς βιούντων τίθεσθαι; τὸ δὲ καὶ τὴν ἑλληνίδα Ὑπατίαν περιμένειν κελεύουσαν, ἄτλα τῶν πιστῶν, ἵν' ἔτι μᾶλλον ἀνιῶνται, κατεῖπε, μὴ οὐ δὲ πρὸς λαϊκοχριστιανικοῦ τρόπου ᾖ; ὁ γοῦν τῆς κόμης ὡς φαλακρὸς τοσαῦτά τε καὶ τοιαῦτα κατειπὼν, ὡς μικροῦ καὶ ἐγκαλύπτεσθαι τοὺς κομήτας ὑπ' αἰσχύνης, τί οὐκ ἂν ἦν εἰρηκὼς κατὰ τῶν λοιδορησάντων αὐτὸν πιστῶν; διὰ δὴ ταῦτα τὸν λόγον ἐκεῖνον πυκνὸν, οἶμαι, καὶ βαθὺ σκότος ἐκάλυψε, καὶ ἔλησε τοὺς ἀνθρώπους λεγόμενος.

καὶ ὁ κατὰ τῶν λοιδόρων ἐκλελειπώς. (β) Φιλόσοφον ὄντα τε καὶ δοκοῦντα, εἴτ' οὖν τὸν φιλόσοφον αὐχοῦντα. (γ) Ἀκούειν ἐθέλοντα, ἐπιμελούμενον, διώκοντα· ἔστι δὲ ἡ μετοχὴ αἰτιώδης. (δ) Ὃν τρόπον χαλκέας ἰδόντες τὰς σφύρας ἅμα καταφέροντας, ῥυθμόν τινα ἐν τῷ κρότῳ, εἴτ' οὖν ἁρμονίαν ἀκούομεν, κἂν τῇ τῶν ἵππων πορείᾳ, καὶ τῇ τῶν δακτύλων κινήσει, καὶ τῶν μελῶν σχηματισμῷ, καὶ χορδῶν κινήμασι, καὶ ὀρνίθων πτερίσμασιν, οὕτω τοι καὶ ἐν συλλαβαῖς καὶ λέξεσι, καὶ ἐν μέτροις ῥυθμός τις ἀποτελεῖται τῷ μακρῷ καὶ τῷ βραχεῖ τῶν χρόνων· Ἡφαιστίων. (ε) Τοῦτ' ἔστι ταῖς Ὁμήρου μυθολογίαις ἔστιν οὗ χρώμενον. (ζ) Τοῦτ' ἔστι ποιητικῶν τε ῥυθμῶν εἴτ' οὖν μέτρων, καὶ ῥητορικῶν ἐπιμελούμενον. (η) Τὸ μισολόγος ἐκ τοῦ Πλάτωνος εἴληπται· ἀλλ' οὐχ ὡς ἐν τῷ Φαίδωνι εἴρηται, ἀλλά πως ὡς ἐν τῷ γ', τῶν πολιτειῶν. Ἐν μὲν γὰρ τῷ Φαίδωνι μισολόγος ἐστὶν, ἐπειδάν τις πιστεύσῃ λόγῳ τινὶ ἀληθεῖ εἶναι, ἄτεχνος ὢν περὶ λόγους, κἄπειτα ὀλίγον ὕστερον αὐτῷ δόξῃ ψευδὴς εἶναι, ἐνίοτε μὲν ὢν, ἐνίοτε δὲ οὐκ ὢν, καὶ αὖθις ἕτερος καὶ ἕτερος, καὶ μάλιστα δὴ οἱ περὶ τοὺς ἀντιλογικοὺς λόγους διατρίψαντες, ἔνθα οἱ ἀντιλέγοντες ποιοῦσι φαίνεσθαι τοῖς ἀκούουσι τὸ αὐτὸ ἐν μὲν δικαστηρίοις, ὁ μὲν, δίκαιον, ὁ δὲ, ἄδικον· ἐν δὲ δημογορίᾳ, ὁ μὲν, ἀγαθὸν, ὁ δὲ, κακόν· καὶ ἁπλῶς τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια, καὶ ἓν καὶ πολλὰ, μένοντά τε αὖ καὶ φε-

μόνια πράγματα (θ). καὶ αὐτοὶ μὲν θεωροὶ (ι) τοῦ νοητοῦ γεγονότες, ἐμὲ δὲ οὐ θέμις (κ), δι' ὅ,τι νέμω τινὰ σχολὴν (λ) ἐκ τοῦ βίου τῷ καὶ τὴν γλῶτταν (μ) καθῆραι (ν), καὶ τὴν γνώμην ἡδίω (ξ) γενέσθαι. ἐνῆγε δὲ αὐτοὺς εἰς τὸ καταδικάσαι με πρὸς μόνην παιδιὰν ἐπιτήδειον εἶναι (ο), τὸ τὰς Κυνηγετικὰς (π) ἐκ

ρόμενα, ἐκ τοῦ μὴ δύνασθαι κατ' εἶδος διελόντας τὸ λεγόμενον ἐπισκοπεῖν, ἀλλὰ κατ' αὐτὸ τὸ ὄνομα διώκειν τοῦ λεχθέντος τὴν ἐναντίωσιν, ὅπερ ἐστὶν ἐρίζοντος οὐ διαλεγομένου. οἱ δὴ τούτων ἀκροώμενοι, τελευτῶντες οἴονται σοφώτατοι γεγονέναι τε καὶ κατανενοηκέναι μόνοι, ὅτι οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ βέβαιον, οὔτε τῶν λόγων, ἀλλὰ πάντα τὰ ὄντα ἀτεχνῶς, ὥσπερ ἐν Εὐρίπῳ, ἄνω καὶ κάτω στρέφεται.

Ἐν δὲ τῷ γ΄, τῶν πολιτειῶν μισολόγος ἐστὶν ὁ ἀφιλόμουσος, ὃς οὔτε μαθήματος γευόμενος οὐδενὸς, οὔτε ζητήματος, οὔτε λόγου μετέχων, οὔτε τῆς ἄλλης μουσικῆς, ἀσθενής τε καὶ τυφλὸς καὶ κωφὸς γίγνεται, ὡς μὴ τρέφων, μηδὲ διακαθαίρων τῇ φιλομαθείᾳ τὰς αἰσθήσεις αὐτοῦ· καὶ πειθοῖ μὲν διὰ λόγων οὐδὲν ἔτι χρῆται, βίᾳ δὲ καὶ ἀγριότητι ὥσπερ θηρίον, πάντα διαπράττεται, καὶ ἐν ἀμαθείᾳ καὶ σκαιότητι μετὰ ἀρρυθμίας τε καὶ ἀχαριστίας ζῇ. οὕτως οὖν ἠξίουν καὶ τὸν Συνέσιον ὡς φιλόσοφον μισεῖν τὴν τῶν ποιητῶν καὶ ῥητόρων καλλιέπειαν, ὡς μηδὲ ξυγγράφειν ὅλως κατ' αὐτὴν, ἵνα φαίνηται καὶ αὐτὸς κατ' ἐκείνους κωφὸς καὶ ἀμαθής. (θ) Θεωρεῖν μόνον καθ' ἑαυτὸν ἐχεμύθως τὰ θεῖα, οὐ μὴν δὲ καὶ λέγειν ἢ γράφειν τι περὶ αὐτῶν. (ι) Εἰρωνικῶς. ἡ δὲ μετοχὴ, ἀνανταπόδοτος, ἢ καινοτρόπως, διὰ μακροῦ ἀποδίδοται εἰς τὸ, προχειρότατοι πάντων εἰσὶ περὶ τοῦ Θεοῦ διαλέγεσθαι. (κ) Περὶ Θεοῦ διαλέγεσθαι, ὡς μὴ τοῦ νοητοῦ θεωρὸν γεγονότα, παρὰ τὸ παιδιαῖς δῆθεν σχολάζειν. (λ) Ἀνακωχὴν, ἐκεχειρίαν ἐκ τῆς τῶν ἐπιχωρίων ὁμιλίας, οἷς συμπολιτευόμενος, ἀναγκαίως καὶ συνεβαρβάριζε, καθ' ὅ,τι οὐδενὸς ἐπὶ τῆς Λυβίης ἠκηκόει φωνὴν ἀφιέντος φιλόσοφον, ὅτι μὴ τῆς Ἠχοῦς ἀντιφθεγγομένης αὐτῷ. (μ) Ἡ δοτικὴ τῷ καθῆραι καὶ τῷ γενέσθαι, συντακτικὴ τοῦ νέμω ἐστί. (ν) Τοῦ βαρβαρισμοῦ τῷ περὶ τὴν παιδιὰν ἑλληνισμῷ. (ξ) Εὐθυμότερον. (ο) Οὐ μὴν καὶ πρὸς θεολογίαν. (π) Κυνηγετικὰς ἐνταῦθά τε, κἀν τῇ 101, ἐπισ: , οὐ τὰς ἐν τῇ 105, ἐπισ: φιλτάτας θηρευτικὰς κύνας ἐννοεῖ· καθ' ὅ,τι οὐ δὲ κυνῶν ἢ τὸ σπουδάζεσθαι, οἷς ἑλληνισμοῦ καὶ χάριτος μέμηλε, νέοις, ἢ τῆς ποιητικῆς ἐπιμελῶς ἔχειν, ἢ καὶ ἀρχαίαν τινα χεῖρα, εἴτ' οὖν τέχνην ποιητικὴν ἐν ἑαυτοῖς τὰς κύνας παραδεικνύναι, ἀλλ' ἃς ὡς ὁπλομανὴς καὶ ἱππομανὴς περὶ κυνηγεσίας ξυνέγραψε βίβλους λέ-

ἐκ τῆς οἰκίας οὐκ οἶδ' ὅπως διαῤῥυείσας, ἀπολαυθῆναι διαφερόντως ὑπὸ νεανίσκων ἐνίων, οἷς ἐλλωπισμοῦ τε καὶ χάριτος ἔμελλε· καί τινα τῆς ἐκ ποιητικῆς ἐπιμελῶς ἔχοντα, καὶ παραδεικνῦσί τι τῆς ἀρχαίας χειρὸς, ὅπερ ἐπὶ τῶν ἀνδριάντων (ρ) λέγειν εἰώθαμεν· ἀλλ' ἐκείνων οἱ μὲν (σ), ἀμαθίας ἡγουμένης τοῦ θράσους, προχειρότατοι πάντων εἰσὶ περὶ τοῦ Θεοῦ διαλέγεσθαι· οἷς ἂν ἐντύχῃς, εὐθὺς ἀκούσῃ τινὰ περὶ τῶν ἀσυλλογίστων (τ) συλλογισμῶν· καὶ μὴ δεομένων ἐπαντλοῦσι τῶν λόγων (υ), ἰδίᾳ τι δοκῶ μοι διαφέρον αὐτοῖς (φ)· ἀπὸ γὰρ τούτων (χ) ἐν ταῖς πόλεσιν οἱ δημοδιδάσκαλοι (ψ) γίνονται, ὃ ταυτόν ἐστι (ω) καὶ τὸ κέρας τῆς Ἀμαλθείας, ᾧ (α 2) οὗτοί γε δεῖν οἴονται χρῆσθαι. ἐπι-

---

γει, ἃς αὐτὸς οὗτος ἐκδεδωκὼς, ὡς ἐκ τῆς 101, ἐπισ: δῆλον, μὴ εἰδέναι προσποιεῖται ὅπως ἐξεῤῥύησαν τῆς οἰκίας. (ρ) Ἀρχαίας εἶναι χειρὸς λέγοντες αὐτούς τε τοὺς ἀνδριάντας καὶ τὰ ἐπ' αὐτῶν ἐπιγράμματα ἴσως.

(σ) Οἱ μελανείμονες. (τ) Ἢ ὅτι ἀσυλλογίστως ἐσυλλογίζοντο, ἢ ὅτι περὶ τῶν σοφιστικῶν ἐλέγχων ἐδίδασκον, ἵνα σοφοί τινες εἶναι δόξωσι.

(υ) Γρ: τὸν λόγον· αἰτιατικῇ γὰρ τὸ ἀντλῶ, εἴτε σωματικὸν, εἴτε ὡς ἐνταῦθα ψυχικόν· λέγει δὲ, ὅτι καὶ τοὺς μὴ δεομένους αὐτῶν μηδὲ ἐρωτῶντας αὐτοὺς ἐπικλύζουσιν, εἴτ' οὖν κατακλύζουσι τοῖς ἀσυλλογίστοις συλλογισμοῖς, φλυαροῦντες μᾶλλον, ὡς ἑξῆς ἐρεῖ, ἢ συλλογιζόμενοι. (φ) Οὐδετέρα ἀπόλυτος· τὸ δὲ διαφέρει, ἀντὶ τοῦ ξυντελεῖ, ὡς κἀν τῇ 48, Ἐμοὶ δέ τι καὶ ἰδίᾳ διαφέρει τὸ παρ' αὐτάς σε πρᾶττειν εὖ τὰ βασίλεια. διέφερε δὲ αὐτοῖς τὸ πρὸς τοὺς ἐντυγχάνοντας ἀδολεσχεῖν, ἵν' ἐντεῦθεν καὶ δημοδιδάσκαλοι προχειρισθῶσι.

(χ) Τῶν μελανειμονούντων, οὐκ ἀπὸ τῶν λευχειμόνων καὶ ἐχεμύθων.

(ψ) Οἱ ἱεροκήρυκες, οἱ ἠθικοθεολόγοι. (ω) Τὸ γὰρ δημοδιδασκαλεῖν ὡς καὶ εὐτυχὲς, εἴτ' οὖν κερδαλαῖον, καὶ ἔνδοξον, ταυτὸν ἡγοῦντο, ἐλογίζοντο οἱ τότε τυχόντες, ὡς εἰ καὶ τὸ κέρας τῆς Ἀμαλθίας εἰλήφεσαν παρὰ τοῦ Ἑρμοῦ. Ἀμάλθεια γὰρ ἡ μυθικὴ τοῦ Διὸς τροφὸς αἶξ, ἣν καὶ καταστερίσαντες, οὐρανίαν αἶγα ἐκάλουν· Ἀμάλθειαν δὲ παρὰ τὸ μὴ μαλάσσεσθαι ὡς ἀμαλακιστίαν. ταύτης τὸ κέρας λαβόντα τὸν Ἡρακλέα παρὰ τοῦ Ἑρμοῦ, ἐντεῦθεν καρτερικώτατόν τε καὶ ἐπιτυχέστατον γενέσθαι ἔπλασαν, καὶ τοὺς εὐχομένους τῇ οὐρανίᾳ αἰγὶ, πάντων ἐπιτυγχάνειν. ἐντεῦθεν καὶ οἱ ἐν ἀφθονίᾳ καὶ εὐπραγίᾳ ζῶντες, τὸ κέρας τῆς Ἀμαλθείας ἔχειν λέγονται. (α 2) Τῷ δημοδιδασκαλεῖν, εἴτ' οὖν τῷ περὶ Θεοῦ ἐν τῇ πόλει διαλέγεσθαι.

ἐπιγινώσκεις, οἶμαι, τὸ φῦλον τοῦτο τὸ ῥᾴδιον, ὃ διαβάλλει γυναίαν ὑπόθεσιν (β 2)· οὗτοί με μαθητιῶν ἑαυτοῖς ἀξιοῦσι, καί φασιν ἀποφανεῖν ἐντὸς ὀλίγου τὰ περὶ Θεοῦ παντολμότατον, ἡμέρας ἑξῆς καὶ νύκτας ἀγορεύειν δυνάμενον. ἅτεροι δέ οἱ κάλλιον ἠθημένοι (γ 2), παραπολὺ τούτων εἰσὶ κακοδαιμονέστεροι (δ 2) σοφισταί· καὶ βούλοιντο μὲν ἂν ἐπὶ τοῖς αὐτοῖς (ε 2) εὐδοκιμεῖν, ἀλλ' εὐτυχοῦσι τὸ μηδὲ τοῦτο δύνασθαι. καὶ οἶδα τινας ἐν λογιστηρίοις ἀποδυῶτας (ζ 2), ἢ πάντως ὑπὸ μιᾶς γέ του συμ-

(β 2) Τὴν κυνηγετικὴν παιδιὰν αἰνίττεται, ἣν ὑπόθεσιν τοῦ λόγου ἐνστησάμενος, κάλλει τε λέξεων, καὶ ῥυθμοῖς, ὡς εἴρηται, ποιητικοῖς, καὶ Ὁμηρικαῖς μυθολογίαις, καὶ ῥητορικοῖς σχήμασι κατεκάλλυνε· γυναίαν δὲ αὐτὴν λέγει, ὡς κατ' αὐτὸν κυδιάνειραν, καὶ ἀριπρεπέας ἐν αὐτῇ τοὺς ἄνδρας ποιοῦσαν.

(γ 2) Τὸ ἠθημένοι ὑπογραφόμενον μέν, ἐστι παρὰ τὸ αἴθομαι, καὶ δηλοῖ ὅτι κάλλιον τῶν προτέρων ἔγνωσαν οἱ δεύτεροι, ἵνα τῇ σιωπῇ δηλαδὴ μᾶλλον ἐκείνων εὐδοκιμήσωσιν· ἀνυπόγραφον δὲ ὄν, ἐστι παρὰ τὸ ἔθημι ἔθεμαι ἄῤῥητον ῥῆμα, ὅθεν ἐθὴς καὶ ἔθημα· καὶ ἤθητο κροκωτὸν χιτῶνα, ἀντὶ τοῦ περιεβέβλητο· καὶ δηλοῖ μᾶλλον τοὺς λευχειμονοῦντας, ὡς κάλλιον τῶν μελανειμόνων περιβεβλημένους· εἴ γε κάλλιον τὸ λευκὸν τοῦ μέλανος. ἐπεὶ γοῦν ἑκάτεροι αὐτὸν ἐλοιδόρησαν λευχείμονές τε λέγω, καὶ μελανείμονες, εἰπὼν περὶ τῶν μελανειμόνων, ἑξῆς καὶ περὶ τῶν λευχειμόνων διέξεισιν. (δ 2) Κακοδαίμονες μὲν οἱ μελανειμονοῦντες δημοδιδάσκαλοι, διὰ τὴν αὐτῶν ἐξ ἀμαθείας θρασυστομίαν, κακοδαιμονέστεροι δὲ οἱ λευχειμονοῦντες σοφισταί, εἴτ' οὖν ὑποκριταί, ὡς μὴ διὰ τῆς ὑποκριτικῆς ἐχεμυθίας κατὰ τοὺς δημοδιδασκάλους εὐδοκιμοῦντες. (ε 2) Ἐφ' οἷς καὶ οἱ δημοδιδάσκαλοι· τοῦτ' ἐστιν ἐπιθυμοῦσιν οὕτως εὐδοκιμεῖν καὶ ἐπαινεῖσθαι παρὰ τῷ δήμῳ σιωπῶντες, ὥσπερ οἱ δημοδιδάσκαλοι λαλοῦντες. (ζ 2) Λογιστήρια, ἀρχεῖα, παρωνομασμένα ἀπὸ τῶν ἐν αὐτοῖς λογιστῶν, εἴτ' οὖν κριτῶν, οἵτινες δέκα ὄντες, τοὺς ἄρχοντας, ὅταν τὰς ἀρχὰς ἀπόθωνται, διωκομένους, εἴτ' οὖν ἐγκαλουμένους ἐκλογίζοντες, εἴτ' οὖν εὐθύνοντες, ἐξήταζον ἐν ἡμέραις τριάκοντα. Τοὺς δὲ ἐν τοῖς λογιστηρίοις ὡς εἰς ἀγῶνα ἀποδυομένους, δικολόγους τινὰς οἰητέον εἶναι, τῶν εὐθυνομένων ἀρχόντων, τοὺς μέν, ὡς ἔθος, κατηγοροῦντας, τοὺς δέ, ὑπεραπολογουμένους. οἱ δὴ τοιοῦτοι κατά τινα συμφορὰν, ἐν τῷ δικολογεῖν τυχὸν δυστυχήσαντες, τὸν μονήρη βίον ἐν λευχειμονίᾳ ὠνθείλαντο μεσήλικες· καὶ ἀντὶ τῆς πρότερον ἐν ταῖς δίκαις πολυλογίας, σιωπὴν ἀσκοῦντες, ἐθέλουσι

συμφορᾶς ἀναπεισθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν, ἀπὸ μόνου τοῦ ὄντας Θεοὺς ἀπομόσαι καὶ κατομόσαι πλατωνικῶς· οὓς φθάσειεν ἂν ἡ σκιὰ φθεγξαμένη τι τῶν δεόντων. δεινὴ δὲ ὅμως ἡ προσποίησις· ἥτε γὰρ ὀφρὺς, βαβαὶ τῆς ἀνατάσεως, εἰς ὅσον ἦρται! καὶ ἡ χεὶρ ὑπερείδει τὸ γένειον· τάτε ἄλλα σεμνοπροσωποῦσιν ὑπὲρ τὰς Ξενοκράτους εἰκόνας (η 2), οἵγε καὶ νομοθετεῖν ἡμῖν ἀξιοῦσιν ἄττα σφίσι λυσιτελέστατα, μηδένα μηδὲν (θ 2) ἀγαθὸν εἰδότα φανερὸν εἶναι· ἡγούμενοι σφῶν αὐτῶν ἔλεγχον, εἴ τις φιλόσοφος εἶναι δοκῶν, ἐπιστήσεται φθέγγεσθαι· αὐτοὶ γὰρ (ι 2) ἂν ὑπὸ τῇ προσποιήσει λαθεῖν, καὶ δόξαι τἄνδοθεν εἶναι σοφίας ἀνάπλεω. ἄμφω με τούτω τὼ γένη διαβεβλήκατον, ὡς ἐπὶ τοῖς οὐδενὸς ἀξίοις ἐσπουδακότα (κ 2)· τὸ μὲν, ὅτι μὴ ταὐτὰ φλυαρῶ· τὸ δὲ, ὅτι μὴ τὸ στόμα συγκλείσας ἔχω, καὶ τὸν βοῦν (λ 2) τὸν ἐκείνων ἐπὶ τῆς γλώττης τίθεμαι. ἐπὶ τούτοις (μ 2) συνετέθη τὸ σύγγραμμα, ὃ ἀπηύτησε τοὺς μὲν, τῇ φωνῇ (ν 2), τῶν δὲ, τῇ σιγῇ (ξ 2)· προῆκται μὲν γὰρ ὡς ἐπὶ τούτους αὐτοὺς (ο 2) ὄντας ἀφώνους τε καὶ βασκάνους, πῶς οἴει; μετ' εὐπρεποῦς τοῦ σχήματος· οὐ μὴν ἀλλ' ἐξεῦ-

---

συνήρχοντο ἐφθέγγοντο, ἀλλ' ἢ ἐν οἷς μὲν ἐκεῖνοι καταφάσκοντες κατένευον, τὸ νὴ Δία· ἐν οἷς δὲ ἀποφάσκοντες, ἀνένευον, τὸ μὰ Δία. (η 2) Ὁ Ξενοκράτης οὕτως ἦν καὶ ἐπὶ σωφροσύνῃ διαβόητος, καὶ τῷ προσώπῳ αἰδέσιμος, ὡς καὶ τὰς πόρνας σωφρονίζεσθαι ὁρώσας αὐτὸν καὶ ζῶντα, καὶ μετὰ θάνατον ἐξεικονισμένον· θανόντος γὰρ αὐτοῦ εἰκόνας πρὸς σωφρονισμὸν τῶν γυναικῶν καὶ ἐν αὐτοῖς τοῖς χαμαιτυπείοις ἀνεστήλωσαν. (θ 2) Τὸ ΜΗ, ἐν τῷ μηδὲν κατ' ἐπανάληψιν πλεονάζει. (ι 2) Ἡγοῦνται ἀπὸ κοινοῦ.
(κ 2) Ὑπὲρ τῆς κυνηγετικῆς γράφοντα· ἥτις καὶ τῷ ὄντι οὐκ ἀξία ὥς γε πρὸς ὑπόθεσιν ξυγγραφῆς ἀνδρὸς καὶ φιλοσόφου καὶ ἐπισκόπου. (λ 2) Οἱ Ἀθηναῖοι τιμῶντες τὸν βοῦν ὡς ἐργατικὸν, τοῖς νομίσμασιν ἐνετύπουν· κἀντεῦθεν τοὺς δωροδοκοῦντας δικαστὰς, καὶ τὸ δίκαιον σιωπῶντας, βοῦν ἐπὶ γλώττης φέρειν ἔλεγον· ὅρα τὸν Βαρῖνον. (μ 2) Κατὰ τούτων. (ν 2) Ὅτι φλύαροι μᾶλλον οὐχὶ θεολόγοι. (ξ 2) Ὅτι ὑποκριτικῶς ἐπιλυγάζουσι τῇ σιωπῇ τὴν ἔνδον ἀμάθειαν. (ο 2) Τὸ, ἐπὶ τούτοις εἰς τὸ ἐπὶ τούτους ἰσοδυνάμως μετέλαβε.

λ' ἐξεῦρεν, ὡς ἂν κἀκείνους (π 2) συνεφελκύσαιτο· καὶ βούλεται μὲν πολυμαθείας οὐχ ἧττον ἐπίδειξις, ἢ ἐγκώμιον (ρ 2) εἶναι· οὐ γὰρ ἐξωμοσάμην (σ 2) τὰς αἰτίας (τ 2), ἀλλ' ἵν' ἔτι μᾶλλον ἀνιῷντο, συχνὰ (υ 2) καὶ πεφιλοτίμημαι (φ 2). περὶ οἷον δὲ βίων αἱρέσεις (χ 2) ἐξετάζειν, ἐπαινεῖ τὴν φιλοσοφίαν, ὡς φιλοσοφωτάτην αἱρέσεων, καὶ ποίαν τινὰ νομίζειν εἶναι χρή, τοῦ βιβλίου πυνθάνου (ψ 2). τελευτῆς δέ, καὶ ὑπὲρ τῶν κιβωτίων ἀπολελόγηται, χόντων τινὰ καὶ τούτων αἰτίαν, ἀδιόρθωτα (ω 2) κρύπτειν βιβλία· οὐ γὰρ οὐδὲ τῶν τοιούτων οἱ τελχῖνες (α 3) ἀπέχον-

---

(π 2) Τοὺς πολυφώνους δημοδιδασκάλους. (ρ 2) Καταφορά· ἐγκώμιον γὰρ καὶ ἡ κακολογία καὶ ὅρα τὸν Βαρῖνον. (σ 2) Ἠρνησάμην, ἀπεποιησάμην. (τ 2) Τὰ αἴτια, ἐφ' οἷς κατηγόρησάν μου· τὴν κυνηγετικὴν λέγω παιδιάν, πρὸς ἣν καὶ μόνην ἐπιτήδειον εἶναί με ἔφασαν, καὶ ὅτι κάλλους ἐπαΐω λέξεων καὶ ῥυθμοῦ καὶ ῥητορικῶν σχημάτων κτ'. (υ 2) Πολλά. (φ 2) Ἔδειξα ἐμαυτὸν δεινὸν ἐν κάλλει λέξεων καὶ ῥυθμῶν καὶ ῥητορείας. (χ 2) Περὶ τοῦ ποῖος βίος αἱρετώτερος· αἵρεσίς ἐστιν ἡ λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσα, ἢ δοκοῦσα ἀκολουθεῖν· ὅρα τὸν Βαρῖνον, ὅτι πολλαί. (ψ 2) Τὴν τοῦ Ἀριστοτέλους τυχὸν καὶ Πλάτωνος, οὓς ἐν τῷ περὶ Βασιλείας ἡγεμόνας ἑαυτοῦ ἐπιγράφεται. (ω 2) Ἐν Ἑλληνικοῖς τισι δόγμασι συγγεγραμμένα, καὶ διορθώσεως παρὰ τοῦτο χρῄζοντα· οὐκ ἀλόγως δὲ οἶμαι οὐδὲ τῶν ἐν τοῖς κιβωτίοις βιβλίων ἀπέχοντο, αὐτοῦ τούτου εἰρηκότος, ὅτι τὰ μὲν οἴκοι φιλοσοφεῖ, τὰ δὲ ἔξω φιλομυθεῖ. ἐπιστ: 105. Ἐγὼ δὲ οἶμαι, ὡς τὰ βιβλία ταῦτα οὐχ ὡς ἐν Ἑλληνικοῖς τισι δόγμασι συγγεγραμμένα ἐλέγετο ἀδιόρθωτα, ἀλλ' ἄλλου τινὸς ἕνεκα, ὡς ἐστι δῆλον ἐκ τοῦ λόγου, ὃς ἐπιγράφεται Δίων, ἢ περὶ τῆς κατ' αὐτὸν διαγωγῆς τοῦ αὐτοῦ Συνεσίου, ἐν ᾧ (πρὸς τῷ τέλει) φησὶ πρὸς τὸν ἴδιον αὐτοῦ υἱὸν τάδε. Τὰ βιβλία δὲ πολλαπλάσια τῶν ἀπολειφθέντων ἀπέδειξα· τούτοις οὖν ἅπασι δέον σε δύνασθαι χρῆσθαι· εἰ δὲ ὅτι σοι μὴ διώρθωσα τὰ Δίωνος γράμματα, δι' ὃν καὶ προῆλθεν ἐπὶ τοσόνδε ὁ λόγος, διὰ τοῦτο δυσχεραίνεις τὸν πατέρα, ἀλλ' οὐδὲ ἄλλο τί σοι διώρθωται τῶν τῆς ὁμοίας ἕξεως. Καί, τὰ γὰρ διημαρτημένα ταῦτα βιβλία τὸν νοῦν ἐπιζητεῖν ἔοικεν ἐπιστατοῦντα ταῖς ὄψεσι. Καί, εἰ δὲ καὶ τῷ τοῖς ἀδιορθώτοις τῶν βιβλίων ἐγγεγυμνάσθαι τὴν προσοχὴν ἐπέτεινον, εἰς τοῦτο τὴν ἕξιν ἐπήγαγεν ἡ φύσις πειρωμένῳ. καὶ ἄλλα ἐξ ὧν δῆλον ὡς οὐ περὶ ἔννοιαν, περὶ δὲ στοιχεῖα καὶ συλλαβὰς καὶ λέξεις ἴσως καὶ περιόδους ἦν τὰ βιβλία ἡμαρτημένα, ἐπίτηδες εἰς ἄσκησιν καὶ γύμνασιν νοῦ ἀδιόρθωτα ταῦτα τοῖς κιβωτίοις τοῦ Συνεσίου ἐναποκλειόντος. μέτειθι τὸν ῥηθέντα λόγον. (α 3) Πρωτοτύπως

χοντο. εἰ δὲ ἕκαστον ἐν τάξει τῇ προσηκούσῃ (β 3), καὶ πάντα σὺν ὥρᾳ, καὶ ἀφορμαὶ δίκαιαι (γ 3) τῶν ἑκασταχοῦ προκεχειρισμένων· καὶ εἰ μερίζεται μὲν πλείοσι κεφαλαίοις κατὰ τὸ θεσπέσιον γράμμα, τὸν Φαῖδρον, ὃν περὶ πάντων ὁμοῦ τῶν εἰδῶν τοῦ καλοῦ (δ 3) Πλάτων ἐξενήνεγκε, μεμηχάνηται δὲ ἅπαντα συννεύειν εἰς ἓν τὸ προκείμενον (ε 3), καὶ εἴ που γέγονε πίστις ὑφέρπουσα (ζ 3) τὸ ὑπτιάσαν διήγημα, καὶ εἰ προῆλθεν, ὡς ἐν τοιούτοις (η 3), ἀπόδειξις ἐκ τῆς πίστεως (θ 3), καὶ εἰ τὸ δὲ ἄλλο

πονηροί τινες δαίμονες, ὧδε δὲ ἄνθρωποι φθονεροὶ καὶ βάσκανοι οἱ τελχῖνες, ὡς καὶ ἀνωτέρω, προῄκται φησιν ἐπὶ τούτους αὐτοὺς τοὺς ἀφώνους τε καὶ βασκάνους. (β 3) Ἣν ὁ Πλάτων ἐν Φαίδρῳ ἐκτίθησιν. (γ 3) Ἀφορμαὶ τὰ ἐπιχειρήματα· ἐπιχείρημα δὲ, συλλογισμὸς, παράδειγμα, μαρτυρίαι, τεκμήρια, εἰκότα, ἐξ ὧν πιθαναὶ ἀποδείξεις. (δ 3) Τοῦ ἐντέχνως συντεθειμένου λόγου. Τὸν τοῦ Λυσίου ἐρωτικὸν λόγον σκώπτων ὁ Πλάτων ἐν Φαίδρῳ, ὡς ἡμαρτημένον κατά τε τὴν εὕρεσιν καὶ διάθεσιν (ὡς καὶ Πλούταρχος ἐν τῷ περὶ τοῦ ἀκούειν) λέγω δὲ εὕρεσιν μὲν τὴν ὑπόθεσιν, ὡς δεῖ τὸν νέον τῷ μὴ ἐρῶντι μᾶλλον, ἢ τῷ ἐρῶντι χαρίζεσθαι· διάθεσιν δὲ τὴν τάξιν τοῦ λόγου ὡς ἀκεφάλου τε καὶ ἄποδος· αὐτὸς τὰ εἴδη τοῦ καλοῦ λόγου τιθεὶς, δεῖν φησι πάντα τὸν λόγον ὥσπερ ζῶον συνεστάναι, σῶμα ἔχοντα αὐτὸν ἑαυτοῦ, ὡς μήτε ἀκέφαλον εἶναι, μήτε ἄπουν, ἀλλὰ μέσα τε ἔχειν καὶ ἄκρα πρέποντα ἀλλήλοις, καὶ τῷ ὅλῳ γεγραμμένα· οἷον προοίμιον μὲν πρῶτον, δεύτερον δὲ, διήγησίν τινα, μαρτυρίας τε ἐπ' αὐτῇ, τρίτον τεκμήρια, τέταρτον εἰκότα (φημὶ δὴ τὰ τῷ πλήθει δοκοῦντα·) καὶ πίστωσιν καὶ ἐπιπίστωσιν, ἔλεγχόν τε καὶ ἐπεξέλεγχον, ὡς ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ, καὶ ταῦτα πάντα οὔτε διὰ μακρῶν οὔτε διὰ βραχέων, ἀλλὰ διὰ μετρίων λόγων. Τὸ δὲ τέλος τοῦ λόγου, ὑπομνῆσαι τοὺς ἀκούοντας περὶ τῶν εἰρημένων· ὅπερ τινὲς ἐπάνοδον (εἴτ' οὖν ἐπίλογον) καλοῦσι. Τισίαν δὲ καὶ Γοργίαν τοὺς πρὸ τῶν ἀληθῶν τὰ εἰκότα μᾶλλον τιμῶντας, τά τε αὖ σμικρὰ διὰ μακρῶν μεγάλα, καὶ τὰ μεγάλα σμικρὰ διὰ βραχέων λόγων φαίνεσθαι ποιοῦντας, καινά τ' ἀρχαίως, καὶ τἀναντία καινῶς, τοὺς τοιούτους εὕδειν ἐατέον. (ε 3) Τὴν τῆς ἐμῆς πολυμαθείας ἐπίδειξιν· καὶ τὴν φιλοσοφίαν αἵρεσιν αἱρέσεων. (ζ 3) Ὑποστηρίζουσα, ἀνορθοῦσα τὸ ὡς ἐν κατηγορίᾳ τῇ τοῦ ἀντιδίκου ἀνθυποφορᾷ, ὡς ἀσθενές τε καὶ ψευδὲς ἐλεγχθέν τε καὶ καθαιρεθὲν διήγημα. (η 3) Ὥσπερ ἐν τοῖς ἐπὶ δικαστηρίου διαδικαζομένοις, οὕτω κἂν τοῖς ἐμοῖς συγγράμμασι. (θ 3) Πρωθύστερος ὁ λόγος· ἐξ ἀποδείξεως γὰρ ἡ πίστις, εἴτ' οὖν ἡ πειθώ.

ἄλλο γινόμενον (ι 3)· ταῦτα μὲν τέχνης ἂν εἴη δῶρα καὶ φύσεως· ὅς τις δὲ οὐκ ἀγύμναστος ἐπιφωράσαι τὶ καὶ πρόσωπον θεῖον (κ 2) ὑπὸ φαυλοτέρῳ (λ 3) κρυπτόμενον σχήματι, ὥσπερ ἐποίουν Ἀθήνησιν οἱ δημιουργοὶ (μ 3), Ἀφροδίτην καὶ Χάριτας καὶ τοιαῦτα κάλλη Θεῶν ἀγάλμασι Σειληνῶν καὶ Σατύρων (ν 3) ἀμπίσχοντες, τοῦτον οὐ λήσεται τὸ γράμμα, συχνὰ καὶ τῶν ἀβεβήλων ἀποκαλύψαν δογμάτων, ὑπὸ τῇ προσποιήσει (ξ 3) τοῦ παρέλκειν ἑτέροις (ο 3) λανθάνοντα, καὶ τῷ (π 3) λίαν εἰκῆ, καὶ, ὡς ἂν δόξειεν, ἀφελῶς (ρ 3) ἐγκατεσπάρθαι τῷ λόγῳ. τῶν μὲν γὰρ ἐκ τῆς σεληνιακῆς αἰτίας ἀποψύξεων (σ 3), οἱ νοσοῦντες ἐπιληψίαν, αἰσθάνονται μόνοι, τῶν δὲ κατὰ νοῦν ἐπιβολῶν (τ 3) μόνοι δέχονται τὰς ἐκλάμψεις, οἷς ὑγιαίνουσι τὸ νοερὸν ὄμμα, φῶς ἀνάπτει συγγενὲς ὁ Θεὸς, ὃ τοῖς τε νοεροῖς τοῦ νοεῖν, καὶ τοῖς νοητοῖς αἴτιον τοῦ νοεῖσθαι (υ 3)· καθάπερ τὸ τῇδε φῶς

(ι 3) Ἐπικεκρυμμένος ὁ λόγος καὶ δυσανταπόδοτος, τοῦτο δὲ, οἶμαι, βούλεται· εἰ καὶ ὅ,τι δι' ἄλλην ὑπόθεσιν εἶπον, κἀκεῖνο εἰς ἓν τὸ προκείμενον νεύει.

(κ 3) Τὰ, ὡς ἑξῆς ἐρεῖ, ἀβέβηλα δόγματα. (λ 3) Ἀντὶ θετικοῦ, εὐτελεῖ, ταπεινῇ ὑποθέσει· ὡς κἀν τῷ προοιμίῳ τοῦ ἐνυπνίου φησὶν, ἀρχαιόν ἐστι, καὶ λίαν πλατωνικὸν ὑπὸ προσχήματι φαυλοτέρας ὑποθέσεως κρύπτειν τὰ ἐν φιλοσοφίᾳ σπουδαῖα· φαύλην δὲ ὑπόθεσιν ὧδε λέγει τὴν ἑαυτοῦ φιλότιμον ἐπίδειξιν. (μ 3) Τῶν Ἀγαλμάτων. (ν 3) Ὀπαδοὶ τοῦ Διονύσου τερατόμορφοι οὗτοι. (ξ 3) Προσποιούμενον ὅτι ἐν παραδρομῇ καὶ παρελκόντως, περιττῶς περὶ αὐτῶν διηγεῖται. (ο 3) Γρ: ἑτέρους. (π 3) Γρ: καὶ τοῦ, ἵν' ᾖ ὑπὸ τῇ προσποιήσει τοῦ ἐγκατεσπάρθαι λίαν εἰκῇ. (ρ 3) Ἀπεριέργως, ἀπονήρως, ἁπλῶς, ἀνεπιτηδεύτως. (σ 3) Λειποθυμιῶν· φασὶ γὰρ τὴν Σελήνην ὑγρὰν καὶ θερμήν. (τ 3) Τῶν νοητῶν, οἷς οὐκ ὄψις, ἀλλὰ νοῦς ἐπιβάλλει, τὴν λαμπρὰν ἔννοιαν, καὶ, ὡς εἰπεῖν, τὰ νοητὰ ἐκεῖνοι κατανοοῦσιν, οἷς κτ: (υ 3) Εἰς σαφεστέραν κατάληψιν τοῦδε τοῦ χωρίου παραθετέον συνοπτικῶς τὰ ἐν τῷ ς', τῶν Πλάτωνος πολιτειῶν.

Πολλὰ μὲν τὰ καλὰ καὶ τἀγαθὰ καθ' ἕκαστόν φαμεν, ἓν δὲ τὸ αὐτοκαλὸν καὶ τὸ αὐτοαγαθὸν, τὴν ἑκάστου τῶν ὁμοειδῶν ἰδέαν μίαν οὖσαν. καὶ τὰ μὲν, ὁρᾶσθαι μὲν, νοεῖσθαι δ' οὔ, τὰς δ' αὖ ἰδέας νοεῖσθαι μὲν, ὁρᾶσθαι δ' οὔ. ὁρῶμεν δὲ τὰ ὁρώμενα, ὄψει, καὶ ἀκοῇ τὰ ἀκουόμενα καὶ ταῖς ἄλλαις αἰσθή-

φῶς (φ 3) ὄψιν συνάπτει τῷ χρώματι (χ 3), κἂν ἀφέλῃς (ψ 3), πα-

---

σεσι τἄλλα αἰσθητά· πολὺ μέντοι πολυτελεστέραν ὁ τῶν αἰσθήσεων δημιουργὸς τὴν τοῦ ὁρᾶν τε καὶ ὁρᾶσθαι δύναμιν ἐδημιούργησε· καθ' ὅ,τι αἱ μὲν ἄλλαι οὐδενὸς ἄλλου τοιούτου γένους δέονται, οἷον ἡ ὅρασις εἰς τὸ ἀντιλαμβάνεσθαι τῶν αἰσθητῶν, ἡ δὲ ὄψις καὶ τὸ ὁρατὸν χρῶμα προσδέονται τρίτου τινὸς ἰδίᾳ γένους ἐπ' αὐτὸ τοῦτο πεφυκότος, φημὶ δὴ τοῦ φωτός· οὗ μὴ παρόντος ἥτε ὄψις οὐδὲν ὄψεται, τά τε χρώματα ἔσται ἀόρατα. Αἴτιος δὲ τοῦ φωτὸς τούτου ὁ ἥλιος, οὗ ἡμῖν τὸ φῶς ὄψιν τε ποιεῖ ὁρᾶν ὅτι κάλλιστα, καὶ τὰ ὁρώμενα ὁρᾶσθαι· οὐκ ἔστιν ἥλιος ἡ ὅρασις, οὔτε αὐτή, οὔτε ἐν ᾧ ἐγγίνεται ὄμματι, ἀλλ' ἡλιοδέστατον τῶν περὶ τὰς αἰσθήσεις ὀργάνων, καὶ ἣν ἔχει δύναμιν ἐκ τούτου ταμιευομένη, ὥσπερ ἐπίῤῥυτον κέκτηται· οὐ δ' ὁ ἥλιος ὄψις ἐστίν, αἴτιος δ' ὢν αὐτῆς, ὁρᾶται ὑπ' αὐτῆς ταύτης. Τοῦτον τὸν ἥλιον τἀγαθὸν ἔκγονον ἑαυτοῦ ἐγέννησεν ἀνάλογον ἑαυτῷ· καὶ ὅ,τιπερ αὐτὸ (ἐστὶν) ἐν τῷ νοητῷ τόπῳ πρός τε νοῦν καὶ τὰ νοούμενα, τοῦτο τοῦτον (ἐγέννησεν) ἐν τῷ ὁρατῷ πρός τε ὄψιν καὶ τὰ ὁρώμενα· ὥσπερ οὖν οἱ ὀφθαλμοὶ τραπέντες, ἐπὶ μὲν τὰς νυκτερινῷ φέγγει ἐπεχομένας χρόας, ἀμβλυώττουσι, καὶ ἐγγὺς φαίνονται τυφλῶν, ὥσπερ οὐκ ἐνούσης καθαρᾶς ὄψεως, ἐπὶ δὲ τὰς ἡλίῳ καταλαμπομένας, σαφῶς ὁρῶσι, καὶ τοῖς αὐτοῖς τούτοις ὄμμασιν ἐνοῦσα (ἡ ὄψις) φαίνεται· οὕτω καὶ τὸ τῆς ψυχῆς (ὄμμα) ὅταν μέν, οὗ καταλάμπει ἀλήθειά τε καὶ τὸ ὄν, εἰς τοῦτο ἀπερείσηται, ἐνόησέ τε καὶ ἔγνω αὐτό, καὶ νοῦν ἔχειν φαίνεται· ὅταν δὲ εἰς τὸ τῷ σκότῳ κεκραμένον τὸ γιγνόμενόν τε καὶ ἀπολλύμενον, (τότε οὐκ ἐννοεῖ, ἀλλὰ) δοξάζει τε καὶ ἀμβλυώττει, ἄνω καὶ κάτω τὰς δόξας μεταβάλλον, καὶ ἔοικεν αὖ νοῦν οὐκ ἔχοντι. Τοῦτο τοίνυν τὸ καὶ τοῖς γινωσκομένοις τὴν ἀλήθειαν παρέχον, καὶ τῷ γινώσκοντι τὴν δύναμιν ἀποδιδοῦν, τὴν τοῦ ἀγαθοῦ ἰδέαν εἶναί φαμεν αἰτίαν ἐπιστήμης οὖσαν καὶ ἀληθείας· ὧν ἑκατέρων καλῶν ὄντων, ἄλλο κάλλιον τούτων ἡγητέον· ὥσπερ γὰρ (ἐν τοῖς αἰσθητοῖς) φῶς τε καὶ ὄψις, ἡλιοηδῆ μέν, οὐ μὴν δὲ καὶ ἥλιος, οὕτω κἀν τοῖς νοητοῖς γνῶσις, εἴτ' οὖν ἐπιστήμη τε καὶ ἀλήθεια ἀγαθοειδῆ μὲν ἀμφότερα, ἀγαθὸν δὲ οὐδέτερον τούτων ἡγητέον, ἀλλὰ τὸ ἑκατέρων παραίτιον· οὗ τὸ κάλλος ἀμήχανον· ὥσπερ γὰρ ὁ ἥλιος τοῖς ὁρωμένοις οὐ μόνον τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχων, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξησιν καὶ τροφήν, οὐ γένεσις αὐτός ἐστιν· οὕτω καὶ τἀγαθὸν τοῖς γινωσκομένοις οὐ μόνον τὸ γινώσκεσθαι, ἀλλὰ καὶ τὸ εἶναι παρέχον, οὐκ οὐσία αὐτό ἐστιν, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας, πρεσβείᾳ καὶ δυνάμει (καὶ κάλλει) ὑπερέχον.

(φ 3) Τὸ ἡλιακὸν ἢ καὶ τὸ χειροποίητον. (χ 3) Ὅπερ ἐστὶ τῆς ὄψεως ἀντικείμενον. (ψ 3) Τὸ φῶς.

παρόντος (ω 3), ἡ περὶ αὐτὸ (α 4) δύναμις ἀνενέργητος. ὑπὲρ δὴ τούτων ἁπάντων σὲ κρίνουσαν περιμένομεν· κἂν μὲν ψηφίσῃ προσοιστέον εἶναι, ῥήτορσιν ἅμα καὶ φιλοσόφοις ἐκκείσεται· τοὺς μέν, γὰρ ἥσει (β 4), τοὺς δὲ ὀνήσει (γ 4)· πάντως γε, εἰ μὴ παρὰ σοῦ τῆς δυναμένης κρίνειν διαγεγράψεται· εἰ δὲ μὴ φανεῖταί σοι τῆς τῶν Ἑλλήνων ἀκοῆς ἄξιον, καὶ σὺ δὲ δήπου μετὰ Ἀριστέλους (δ4) περὶ τοῦ φίλου τὴν ἀλήθειαν θήσῃ, πυκνὸν καὶ βαθὺ σκότος ἐπηλυγάσεται, καὶ λήσεται τοὺς ἀνθρώπους λεγόμενον. ταῦτα μὲν περὶ τούτου. θάτερον δὲ ὁ Θεὸς καὶ ἐπέταξε καὶ ἀνέκρινεν, ὃ τῇ φανταστικῇ φύσει χαριστήριον ἀνατέθειται. ἔσκεπται δὲ ἐν αὐτῷ περὶ τῆς εἰδωλικῆς ἁπάσης ψυχῆς, καὶ ἕτερα ἄττα προκεχείρισαι δόγματα τῶν οὔπω φιλοσοφηθέντων Ἕλλησι. καὶ τί ἄν τις ἀπομηκύνοι περὶ αὐτοῦ; ἀλλ' ἐξείργασαι μὲν ἐπὶ μιᾶς ἅπαν νυκτός, μᾶλλον δὲ λειψάνου νυκτός, ἢ καὶ τὴν ὄψιν ἤνεγκε τὴν περὶ τοῦ δεῖν αὐτὸ συγγεγράφθαι. ἔστι

δὲ

Ταῦτα μὲν δὴ τὰ τοῦ Πλάτωνος κατὰ σύνοψιν· ἅττα ὁ μὲν Συνέσιος πάνυ στενολόγως συνείληφεν, ὁ δὲ Θεολόγος Γρηγόριος καὶ πλατύτερον καὶ κομψότερον· φησὶ γοῦν ἐν προοιμίοις τοῦ εἰς τὸν μέγαν Ἀθανάσιον. „Ὅπερ „ἐστὶ τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός· ὁ μὲν γάρ, τὸν ὁρώ„μενον φωτίζει κόσμον, ὁ δέ, τὸν ἀόρατον· καὶ ὁ μέν, τὰς σωματικὰς ὄ„ψεις ἡλιοειδεῖς, ὁ δέ, τὰς νοερὰς φύσεις θεοειδεῖς ἀπεργάζεται· καὶ ὥσπερ „οὗτος τοῖς ὁρῶσι καὶ τοῖς ὁρωμένοις τοῖς μέν, τὴν τοῦ ὁρᾶν, τοῖς δέ, „τὴν τοῦ ὁρᾶσθαι παρέχων δύναμιν, αὐτὸς τῶν ὁρωμένων ἐστὶ τὸ κάλλιστον, „οὕτω Θεὸς τοῖς νοοῦσι καὶ τοῖς νοουμένοις, τοῖς μέν, τὸ νοεῖν, τοῖς δέ, τὸ „νοεῖσθαι δημιουργῶν, αὐτὸς τῶν νοουμένων ἐστὶ τὸ ἀκρότατον, εἰς ὃν πᾶσα ἔ„φεσις ἵσταται, καὶ ὑπὲρ ὃν οὐδαμοῦ φέρεται.

(ω 3) Τοῦ χρώματος. (α 4) Τὸ χρῶμα δύναμις τῆς ὄψεως ἀνενέργετος.

(β 4) Τοὺς ῥήτορας τῷ κάλλει τῶν λέξεων καὶ τοῖς ῥητορικοῖς σχήμασι.

(γ 4) Τοὺς φιλοσόφους, συχνὰ τῶν ἀβεβήλων ἀποκαλύψας δόγματα.

(δ 4) Ὁ Ἀριστοτέλης ἀνθ' ὧν ὁ διδάσκαλος αὐτοῦ Πλάτων ἐτίθει εἰς λόγον ἀρχῆς ἐνυποστάτων ἰδεῶν, αὐτὸς τὸ ἀνείδεον αἶσχος καὶ ἄμορφον, τὴν ἀνυπόστατον ὕλην, καὶ νόθῳ νῷ ληπτὴν ἀρχὴν τιθείς, εἶπε περὶ ἐκείνου, ὡς φί-

δὲ ὁ τῶν λόγων (ε 4), δίς που καὶ τρὶς, ὥσπερ τις ἕτερος ὢν, ἐμαυτοῦ γέγονα μετὰ τῶν παρόντων ἀκροατής. καὶ νῦν ὁσάκις ἂν ἐπίω τὸ σύγγραμμα, θαυμαστή τις περὶ ἐμὲ διάθεσις (ζ 4) γίνεται, καί τις ὀμφή με (η 4) θεία περιηχεῖται κατὰ τὴν ποίησιν. εἰ δὲ μὴ μόνον τὸ πάθος ἐμὸν, καὶ περὶ ἕτερον δ' ἂν ταῦτα γένοιτο, σὺ καὶ τοῦτο μηνύσεις (θ 4)· σὺ γὰρ δὴ μετ' ἐμὲ πρώτη τῶν Ἑλλήνων (ι 4) ἐντεύξῃ. ταῦτα τῶν τέως ἀνεκδότων ἀπέστειλα· καὶ ἵνα τέλειος ἀριθμὸς (κ 4) ᾖ, προσέθηκα (λ 4) τὸν περὶ τοῦ δώρου, πάλαι γενόμενον ἐν τῷ καιρῷ τῆς πρεσβείας, πρὸς ἄνδρα παρὰ βασιλεῖ παραδυναστεύοντα (μ 4)· καί τι τοῦ λόγου τε καὶ τοῦ δώρου Πεντάπολις ὤνατο

Δο-

λος μὲν ὁ ἀνήρ, φιλτάτη δὲ ἡ ἀλήθεια. (ε 4) Δείκνυσι πρὸς τὴν φιλόσοφον Ὑπατίαν, ὡς τοῦ Θεοῦ κινήσαντός τε καὶ ἀναγκάσαντος τὸν τοῦ ἐνυπνίου λόγον ἐξέθετο, καὶ αὐτὸς μὲν τὴν γραφίδα ἔχρησεν, ὥσπερ ἔξω γινόμενος ἑαυτοῦ, Θεὸς δὲ τὸ πᾶν τὴν ταχίστην ἐξείργασται, λόγων αὐτοσχεδίων ἀφθόνους πηγὰς ὑποβάλλων, παρὰ τοσοῦτόν γε μὴν αὐτοῦ σκεψαμένου τὸ σύνολον, παρ' ὅσον καὶ ὕστερον ἐπιόντα αὐτὸν, ὡς αὐτός γέ φησιν, ἔστιν οὗ τῶν μερῶν ἐς πλεῖστον ἀπορεῖν, τῶν ἀλλοτρίως ἐχόντων ἀπεοικότα μηδὲν εἰς τὸ ἴδιον σύγγραμμα· ἐκ τῶν τοῦ Γρηγορᾶ. (ζ 4) Ἀλλοίωσις (η 4) Ἐνθουσιασμὸς ἐκστατικὴ ἀγαλλίασις. (θ 4) Εἰ ταυτὸ καὶ σὺ πάθῃς πάθος, ἀναγινώσκουσα τὸν λόγον. (ι 4) Τῶν ἐν Ἀλεξανδρείᾳ· πρὸ γὰρ τούτων ἐν Κυρήνῃ καὶ ἄλλους ἔσχε μεθ' ἑαυτοῦ ἀκροατὰς τοῦ λόγου, ὡς προσεχῶς εἶπε.

(κ 4) Τὰ δύο οὐ τέλειος ἀριθμὸς, ὡς ἄρτιος μόνον, τὰ δὲ τρία τέλειος ὡς ἐξ ἀρτίου καὶ περιττοῦ, καί τοι ἡ μονὰς οὐκ ἔστιν ἀριθμὸς, ἵνα ᾖ τὰ τρία ἐξ ἀρτίου καὶ περιττοῦ ἀριθμοῦ· οὐ μὴν ἀλλὰ καὶ τὸ σῶμα οὐκ ἐκ δυοῖν ἀλλ' ἐκ τριῶν μεγεθῶν, εἴτ' οὖν διαστάσεων συνίσταται, μήκους, πλάτους, καὶ βάθους· φησὶ δὲ καὶ ὁ θεολόγος Γρηγόριος, ἡ μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη. (λ 4) Τοῖς δυσὶν ἄλλοις βιβλίοις οἷς ἐπιστέλλω σοι κριθησομένοις καὶ τὸν περὶ τοῦ δώρου λόγον κτ: Τὸ δὲ δῶρον ἄλλοι μὲν σφαῖραν εἶναί φασιν ἀργυρᾶν παράδειγμα γεωμετρικὸν, πολυτελῶς τε ἅμα καὶ πανσόφως κατεσκευασμένον, ἐν ἐπιγράμμασιν ἀργυροῖς τοῖς μὲν, Πτολεμαΐου, τοῖς δὲ, Συνεσίου, ἃ ἐν ἄλλοις ζητητέον· ὅ γε μὴν Συνέσιος ἐν τῷ περὶ τοῦ δώρου λόγῳ χρυσοῦν στέφανον ῥητῶς λέγει τὸ δῶρον, εἰ μή τί γε ἐπὶ τοῦ στεφάνου ἐγκεκόλαπτο ἡ σφαῖρα, καὶ αὕτη ἐπὶ χρυσοῦ ἀργυρᾶ. (μ 4) Καὶ μὴν ὁ περὶ τοῦ

Δομετιανῷ χολαςικῷ 155.

Πάνυ σαφῶς δι' αὐτῆς καταμεμαθηκὼς τῆς ἔργων τὴν σὴν θαυμασίαν κεφαλὴν χαίρεσάν τε φιλανθρωπίᾳ, καὶ τοῖς

δώρε λόγος φαίνεται γινόμενος πρὸς αὐτὸν τἔτον τὸν βασιλέα, ἐ πρός τινα τῷ βασιλεῖ παραδυναςεύοντα· εἰ μή τίγε περὶ ἔ ἐκόμισε δεύτερον ςεφάνε ὁ λόγος. Ὑπολαβόντι ἅπαξ τῷ διδασκάλῳ ὡς ὁ περὶ ἔ δώρε λόγος ἐςὶν ὁ αὐτὸς τῷ περὶ Βασιλείας, τό,τε δῶρον, ὁ χρυσἔς, ὃν ἧκε κομίζων ἀπὸ Κυρήνης τῷ βασιλεῖ, ςέφανος, ξένον οἱ δοκεῖ καὶ ἄπορον εἰπεῖν τινας σφαῖραν εἶναι τὸ δῶρον, τόν τε Συνέσιον αὐτὸν, πρὸς ἄνδρα τῷ βασιλεῖ παραδυναςεύοτα, ἐ πρὸς αὐτὸν τὸν βασιλέα γενέσθαι τὸν λόγον· διὰ ταῦτα καὶ πρὸς μὲν τὴν γνώμην ἐκείνων ἐπάγει τὴν ἑαυτἔ, ἐξ αὐτἔ δὴ ἔ Συνεσίε προςίσασθαι ταύτην δοκῶν· πρὸς δ' αὐτὸν τὸν Συνέσιον πρὸς ἄδρα παρὰ βασιλεῖ δυναςεύοντα γενέσθαι τὸν λόγον εἰρηκότα, φησί· καὶ μὴν ὁ περὶ ἔ δώρε λόγος φαίνεται γινόμενος πρὸς αὐτὸν τἔτον τὸν βασιλέα ἐ πρὸς ἕτερόν τινα τῷ βασιλεῖ παραδυναςεύοντα· ἔ μὲν, λήθην, τῶν δ', ἄγνοιαν κατά τινα τρόπον κατηγορῶν. ἣν γε μὴν αὐτὸς ἔτος ἐν ἀγνοίᾳ ἔ πράγματος· εἴ γε ὁ περὶ ἔ δώρε λόγος ἕτερός ἐςι τἔ περὶ Βασιλείας, πρὸς Παιόνιον ἄνδρα ἀςρονομικώτατον, ὡς δῆλον ἐξ αὐτἔ τέτε ἔ λόγε, καὶ τῷ βασιλεῖ τότε παραδυναςεύοντα, ἐ πρὸς αὐτὸν τὸν βασιλέα γινόμενος, τό,τε δῶρον ἐ ςέφανος ἀλλ' ὀργανόν τι ἀςρονομικὸν, ἔργον διανοίας μὲν τῆς αὐτἔ, ὅσα οἱ συνευπόρησε, φησὶν, ἡ σεβασμιωτάτη διδάσκαλος, χειρὸς δὲ τῶν κατ' αὐτὸν εἰς δημιεργίαν ἀργύρε τῆς ἀρίςης· ὅπερ ὅ,τε λόγος αὐτὸς ὁ περὶ ἔ δώρε ἀκριβῶς περιγράφει, καὶ τὸ ἐπ' αὐτἔ ὀκτάςιχον ἐπίγραμμα, ὅπερ διὰ χρυσἔ ςερεἔ ταῖς χολαζέσαις, φησὶν, ἀςέρων χώραις, κατὰ τὸν ἀνταρκτικὸν κύκλον ἐγκεκόλαπτο, ἔχον ἔτως.

Ἡ σοφίη ςίβον εὗρεν εἰς ἐρανόν· ὦ μέγα θαῦμα!
Καὶ νόος ἐξ αὐτῶν ἦλθεν ἐπερανίων·
Ηνίδε καὶ γυρὰ σφαίρας ἐπετάσσατο νῶτα,
Γ'σα δὲ κύκλα τομαῖς ἐχ ὁμαλαῖσι τέμε·
Σκέπτεο τείρεα πάντα πρὸς ἄντυγα, τ' ἔπι Τιτὰν
Νύκτα ταλαντεύει καὶ φάος ἐρχόμενος·
Δέξο Ζωδιακἔ λοξώσιας, ἐδέ σε λήσει
Κλεινὰ μεσημβρινῆς κέντρα συνηλύσεος·

δεομένοις χεῖρα βουλομένην ὀρέγειν, ἐπ' αὐτὸ δὴ παρακαλῶ, ἵππον εἰς πεδίον (α), τοῦτο δὴ τὸ τοῦ λόγου, προτρέπειν ἡγούμενος· καί σοι πλέον ἢ πρότερον, ὦ φίλη κεφαλὴ, νῦν τὴν φιλανθρωπίαν ἐπιδεικτέον, ὅσῳ καὶ τὸ πρόσωπον ἐλεεινότερόν ἐστι νῦν τὸ εὖ πεισόμενον· γυνή τε γάρ ἐστιν αὕτη, καὶ γυνὴ δυστυχήσασα χηρείαν· εἶτα σὺν ὀρφανῷ παιδίῳ παθοῦσα, ἃ πέπονθεν. ὅστις δέ ἐστιν ὁ ταύτην ἀδικήσας, καὶ ὅ,τι, καὶ ὅπως, αὐτὴ διδάξει τὴν σὴν καλοκἀγαθίαν. ὅρα τοίνυν, ὦ θαυμάσιε, ὅπως ἐπαμυνεῖς τῇ γυναικὶ, καὶ διὰ τὸ καλῶς ἔχον (β), καὶ διὰ τὸ σοὶ πρέπον, καὶ δι' ἐμέ· μεθέξω γὰρ ἔτι σοι κἀγὼ τῆς εἰς αὐτὴν γινομένων, συγγενίδα τε οὖσαν ἐμὴν, καὶ τεθραμμένην ὑπὸ μητρὶ κοσμίᾳ σωφρόνως παρ' ἡμῖν·

Τῷ

μεθ' ὃ καὶ ἕτερόν τι τετράστιχον ἀρχαῖον ἁπλουστέρως ἔχον εἰς ἀστρονομίαν ἐγκώμιον· ὅπερ ἐπιγέγραπται Πτολεμαίου· ἔχει δὲ καὶ τοῦτο οὕτως.

Οἶδ' ὅτι θνατὸς ἐγὼ καὶ ἐφάμερος· ἀλλ' ὅταν ἄστρων
Ἰχνεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
Οὐκέτ' ἐπιψαύω γαίης ποσὶν, ἀλλὰ παρ' αὐτῷ
Ζηνὶ διοτροφέος πίμπλαμαι ἀμβροσίης.

Τοῦτο δὴ τὸ δῶρον, καὶ ὁ ὑπὲρ τούτου λόγος, ὧν ὠνατό τι, φησὶ, Πεντάπολις· πένης γὰρ οὖσα καὶ κατηφὴς καὶ μέγα ἐρείπιον, καὶ βασιλέως δεομένη, εἰ μέλλοι πράξειν τι τῆς περὶ αὐτὴν ἀρχαιολογίας ἐπάξιον, ἰάθη παρὰ τοῦ βασιλέως.

(α) Λόγος περὶ τῶν προτρεπόντων τινὰ, ἐφ' ἃ ἐκεῖνος οἴκοθεν προαιρεῖται, καὶ θέλει, καὶ ἁπλῶς ἐφ' ἃ πέφυκε. Τὸ δὲ ἵππον εἰς πεδίον, ἱππέας μᾶλλον εἰς πεδίον λεκτέον φησί που Εὐστάθειος ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ, ἱππέας εἰς πεδίον προκάλει· καθ' ὅ,τι οὐχ ἵππων καθ' ἑαυτοὺς, ἀλλ' ἱππέων τὸ προκαλεῖσθαι εἰς πεδίον. (β) Τὸ γὰρ ἐπαμύνειν τοῖς δεομένοις, καλόν.

Τῷ αὐτῷ. 156.

Τὰ δίκαια χρήζει συμμάχων· καὶ γίνοιντ᾽ ἂν οἱ βοηθοῦντες αὐτοῖς εὐδαίμονες, τοῖς ὀρθῶς ἔχουσι (α) συμπονοῦντες. εἰλόμην δή σε τούτων πρόβολον, γνώμῃ τε ἀμύνοντα καὶ τέχνῃ. τὸ μὲν οὖν ἐμὸν, ἅπασιν εὖ ποιεῖν, οἷς ἂν δύνωμαι, δίδου δὲ αὐτὸς ἀφορμάς (β)· αἰσθήσῃ γὰρ φιλίας, ἣν οὔτε αὐτὸς μέμψῃ, γελάσει τε ἴσως οὐδείς·

ΤΕΛΟΣ.



(α) Τοῖς συμμάχων χρήζουσι δικαίοις συμμαχοῦντες. (β) Πρόβολος γὰρ σὺ τῶν ἀδικουμένων γινόμενος, αἴτιος ἔσῃ κἀμοὶ τοῦ εὖ ποιεῖν, ὡς ἂν δύνωμαι.

Νεόφυτος Ἱεροδιάκονος Ἀθανασίῳ.

Ἐκομισάμην τὸ πρὸς ἐμὲ σοῦ ἀδελφικὸν γράμμα· τὸ δέ γε σὸν μέρος, καὶ τοὺς γραφικοὺς καλάμους· ἀτονώτερον γὰρ τοῦ δέοντος ἀφεθέντες, ἐν μέσῳ που τοῦ πλοὸς κατέπεσον ἐκλυθέντες, κατὰ τὴν Λῆμνον. Ἐμὲ δὲ ἴσθι τῆς ἐν τῷ Βατοπεδίῳ ἀδολεσχίας, οὐ γὰρ ἂν εἴποιμι σχολῆς, κατὰ ἀγαπητικὴν τῶν δοκούντων φίλων τυραννίδα ἄκοντα προϊστάμενον, οὐ μεῖόν γε ἢ τὸν Πλάτωνα, ἧς αὐτὸς ἀνεπλάσατο πόλεως. Περὶ δὲ τῆς τοῦ τροπαρίου ἐξηγήσεως εἰσδεχθείσης μὲν, ἀποδοκιμασθείσης δὲ, οὐ φροντὶς, φησὶν, Ἱπποκλείδῃ. ὑπέρ γε μὴν ἔγκειται τὸ, ἣν γὰρ ἂν ἐσχηκέναι χώραν ἀποδειχθεῖεν, τὸ ἄπτωτον εἰς πτωτικόν μοι, πρὸς τοῦ φιλίου, σχῆμα μετένεγκε, οἷον, ἐσχηκότες. εἰ γάρ τοι τῶν μορίων ἑκάτερα, τὸ εἰδικὸν αἰτιολογοῦντα, εὖ ἔχει συντάξεως, βέλτιόν γε μὴν τὸ μετοχικὸν, κατά τινα ἰδιωτισμὸν, λανθάνοντα μὲν οὔ, λαθόντα δέ πως. Κατὰ δὲ τὸ κλεινὸν τοῦ Νικάνδρου ἐπίγραμμα, (ὅπερ αὐτὸς οὗτος ἐπῄνεσε μὲν οὔ, ἐποίησε δὲ) γνοίης ἂν ἐπιστήσας, ποιήσαντα καὶ τὸν Συνέσιον ἐπίγραμμα· προθετικοῦ γάρ τοι τοὐπίγραμμα, οὐ ῥηματικόν. Ἐγὼ δὲ τὴν τοῦ σώματος ἰσχὺν μηδέπω μεταθέμενος ἐπὶ τὴν τῆς ψυχῆς ἀνδρίαν, ταύτην δὴ τὴν σχετικὴν, τὴν δευτερόγονόν τε καὶ περίγειον, πολλοῦ δέω ἐπὶ τὴν κατὰ Πλάτωνα ἄσχετόν τε καὶ πρώτην, εἴτ' οὖν ἀρχέγονον Ἰδέαν τῆς ἀνδρίας μεταθεῖναι, τὴν ἀναλογοῦσαν τῇ δευτερογόνῳ καὶ περιγείῳ τετρακτύϊ τῶν γενικῶν ἕξεων, ἐν τριταῖς μὲν αὐτὸς κατὰ πλάτος, τῇ παραθέσει τῶν ἄκρων, ἐν τετάρταις δὲ κατὰ βάθος τῇ ἀποθέσει τῶν ἄκρων· ἀνδρίας γὰρ ἄνευ οὐκ ἂν ὀρθωθείη τις τῶν γενικῶν ἀρετῶν, οὐκοῦν φρόνησις, οὐ σωφροσύνη, οὐ δικαιοσύνη. Τὸ δὲ λέγειν τὰς ἀσωμάτους τῶν ὄντων ἰδέας ἀναλογεῖν ὑποστατικῶς μὲν, τῇ θείᾳ φύσει· τῇ δὲ φύσει, τοῖς ἀγγέλοις, πάσης ἀτοπίας μεστὸν ὂν ὡδὶ δείκνυται. Τί γὰρ μὴ μᾶλλον ἐπ' ἀμφοῖν κατὰ ταὐτὰ, ἀλλ' ἔνθα μὲν ταῖς τρισὶν ὑποστάσεσιν, ἔνθα δὲ τῇ μιᾷ φύσει; δέον γὰρ ἐπ' ἀμφοῖν κατὰ ταὐτὰ, καὶ εὕροις ἂν οὕτως οὐκ ἐν τριτταῖς καὶ τετάρταις, ἀλλὰ τῇ μὲν, ἐν διτταῖς, τῇ δὲ, ἐν μυρίαις ἀναλογοῦσαν τὴν ἀνδρίαν. Ἔπειτα αἱ κατὰ Πλάτωνα ἰδέαι, τῶν ὄντων εἰσὶν εἰκόνες, τούτων δὴ τῶν ἐν γενέσει καὶ φθορᾷ ἀνάλογα παραδείγματα, αἱ δὲ αὐταὶ καὶ τοῖς ἀϊδίοις ἀναλογοῦσι κατὰ τὸν ὑπομνηματιστὴν Ἀδάμαντα· ὥρα σοι τοιγαροῦν τὴν ἐκ τῆς τῶν ἄκρων συναφείας συμβαίνουσαν ἀτοπίαν εὖ θέσθαι. Τρίτον, τὰ πρὸς αὐτὰς ἀναλόγως ἔχοντα, οὐκ εἰσὶν ἀΐδια, τὸ δὲ θεῖον κατὰ τὸν ὑπομνηματιστὴν ἀναλόγως ἔχει πρὸς αὐτάς· ὥρα

σος


τοι ϗ τοῦτο. εἰσὶ δέ τῳ ϗ συναΐδιοι, (κατὰ Πλάτ:) οὐκ ἄρα τῷ Θεῷ (κατὰ τὴν συναχθεῖσαν ἀτοπίαν) ἑτέρῳ δέ τῳ· ἀλλὰ μὴν τῷ Θεῷ κατὰ Πλάτωνα οὐκ ἄρα ἀναλογοῦσιν αὐτῷ· αἱ μὲν γάρ εἰσι γένη ϗ εἴδη τῶν ὄντων, τὸ δὲ θεῖον οὐκ ἔστιν ὑπὸ τὸ ὄν· ὑπὲρ τὸ ὂν γάρ· ἄρα. Ἐμοὶ δέ τοι εἴη τὴν τοῦ σώματος ἰσχὺν μὴ ἐπὶ τὴν ἄσχετον, ἐπὶ δὲ τὴν σχετικήν, ϗ τῇ ψυχῇ συμφυᾶ μεταθεῖναι ἀνδρίαν· ἐκεῖνο μὲν γὰρ ἀπαθείας, τοῦτο δὲ μετριοπαθείας. κἀκεῖνο μὲν ἀκρότητος, τοῦτο δὲ μεσότητος. τῷ γοῦν ἀπειροπαθεῖ ϗ εὐταπεινώτῳ ἀγαπητὸν ἂν εἴη τῆς μεσότητος γοῦν ἐφικέσθαι· οἶσθα γάρ που ϗ αὐτὸς, καθωμιλημένον ὄν, κακίαν μὲν οὖσαν τὰ ἄκρα, ἀρετὴν δὲ τὴν μεσότητα· τῆς δὲ ἀπαθείας τε ϗ ἀπειροπαθείας, τὸ μέσον ἐστὶν ἡ μετριοπάθεια κατὰ Συνέσιον· ἀλλὰ μὴν ἡ φιλοσοφία, οὐ τὸ μέσον, τῶν ἄκρων δὲ θάτερον, φημὶ δὴ τὴν ἀπάθειαν, πρεσβεύειν οἶδε κατὰ Συνέσιον, κακίαν ἄρα πρεσβεύει· τὸ γὰρ ἐπὶ μηδενὶ κλάειν, ἄτοπον ϗ ἠλίθιον, τὸ δέ πως συνδακρύεσθαι, μετριοπαθούσης ἂν εἴη ψυχῆς, ϗ πρὸς τρόπου τὸ μηδὲν ἄγαν φιλοσοφοῦντος· οὐ γὰρ αἱ ὑπερβασίαι τοῦ μέτρου, τὸ δὲ μέτρον τυγχάνει τὸ ἄριστον. τοῦ δὲ ἀρίστου τὴν μεγίστην τε ϗ καθόλου ἐπίτασιν ὑπεμφαίνοντος, ἑτέραν οὐκ ἔστι παρὰ τὴν ἐγκειμένην εὑρεῖν ἐπίτασιν· ἀλλὰ μὴν ἡ φιλοσοφία τοῦ ἀρίστου στοχάζεται, τοῦ μετρίου ἄρα στοχάζεται· ταὐτὰ γὰρ ἀλλήλοις τὰ τῷ αὐτῷ ταὐτά. εἰ δὲ φιλοσοφίας πόῤῥωθεν τακτέον τὴν ἀπειροπάθειαν (κατὰ Συνέσιον) διότι τοῦ μετρίου ἐκπέπτωκε, διὰ τὸν αὐτὸν ἄρα λόγον ϗ τὴν ἀπάθειαν αὐτοῦ που τακτέον, ᾗπερ ϗ τὰ τῆς ἀπειροπαθείας τετάχαται. τῷ δ᾽ αὖ τὴν τοῦ σώματος ἰσχὺν ἐπὶ τὴν ἀσώματον ἰδέαν μεταθεμένῳ οὐ μᾶλλον τὸ ἐπὶ μηδενὶ, ἢ τὸ ἐπὶ παντὶ κλάειν, ἐμοὶ δοκεῖν προσγενήσεται· τῶν οὔτε γὰρ ἂν, εἴπερ, ϗ ὡς ἑτέρως οἱ συμπιπτόντων ἕρμαιον εἴη, τῆς τὴν ψυχὴν ἀνδριζούσης ἕξεως τοσύνολον ψιλωθείς· εἴ γ᾽ ὁ μὲν, ἐντός που, ἡ δὲ, ἔξω τῶν ὅλων, ϗ οὐδαμοῦ ἐσῶσα τυγχάνει. Ταῦτά σοι ἐκ πολλῶν ὀλίγα τῆς ἐμῆς ἑώλου ψυχρολογίας τὰ δείγματα, πρὸς ἣν οἶδά σε ἐπιφρασσόμενον οὐχ ἧττον τὰ ὦτα, ἢ τὸν Ὀδυσσέα πρὸς τὰ τῶν Σειρήνων ἐπάσματα· σὺ δέ μοι σύνευξαι τὰ κρείττονα ϗ ἐχόμενα σωτηρίας· ἔῤῥωσο. Ἀσπάζομαι διὰ σοῦ πᾶσαν τὴν αὐτόσε Πυθαγόρειον ὁμακοΐαν, πρὸ πάντων δὲ τὸν σεβασμιώτατόν μοι διδάσκαλον, ὃν δῆτα ϗ ἐξ αὐτῆς ἂν ἠσπασάμην, εἴπερ μὴ τῆς τοῦ Σαμίου ἐχεμυθίας ἐπιπλέον, ἤπερ ἐχρῆν, ᾔδειν αὐτὸν ἀντεχόμενον.

αψυ΄. Γαμηλιῶνος γ΄, μεσοῦντος.

Παράρτημα.

„Ὅτι δὲ ϗ αἱ τοῦ μέσου παρεκτροπαὶ, τῆς κατὰ τὴν ἀρετὴν ὁμωνυμίας μεταλήψασι, πειθέτω σε ϗ Θουκυδίδης ἐν τῇ γ΄, τοὺς ὑπάτη λέγων·

περιγενομένους, φρονήσεως δόξαν προσειληφέναι, ῥᾷόν τε εἶναι τοὺς πολλοὺς κακούργους ὄντας, δεξιοὺς κληθῆναι, ἢ ἀμαθεῖς, ἀγαθούς, τῷ μέν, αἰσχυνομένους, ἐπὶ δὲ τῷ, ἀγαλλομένους· ὥσπερ αὖ πάλιν κἀκ τοῦ ἐναντίου ταῖς ἀρεταῖς παραπεπήγασιν αἱ κακίαι, ἀγχίθυροί πως οὖσαι· τύφος τε γὰρ ὠνόμασται τοῖς πολλοῖς τὸ τοῦ ἤθους βεβηκός, ϗ θρασὺς ὁ ἀνδρεῖος· ϗ δειλὸς ὁ περιεσκεμμένος· ϗ ὁ σώφρων μισάνθρωπος· ϗ ὁ δίκαιος ἀκοινώνητος· ϗ συνελόντι κατὰ τὸν Γρήγορον νοῦν, ῥᾷον ἄλλο τι ὄντα, ἕτερον νομισθῆναι τοῖς πολλοῖς. κἀπειδή πως τοῦτε μέσα τοῖς ἄκροις, ϗ ἐναλλὰξ τῆς αὐτῆς ἐπικοινωνοῦσιν ἐπωνυμίας, τούτου δὴ χάριν εἴρηται τὸ ἐν τριτταῖς, ἀρεταῖς μέν, ὁμωνύμως ὅμως. Αὐτὸς δ᾽ ἂν μοι δόξαις, εἴ τι ἐγώ σου ξυνίημι, διαποροῦντί πως ἐοικέναι, ὡς ὁμωνυμοῦντος τοῦ μέσου τοῖς ἄκροις, εἴη ἂν πάσῃ τῇ συςοιχίᾳ, ϗ οὐ μᾶλλον τῷ μέσῳ ἢ τοῖς ἄκροις ἀνάλογος ἡ ἀνδρία· κἀντεῦθεν εἰκὸς ἂν εἴη τοὐ τὴν τοῦ σώματος ἰσχὺν ἐπὶ τὴν ἀνάλογον ἐν τριτταῖς ἀνδρίαν μεταθεῖναι ἐναγόμενον, παρεκκλῖναι μᾶλλον ἐπὶ τῶν ἄκρων, διαμαρτῶντα τοῦ μέσου. ἢ ὅτι ἐν τριτταῖς φησιν, ἡ δὲ ΕΝ, τὸ ἐντὸς ὑπεμφαίνει· ἐντὸς δὲ τὸ μέσον, ἐκτὸς δὲ τὰ ἄκρα, ἑκατέρωθεν τοῦ μέσου· ἄλλως τε ὁ Θεὸς κατὰ τὸν σὸν Πλάτωνα, πρὸς τὰς ἰδέας ὡς πρὸς παράδειγμα τὰ ὄντα παρήγαγεν, ὁ δ᾽ αὐτὸς κατὰ τὸν αὐτόν τε ϗ ἡμᾶς, τῶν κακῶν ἀναίτιος, οὐ δὲ τῶν κακῶν ἄρ᾽ ἂν εἴη ἀνάλογον παράδειγμα· κακία δὲ τὰ ἄκρα, οὐ δ᾽ αὐτῶν ἄρα.



Παρεθέμην ὧδε τὴν ἐπιςολὴν ταύτην τοῦ διδασκάλου ὡς ἐξήγησιν τῆς 75 ἐπιςολῆς τοῦ Συνεσίου, ϗ τῆς ἐν τῇ 140, τετρακτύος τῶν ἀρετῶν ποιουμένην ὑπόθεσιν· ἣν φαίνεται ἀπὸ τῆς ἐν τῷ Ἄθῳ σχολῆς πρὸς Ἀθανάσιον τὸν Πάριον ἐπιςείλας· ἐν ᾗ ἀποτείνεται ϗ πρός τινα Διαμαντῆν Σμυρναῖον ἑρμηνείαν κἀκείνου τῆς τετρακτύος τῶν ἀρετῶν ἐξενηνοχότα, δι᾽ ἣν οὐκ ἀκριβῶς ἔχουσαν, ϗ ὑπομνηματιςὴν ἀδάμαντα αὐτὸν περὶ τὰ μέσα τῆς ἐπιςολῆς εἰρωνικῶς ὀνομάζει, ἀγνοῶν ἄρα, ὡς ἔμελλε ϗ αὐτὸς ἑαυτοῦ ποτε κατειρωνεύσεσθαι, ἐφ᾽ οἷς τότε αὐχῶν, ἄλλων κατειρωνεύετο.

Ἐπισημειώσεις.

Ἐπιστολ. 4. σελ. 22. στίχ. 16. Ὁλκάδα εἰσήλασε (τὸ, εἰσήλασεν αὐτοουδέτερον ὄν, ἐνεργητικῶς συνετάγη, ὅθεν σκεπτέον μὴ ἄρα βέλτιον γράφειν ἑτέραν ὁλκάδα ἄγων εἰσήλασε.

Ἐπιστολ. 5. σελ. 29. στίχ. 15. ὅ,τι σὺν αὐτοῖς ἧκει χρῆμα (τὸ χρῆμα εἴληπται ἐν τοῖς σημειώμασιν ἀντὶ τῆς αἱρέσεως. σὺ δέ μοι λάβε τοῦτο, εἰ βούλει, φυσικῶς ἀντὶ χρημάτων· ἵνα ᾖ Συνέσιος ἐπιτάττων τοῖς πρεσβυτέροις ἀπέχεσθαι τοῦ λαβεῖν τι παρὰ τῶν αἱρετικῶν ἁρπακτικῶς ἐν τῷ διώκειν αὐτούς.

Αὐτόθι, σελ. 30. Σεσημείωται ἐν τοῖς σχολίοις ὅτι ἀναλογοῦσι τοῖς μὲν Ἀμαληκίταις οἱ Εὐνομιανοὶ, τῷ δὲ Σαοὺλ οἱ πρεσβύτεροι πρὸς οὓς ἡ ἐπιστολή. σὺ δὲ ἴσθι ὡς οὐ πάντες οἱ πρεσβύτεροι, ἀλλ᾽ ὅσοι ἂν λάβωσί τι παρὰ τῶν αἱρετικῶν, ὡς ὁ Σαοὺλ παρὰ τῶν Ἀμαληκιτῶν.

Ἐπιστολ. 72. σελ. 108. στίχ. 11. προσκεκυφότα ταῖς ἐκκλησίαις (τὸ προσκεκυφότα ἐμοὶ δοκεῖ βέλτιον γράφειν προσκεκοφότα, εἴτ᾽ οὖν προσκρούσαντα, προσπταίσαντα ταῖς ἐκκλησίαις. ὁ γάρ τοι πάντολμος Ἀνδρόνικος αἰσθόμενος καθ᾽ ἑαυτοῦ γεγονότα γράμματα παρὰ τοῦ Συνεσίου εἰς στηλίτευσιν τῶν αὐτῷ τετολμημένων κατά τε τῆς ἐκκλησίας καὶ τῆς πολιτείας, δειλότατος ἐγένετο, καὶ προσῆλθε τῇ ἐκκλησίᾳ ἱκετείαν προσποιησάμενος καὶ μετάνοιαν ὑποσχόμενος, ἣν πάντες, φησὶν, οἱ ἄλλοι ἠξίουν τὸν Συνέσιον δέχεσθαι, αὐτὸς δὲ κατανενοηκὼς τὸν ἄνθρωπον ῥᾴδιον ὄντα πάντα εἰπεῖν καὶ ποιῆσαι, καὶ ἐκ τῆς τυχούσης αἰτίας εἰς τὴν φύσιν, τουτ᾽ ἔστι τὴν προτέραν αὐθάδειαν καὶ κακίαν ἐπανελθεῖν, οὐκ ἤθελε δέχεσθαι, ἡγούμενος πάνυ καλῶς, ὡς εἰκὸς ἦν ἀτολμότερον αὐτὸν εἶναι πρὸς τὸ ποιεῖν ἔτι κακὰ προσκεκοφότα, εἴτ᾽ οὖν πταιστὴν ὄντα ταῖς ἐκκλησίαις, καὶ ὑποπτευόμενον τὰ παρ᾽ αὐτῶν ἐπιτίμια, πολὺ μᾶλλον, ἢ συγχωρηθέντα καὶ ἀφεθέντα, δι᾽ ἣν προσεποιήθη μετάνοιαν.

Αὐτόθι. στίχ. 20. ἀντὶ πάθους (Μανίας, ὠμότητος, θρασύτητος.

Ἐπιστολ. 73. σελ. 112. στίχ. 3. Ὁ πρῴην ἀντιπολιτευόμενος (Μαχόμενος, ἀντιτείνων τοῖς ἄλλοις πολιτάρχαις.

Αὐτόθι. στίχ. 4. Διαφορὰν (Μάχην, ἀντίστασιν πρὸς τοὺς ἄλλους πολιτάρχας.

Αὐτόθι. στίχ. 6. Γυναικὶ δίδοται χάρις ἡ τοῦ πολίτου συμφορὰ (Γυνὴ γὰρ ἑταίρα ἐγκοτήσασά τινι τῶν πολιτῶν, προσελθοῦσα Ἀνδρονίκῳ τῷ ἐραστῇ ἀπεδύρετο· ὁ δὲ, χάριν αὐτῆς τιμωρεῖται τοῦτον, καὶ συμφοραῖς ἐμβάλλει.

Αὐ-

Αὐτόθι. στίχ. 7. Ὃς δ' ἂν μὴ γράψῃ κτλ': (Ὃς δ' ἂν μὴ κατηγορήσῃ ἑτέρου πρὸς Ἀνδρόνικον παρανομίας, καταδικάζεται δι' αὐτὸ τοῦτο τὸ μὴ κατηγορῆσαι ὡς παρανομήσας, ὅπερ ἔπαθεν ὁ μὴ διώξας ἐπὶ κλοπῇ δημοσίων τὸν ἄρτι πεπαυμένον τῆς ἀρίστης ἀρχῆς, τὸν Γεννάδιον δηλαδή.

Ἐπιστολ. 94. σελ. 133. στίχ. 3. Καὶ ὁ σύντροφός μοι κτλ': (εἴρηται ἐν τοῖς σημειώμασιν ὅτι ἐντεῦθεν ἄχρι τέλους σκοτεινά εἰσι. ἐμοὶ δὲ οὐ πάνυ δοκεῖ σκοτεινά, παρεκτὸς τοῦ μὴ ἐπίστασθαι τίς ὁ σύντροφος Συνεσίου, καὶ τί ποτε ἐβούλετο ἵνα ποιήσῃ Ἀνύσιος τὴν συνωρίδα τῶν ἀδελφῶν. τὰ δ' ἄλλα ἱκετείαν ποιεῖται πρὸς Ἀνύσιον ἵνα ἀποστείλῃ ἐκ τοῦ πολέμου τὸν σύντροφον αὐτοῦ, ὅς τίς ποτ' ἂν ᾖ· καὶ ἵνα δῷ χεῖρα τῷ Ἰωάννῃ καὶ τῷ ἀδελφῷ Ἰωάννου· τοῦτο γὰρ βούλεται τό, δὸς τὴν συνωρίδα τῶν ἀδελφῶν τῇ Κυρήνῃ· ἦσαν γάρ, ὡς ἔοικεν, οὗτοι Κυρηναῖοι, καὶ ἄνδρες ἀγαθοί, καὶ ἐβούλετο ἴσως, ἵνα στρατιωτικῆς τινος τάξεως τύχωσι παρὰ Ἀνυσίου.

Ἐπιστολ. 126. σελ. 180. στίχ. 12. Καὶ πολλὰ τῇ ψυχῇ προσκεκυφὼς κτλ': (Ἡ ἀσάφεια τοῦ παρόντος χωρίου σαφηνίζεται ἐμοὶ δοκεῖν ὑποτιθεῖσι τὰ ἑξῆς· πρῶτον, ὅτι ὁ Μαρτύριος ἦν ὑπὸ προστασίαν καὶ ἐπιτροπὴν ἄλλων τε καὶ τοῦ Ἀσκληπιοδότου· δεύτερον ὅτι οἱ ἐπίτροποι οὐκ ἦγον αὐτὸν βουλόμενον ἀπιέναι εἰς Τεύχειρα· ἐφ' οἷς ἦν προσκεκοφὼς (οὕτω γὰρ γραπτέον) εἴτ' οὖν ἐγκοτῶν τῇ τε ἰδίᾳ ψυχῇ (ἀπολεγόμενος αὐτὴν τῇ λύπῃ), καὶ τοῖς ἐπιτρόποις, μὴ ἀπάγουσι (τὸ δὲ ἀπάγουσιν ἀντὶ τοῦ ἄγουσιν ἐκληπτέον) αὐτὸν εἰς Τεύχειρα. ὁ γοῦν Συνέσιος συνιστὰς τοῦτον τῷ Ἀσκληπιοδότῳ, φησίν, ἤτοι πεπλασμένως ἢ καὶ πράγματι, ὡς ὁ Μαρτύριος καίτοι τοῖς ἄλλοις ἐπιτρόποις ἀγανακτῶν καὶ ἐγκοτῶν, ἐφ' οἷς οὐκ ἄγουσιν αὐτὸν εἰς Τεύχειρα, ὡς καὶ τὴν ψυχὴν αὐτὴν ἀπολέγεσθαι, περὶ σὲ δ' οὖν τὸν μέγαν Ἀσκληπιόδοτον εὐγνώμων ἦν κτλ':



Παροράματα ἢ ἐπιδιορθώσεις.

Ἐν τῷ Κειμένῳ.

Σελ.	Στίχ.	
1	4	τίς γράφε τις
6	5	περιλεύσεσθαι - περιελεύ:
11	1	τὶ δαιν: - τί δαιν:
11	4	δαινὸν, ἦν - δαινὸν ἦν
20	1	ἐπειδὰν - ἐπειδὴ
-	2	περιβάλλ: -ἴσ: περιεβάλ:
-	10	ἐμέλομεν - ἐμέλλομ
-	12	μελέσης - μελλέσης
23	15	ὐδενί. - ὐδενί·
29	9	προδῶ - προδῷ
31	4	ἀποδίδωσιν. - ἀποδίδωσιν,
-	20	πυνθάνεσθαι. - πυνθάνεσθαι,
53	20	ἐπειδὰν - ἐπειδὴ
-	21	ἐμπνεῦτε - ἐμπνεῖ, τε
54	10	δίκαιον. - δίκαιον,
65	4	κεφαλήν. - κεφαλήν;
70	2	εἰκόνα. - εἰκόνα,
73	17	ἀγχόνη - ἀγχόνη

Σελ.	Στίχ.	
76	20	ὦ πόσεις - ὦ πόσσοις
78	20	τῦ μῦ - τὲ μῦ
80	11	ἢ. - ἢ;
92	12	πόνοις - πόνων
97	8	πέλεμων - πολέμων
-	22	πέφηνεν - πέφηνεν
100	12	ἐπειδὴν - ἐπειδὴ
132	6	ἢ τάχος - ἢ τάχ:
138	14	ἐῤῥωμένως - ἐῤῥωμένος
151	5	φιλοσοφίας. - φιλοσοφίας,
161	7	πλέθος - πλῆθος
-	9	παρέσης. - παρούσης,
-	-	ἐλέγχειν - ἐλέγχειν
172	18	Τρυφῶνι - Τρύφωνι
177	19	δεξαίμεν - δεξαίμην
228	8	ἐῤῥωμένως - ἐῤῥωμένος,
238	17	συμφυῆναι - συμφῦναι
248	1	ἀφέλης - ἀφελής

Ἐν τοῖς ςχολίοις.

Σελ.	ςίχ.	
5	21	λαμβάνει πτωι - λαμβάνει πτω:
-	25	ἐ-λύπη - ἐν λύπη.
-	27	χαλέπαινε - ἐχαλέπ:
8	23	παλακευομ: - παλλακ:
9	7	ἐπιςέλλει - ἐπιςέλ:
-	14	αὐταῖς - ἀκταῖς.
15	9	Βερνίκη - Βερονί:
24	1	μονονὲ - μονονὲκ
32	9	ἐιώθασι - εἰώθασιν
36	1	ἔτος - ἔτος
41	4	πολίτην - πολίτη
43	11	ἀπωρφ: - ἀπορφανισ:
51	1	ἐπεῖ - ἐπεὶ
66	1	ὑ ἡ - ἵν' ἡ

Σελ.	ςίχ.	
67	6	ἐπις: 100 - ἐπις: 101
90	12	διαφερόντος - διαφερόντως
101	3	περυσίας - περιυσίας
104	2	ἐπιχῶν - ἐπέχων
106	11	καταχρᾶται - καταχρῆται
121	4	πράκτορ - πράκτωρ
169	5	τῶ Λακ: - τῶν Λακ:
179	1	τὸ κοινότατον - τὸ καινότι
213	34	ἀυτῷ - αὑτῷ
218	11	ἐνυπνίε - ἐνυπνίε
220	13	ἡ τετρ: - ἡ τετραχ:
254	20	τριταῖς - τριτταῖς
255	27	ταύτά σοι - ταῦτά σοι.

